Fitz Roy Somerset

R.S.

ΑΙ ΤΟΥ

ΣΟΦΟΚΛΕΟΥΣ

ΤΡΑΓΩΔΙΑΙ ΕΠΤΑ.

SOPHOCLIS

TRAGOEDIÆ SEPTEM:

Nova VERSIONE Donatæ

SCHOLIISQUE VETERIBUS Illustratæ;

ACCEDUNT

NOTÆ perpetuæ, et Variæ LECTIONES,

Opera THOMÆ JOHNSON, *A. M.*

COLLEGII REGAL. CANTABRIG. aliquandiu è SOCIIS.

Accessere etiam

NOTÆ Selectæ et EMENDATIONES ex Codd. Variorum Doctorum Virorum, nuper editis.

VERSIO denique cum Eruditorum Interpretationibus collata est, et, unà cum SCHOLIIS plurimis in locis, castigata.

EDITIO prioribus longè accuratior, et auctior.

VOL. II.

ETONÆ, Excudebant M. POTE, et E. WILLIAMS;

Apud quos veneunt:

Veneunt etiam LONDINI, apud F. et C. RIVINGTON, GUL. GINGER et Filium, G. G. et J. ROBINSON, R. BALDWIN, H. GARDNER, G. WILKIE, LONGMAN et REES, T. HURST, J. WALLIS, VERNOR et HOOD, LACKINGTON et ALLEN.

MDCCXCIX.

ΥΠΟΘΕΣΙΣ
ΟΙΔΙΠΟΔΟΣ ΤΥΡΑΝΝΟΥ
ΕΜΜΕΤΡΟΣ
ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Λιπὼν Κόρινθον Οἰδίπους πατρὸς νόθος
Πρὸς τῶν ἀπάντων λοιδορούμενος ξένος,
Ἦλθεν πυθέσθαι Πυθικῶν θεσπισμάτων,
Ζητῶν ἑαυτὸν, καὶ γένους φυλοσπόρον.
Εὑρὼν δὲ τλήμων ἐν ξεναῖς ἀμαξιτοῖς
Ἄκων ἔπεφνε Λάϊον γεννήτορα.
Σφιγγὸς δὲ δεινῆς θανάσιμον λύσας μέλος,
Ἠσχυνε μητρὸς ἀγνοουμένης λέχος.
Λοιμὸς δὲ Θήβας εἷλε, καὶ νόσος μακρά.
Κρέων δὲ πεμφθεὶς Δελφικὴν πρὸς ἑστίαν,
Ὅπως πύθηται τὸ κακὸν παυσήριον,
Ἤκουσε φωνῆς μαντικῆς θεοῦ πάρα,
Τὸν Λαΐειον ἐκδικηθῆναι φόνον.
Ὅθεν μαθὼν ἑαυτὸν Οἰδίπους τάλας,
Δισσαῖσι * χερσὶν ἐξελύφλωσεν † κόρας·
Αὐτὴ δὲ μήτηρ ἀγχόναις διώλετο.

* Aldus, Δισσαῖς τε. † Aldus, Ἐξανάλωσιν.

ΔΙΑ ΤΙ ΟΙΔΙΠΟΥΣ ΤΥΡΑΝΝΟΣ ΕΠΙΓΕΓΡΑΠΤΑΙ.

Ὁ Τύραννος Οἰδίπους ἐπὶ διακρίσει θαλέρᾳ ἐπιγέγραπται· χαριέντως δὲ Τύραννον ἅπαντες αὐτὸν ἀπέγραφον, ὡς ἐξέχοντα πάσης τῆς Σοφοκλέους ποιήσεως· καίπερ

ἡτ]ηθέν]α ὑπὸ Φιλοκλέȣς, ὥς φησι Δικαίαρχος. Εἰσὶ δὲ κ̀ οἱ πρότερον αὐτὸν ȣ̓ Τύραννον ἐπιγράφον]ες, διὰ τȣ̀ς χρόνȣς τῶν διδασκαλιῶν, κ̀ διὰ τὰ πράγματα· ἀλήτην γὰρ κ̀ πηρὸν Οἰδίποδα τὸν ἐπὶ Κολωνῷ εἰς τὰς Ἀθήνας ἀφικνεῖσθαι. Ἴδιον δέ τι πεπόνθασιν οἱ μεθ' Ὅμηρον ποιη]αὶ, τȣ̀ς πρὸ τῶν Τρωϊκῶν βασιλεῖς τυράννȣς προσαγορεύον]ες, ὀψέ πο]ε τȣ̃δε τȣ̃ ὀνόμα]ος εἰς τȣ̀ς Ἕλληνας διαδοθέν]ος, κα]ὰ τȣ̀ς Ἀρχιλόχȣ χρόνȣς, καθάπερ Ἱππίας ὁ σοφιςής φησιν. Ὅμηρος γȣ̃ν τὸν πάν]ων παρανομώτα]ον Ἔχε]ον, βασιλέα φησὶ, κ̀ ȣ̓ τύραννον,

Εἰς Ἔχε]ον βασιλῆα βρο]ων δηλήμονα.

προσαγορευθῆναι δέ φασι τὸν Τύραννον ἀπὸ τῶν Τυῤῥηνῶν· χαλεπȣ̀ς γάρ τινας περὶ λῃςείαν τȣ́τȣς γενέσθαι· Οἱ δὲ λέγȣσιν αὐτὸν γεννηθῆναι ἀπὸ Τύρȣ πόλεως. Εἴρη]αι δὲ Τύραννος κα]ὰ τὸ ἔτυμον, οἱονεὶ τύρων τȣ̀ς λαȣ̀ς, κ̀ ἀνίας ἐπιφέρων, κ̀ τυρεύων δόλȣς κα]ὰ τῶν ὑπ' αὐτόν. Ὅτι δὲ νεώτερον τὸ τȣ̃ Τυράννȣ ὄνομα, δῆλον. Οὔτε γὰρ Ὅμηρος, ȣ̓τε Ἡσίοδος, ȣ̓τε ἄλλος ȣ̓δεὶς τῶν παλαιῶν, Τύραννον ἐν τοῖς ποιήμασιν ὀνομάζει· ὁ δὲ Ἀριςο]έλης, ἐν Κυμαίων Πολι]είᾳ, τȣ̀ς τυράννȣς φησὶ τοπρότερον αἰσυμνήτας προσαγορεύεσθαι· εὐφημότερόν γ' ἐκεῖνο τȣ̃νομα.

ΑΛΛΩΣ.

Ὁ Τύραννος Οἰδίπȣς πρὸς ἀν]ιδιαςολὴν τȣ̃ ἐν τῷ Κολωνῷ ἐπιγέγραπ]αι. Τὸ κεφάλαιον δὲ τȣ̃ δράματος, γνῶσις τῶν ἰδίων κακῶν Οἰδίποδος, πήρωσίς τε τῶν ὀφθαλμῶν, κ̀ δι' ἀγχόνης, θάνα]ος Ἰοκάςης.

ΧΡΗΣΜΟΣ

ΧΡΗΣΜΟΣ ΔΟΘΕΙΣ ΛΑΙΩ ΤΩ ΘΗΒΑΙΩ.

Λαΐε Λαβδακίδη, παίδων γένος ὄλβιον αἰτεῖς;
Δώσω τοι φίλον υἱόν· ἀτὰρ περπρωμένον ἐσὶ
Σὲ παιδὸς χείρεσσι λιπεῖν φάος. ὡς γὰρ ἔνευσε
Ζεὺς Κρονίδης, Πέλοπος ζυγεραῖς ἀραῖσι πιθήσας,
Οὗ φίλον ἥρπασας υἱόν· ὁ δ' ἤυξαῖό σοι τάδε πάντα.

ΤΟ ΑΙΝΙΓΜΑ ΤΗΣ ΣΦΙΓΓΟΣ.

ΕΣΤΙ δίπεν ἐπὶ γῆς κὴ τετράπον· ἓ μία φωνὴ,
Καὶ τρίπον· ἀλλάσσει δὲ βοὴν μόνον, ὅσσ' ἐπὶ γαῖαν
Ἑρπέτα κινεῖται, ἀνά τ' αἰθέρα, καὶ κατὰ πόντον.
Ἀλλ' ὁπόταν πλείοισιν ἐπειγόμενον ποσὶ βαίνῃ,
Ἔνθα τάχος γυίοισιν ἀφαυρόταλον πέλει αὐτῷ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΟΙΔΙΠΟΥΣ.

ΙΕΡΕΥΣ.

ΚΡΕΩΝ.

ΧΟΡΟΣ ΕΚ ΘΗΒΑΙΩΝ ΓΕΡΟΝΤΩΝ.

ΤΕΙΡΕΣΙΑΣ.

ΙΟΚΑΣΤΗ.

ΑΓΓΕΛΟΣ.

ΘΕΡΑΠΩΝ ΠΟΛΥΒΟΥ.

ΕΞΑΓΓΕΛΟΣ.

Προλογίζει δὲ ὁ ΟΙΔΙΠΟΥΣ.

ΣΟΦΟΚΛΕΟΥΣ

ΟΙΔΙΠΟΥΣ ΤΥΡΑΝΝΟΣ.

ΟΙΔΙΠΟΥΣ, ἹΕΡΕΥΣ, ΚΡΕΩΝ, ΧΟΡΟΣ.

ΙΑΜΒΟΙ.

ΟΙΔ. Ὦ Τέκνα, Κάδμου τῦ πάλαι νέα τροφὴ,
Τίνα ποθ' ἕδρας τάσδε μοι θοάζετε
Ἱκτηρίοις κλάδοισιν ἐξεσεμμένοι;
Πόλις δ' ὁμῦ μὲν θυμιαμάτων γέμει,
Ὁμῦ δὲ παιάνων τε καὶ ξεναγμάτων. 5

Ver. 1. Ὦ τέκνα, Κάδμου τῦ πάλαι νέα τροφὴ] Φιλόδημον καὶ φρονιμικὸν τῦ ποιητῦ συμφερόντως τὸ τῦ Οἰδίποδος ἦθος, καὶ εὔνοιαν ἔχον ἀπὸ τῦ πλήθους, δι' ὧν αὐτὸς εὐηργέτησεν. Εἰκότως ἂν μέχρηται τῶ τέκνα, ὥσπερει πατήρ. Νέοι ὄντες νῦν, ἀπὸ τῦ ἀρχαίου Κάδμου. Οἰκεῖον δὲ τὸ νέα.

Ib. Ὦ τέκνα] ἐμά.

Ib. Κάδμου] Κάδμου τῦ περὶ μακρῦ γεγονότος ἀπόγονοι, νῦν βλαστάνοντες.

Ib. Τροφὴ] ἀναλῳφὴ, ἣν ἀναλῄφει τὶς τινὰ, ἢ ἣν ἀναλῄφεῖαί τις ὑπό τινος. Ἐνλαῦθα δὲ νέαν ἀναλῳφὴν λέγει τὸν ἀναλῳφένλας νῦν. Τὸ δὲ προοίμιον τῦτο ἐςὶ προσφωνητικόν.

2. Τίνας πόθ' ἕδρας] περισσὸν τὸ πόθ'. Τίνες εἰσὶν αἱ καθέδραι αὗται, ἃς κάθησθε χάριν ἐμῦ; κάθημαι τήνδε τὴν καθέδραν, καὶ βαδίζω ταύτην τὴν ὁδὸν, καὶ ὑβρίζω· τοιαῦτά τινα τὸν αὐτὸν ἔχεσι σχηματισμὸν τῶ, λέγω λόγον, καὶ γράφω γραφὴν, καὶ τοῖς τοιύτοις.

Ib. Μοι] Ἐμοὶ δὲ εἰκότως εἴρηκεν· δι' αὐτὸν γὰρ ἐκάθηντο.

Ib. Θοάζετε] κατὰ διάλυσιν, ἀντὶ τῦ θάσσετε· ἢ θοῶς προκάθησθε.

3. Ἱκτηρίοις κλάδοισιν] ἀντὶ τῦ ταῖς ἱκτηρίοις· τὸ δὲ ἐξεσεμμένοι ἀντὶ τῦ κεκοσμημένοι· εἰώθασι γὰρ τῶ σέφειν χρῆσθαι ἀντὶ τῦ κοσμεῖν· σέμνα δέ ἐςι τὸ προσειλημένον ἔριον τῶ θαλλῶ.

Ib. Ἐξεσεμμένοι] ὅτι δὲ μόνον ἐσεφανωμένοι ἦσαν, ἀλλὰ καὶ ἐν χερσὶν ἔφερον, δῆλόν ἐςι καὶ ἐξ ὧν ἔμπροσθεν λέγει, Τὰς δ' ἀρούλες ἱκτῆρας κλάδας· ἔθος γὰρ ἦν τοῖς παλαιοῖς ἐσεφανωμένους προὶς ἱκεσίαν χωρεῖν, ἵν' αἰδέσιμοι ἦσαν τοῖς ὑς ἱκέτευον.

4. Πόλις δ' ὁμῦ μὲν θυμιαμάτων] οἱ μὲν μηδὲν πεπονθότες ἐπὶ ἀπόροπῆ τῦ κακῦ δύσει, καὶ παιᾶνας ᾄδουσιν· οἱ δὲ ἐπαικότες, ἐπὶ τοῖς οἰκείοις κακοῖς ἀποιμώζουσιν.

5 Ὁμῦ] Τὸ ὁμῦ ἐπὶ συνάψει δύο κώλων λεγόμενον, καὶ ἐπὶ τῦ προτέρου κώλου δύναται λέγεσθαι καὶ τῦ δευτέρου, ὥσπερ καὶ τὸ ἅμα, καὶ ὁ καὶ σύνδεσμος. Καθ' ὃ λέγεται ἐνλαῦθα, ὁμῦ μὲν

Ἃ γὼ δικαιῶν μὴ παρ' ἀγγέλων, τέκνα,
Ἄλλων ἀκούειν, αὐτὸς ὧδ' ἐλήλυθα,
Ὁ πᾶσι κλεινὸς Οἰδίπους καλούμενος.
Ἀλλ', ὦ γεραιὲ, φράζ' (ἐπεὶ πρέπων ἔφυς
Πρὸ τῶνδε φωνεῖν) τίνι τρόπῳ καθέσταλε·
σέρξανλες Δείσανλες, ἢ σέξανλες· ὡς θέλονλος ἂν
Ἐμὲ προσαρκεῖν πᾶν. δυσάλγητος γὰρ ἂν
Εἴην, τοιάνδε μὴ ἐ καλοικτείρων ἕδραν.—
ΙΕΡ. Ἀλλ', ὦ κραλύνων Οἰδίπους χώρας ἐμῆς,
Ὁρᾷς μὲν ἡμᾶς ἡλίκοι προσήμεθα

μὲν θυμιαμάτων γέμει, ὁμοῦ δὲ παιάνων τε καὶ στενάγμαλων.

Ib. Παιάνων] Τῶν εἰς τὸν Ἀπόλλωνα ὕμνων· ἔτος γὰρ αἴτιος τῆ λοιμῶ ἦγεν, τὰς παιᾶνας καὶ τὰ τοιαῦτα.

6. Ἃ γὼ] βάσις.

Ib. Ἃ γὼ δικαιῶν] ὁ δὲ ἀγγέλων μαθεῖν τὴν αἰτίαν ἠξίωσα, ἀλλ' αὐτὸς παρεγενόμην, περιπηδόμενος ὑμῶν.

Ib. Τέκνα] ὅ πᾶλης ἐπὶ τὰς παῖδας, τοῦτο βασιλεὺς ἐπὶ τὰς ὑπ' αὐτῷ [ον].

8. Ὁ πᾶσι κλεινὸς] ἢ πᾶσι τοῖς ἐπιδεύμασιν, ἢ ὑπ' ἀνθρώπων. Πιθανῶς δὲ τὸ ὄνομα τῆ προλογιζούλος ἐδήλωσεν. Ἅμα τε γὰ εἰς ἐπιθυμίαν φέρει τὸν θεαλὴν τῶν περὶ τῆ Οἰδίποδος. Οὐκ εὐθὺς δὲ τὰς αἰτίας τῆς δόξης ἐπάλει, ἀλλὰ ταμιεύεται καὶ βραχὺ ἐν καιρῷ ἐνθύσειν. Καλῶς δὲ, ὁ δὶ ἀγγέλων ἀπήγγελλαι, ἵνα διαλεγομένη αὐτῆ ἐκ Δελφῶν εἰσαγάγῃ τὸν Κρέοντα.

9. Ἀλλ', ὦ γεραιὲ] ἐυλάκλως ἑκάστω τὸ δέον ἀπένειμε· διὰ μὲν τῶν παίδων, τὸν οἶκτον τῆς ἱκετείας· διὰ δὲ τῆ πρεσβύτε, ἡ πρὸς βασιλέα ἀπόκρισις· εἰς γὰρ τοῦτο ἀπρεπὲς τὸ τῶν νέων πρόσωπον· δεδήλωλαι δ' ἐν ἡμῖν τὸ χρήσιμον τῆς παρουσίας τῆ γέροντος.

Ib. Ἐπεὶ πρέπων] Διὰ τὴν τῆ αἰνίγμαλος τῆς σφιγγὸς λύσιν.

10. Τίνι τρόπῳ] ἀντὶ τῆ, ἐπὶ ποίᾳ πρωφάσει ἱκετεύεῖε. εἶτα ἐπιφέρει τὰς αἰτίας· ἢ γὰρ διὰ δέος κολάσεως, ἢ παθόντες, ἐκδικίας τυχεῖν ἀξιοῦτε. ὅπερ ἐδήλωσε διὰ τῆ σέρξανλες, οἷον ἤδη πεπονθότες.

11. Δείσανλες, ἢ σέρξανλες] φοβηθέντες τι, ἢ διὰ τοῦτο πρὸς βοήθειαν ἐκκαλούμενοί με· ἢ σέρξανλες, καὶ παθόντες καὶ ὑπομείναντες τι κακὸν, καὶ διὰ τοῦτο ζηλοῦντες ἐκδίκησιν παρ' ἐμοῦ.

12. Προσαρκεῖν] τὸ πρὸς, πρὸς τὸ πᾶν ἔχει τὴν δύναμιν.

Ib. Δυσάλγητος] σκληρός. Δυσμεθάκλαστος, ἀναλγής, ἀπαθής, ἀνελεής· ἴσως τὸ ἀνάλγητος ἢ σκληρός.

13. Τοιάνδε—ἕδραν] ἀνθρώπως ἔτω καθημένες ἐλεεινῶς.

Ib. Ἐκ παραλλήλε τὸ μὴ καὶ τὸ ἐ.

14. Ἀλλ', ὦ κραλύνων] ἐν τῷ πρώτω λόγω ἐθαύμασεν τὸ ὄνομα τῆ Οἰδίποδος, καὶ ὅτι παιᾶνες εἰσὶν ἐν τῇ πόλει· νῦν δὲ, διὰ τῆς ἐγλέγχε ἐπεξεργασίας, ὅτι καὶ βασιλεὺς, καὶ τὴν αἰτίαν τῶν παιάνων, προσαγωγὸν δὲ εἰς πειθὼ τὸ προοίμιον.

Ib. Ἀλλ', ὦ κραλύνων] πρωκαλάσασις καὶ διήγησις τῶν συμβάντων αὐτοῖς ἐκ τῆ λοιμῆ.

Ib. Κραλῶ — τὸ ἄρχω. Κραλύνω δὲ τὸ ἰσχυροποιῶ. Ἐνταῦθα δὲ τὸ κραλύνω ἀντὶ τῆ ἄρχω.

15. Ἡλίκοι προσήμεθα] τοῦτο καὶ τὴν ἡλικίαν σημαίνει, καὶ δυσπηλικόν πως τυγχά-

Βωμοῖσι τοῖς σοῖς· οἱ μὲν, ὐδέπω μακρὰν
Πτέσθαι σθένοντες· οἱ δὲ, σύν γήρᾳ βαρεῖς
Ἱερεῖς, ἐγὼ μὲν Ζηνός· οἱ δέ τ' ἠϊθέων
Λεκτοί. τὸδ' ἄλλο φῦλον ἐξεςεμμένον
Ἀγοραῖσι θακεῖ, πρός τε Παλλάδος διπλοῖς
Ναοῖς, ἐπ' Ἰσμηνῦ τε μαντείᾳ σποδῷ.
Πόλις γὰρ, ὥσπερ κ' αυτὸς * εἰσορᾷς, ἄγαν

* Aldus, Κἀυτὸς.

νει· ὡς γὰρ ἐπὶ θεῦ βωμὺς πάρεισιν ἐπὶ τὺς πρὸ τῶν βασιλείων ἱδρυμένυς· τὸ ἡλίκος δὲ, πρὸς τὸ τηλικόσδε ἔχει τὴν ἀναφοράν· λέγεται δὲ καὶ ἀμφότερα ἐπὶ ἡλικίας κυρίως· οἷον τηλικόσδε ἐςὶν, ἀντὶ τῦ τοσῦτος τὴν ἡλικίαν· καὶ ἀπὸ τύτυ ἐπὶ μεγέθυς ἁπλῶς.

Ib. Ἡλίκοι προσήμεθα] ὁποῖοι τήν τε ἡλικίαν καὶ τῷ ἐκ τῦ λοιμῦ πάθει, προσκαθήμεθα τοῖς ἐπὶ τῶν βασιλείων βωμοῖς.

16. Βωμοῖσι τοῖς σοῖς·] ἀντὶ τῦ, ἐν τῇ πρός σε ἱκετείᾳ, εἴρηται δ' ἐκ μεταφορᾶς τῶν ἐν τοῖς θεοῖς βωμῶν, εἰς ὓς, ὅτε συμφορὰ καταλάβοι, προσεδρεύοντες ἄνθρωποι, θυσίαις τὸ θεῖον ἐξιλεῦνται.

Ib. Βωμοῖσι], ἀντὶ τῦ, ναοῖς· εἶχον γὰρ φασὶ ναὺς ἱδρυμένυς πρὸ τῶν βασιλείων. Βωμός· τό οἰκοδόμημα ἐν ᾧ ἔθυον, ἀπὸ τύτυ βωμὸς, καὶ ὁ περιέχων τῦτον ναὸς· βωμὸς· καὶ ἐν ᾧ τὰ ἅρματα ἐτίθετο· ὡς παρ' Ὁμήρῳ. Ἅρματα δ' ἀμβωμοῖσι τίθει· ναὸς καὶ ἱερὸν, πᾶν τὸ οἰκοδόμημα, ὑφ' ὗ περιέχεται ὁ βωμός. πρόναον· τὸ ἔμπροσθεν τῦ ναῦ· τέμενος, ἐν ᾧ καθεδρύετο τὸ ἄγαλμα. λέγεται τέμενος ἁπλῶς, καὶ ὁ ἀποκεκομμένος καὶ ἀνατεθειμένος τόπος τινί.

17. Πτέσθαι] ἀντὶ τῦ, βαδίσαι. Ἡ δὴ μεταφορὰ ἀπὸ τῶν νεοττῶν.

Ib. Σὺν γήρᾳ βαρεῖς] ἐφ' ἑαυτῦ τῷ πληθυντικῷ ἐχρήσατο, καὶ τὸ ἱερεῖς ὁμοίως. Βαρὺς δὲ ἐνίοτε μὲν λέγεται ἐπὶ ψυχῆς, ὡς ἐν τῷ, Τοιαῦτ' ἀνὴρ δύσοργος, ἐν γήρᾳ βαρύς· ἐνίοτε δὲ ἐπὶ τῦ σώματος, ὡς ἐνταῦθα.

18. Ἐγὼ μὲν] ἀπατώμενοί τινες, ἐκ τῦ, Ἐγὼ μὲν Ζηνὸς, φασὶ τὸ Οἱ δέ τ' ἠϊθέων, ἀντὶ τῦ, ὗτοι τῶν Διοσκύρων ἱερεῖς. Τὸ δὲ ὐ τοιῦτον· ἀλλ' εἰπὼν ἄνω τὸ, Ἡλίκοι προσήμεθα, καὶ διελὼν τῦτο εἰς τὸ Οἱ μὲν ὐδέπω πτέσθαι σθένοντες, καὶ εἰς τὸ Οἱ δὲ σὺν γήρᾳ βαρεῖς ἱερεῖς, ἑρμηνεύει πάλιν αὐτὰ, τὸ μὲν, οἱ δὲ σὺν γήρᾳ βαρεῖς ἱερεῖς, ἀντὶ τῦ, ἐγὼ μὲν ὑπάρχων γέρων ἱερεὺς τῦ Διός· τὸ δ', Οἱ δὲ ὐδέπω πτέσθαι σθένοντες, ἀντὶ τῦ, οἱ δὲ τῶν ἠϊθέων καὶ τῶν νέων ὄντες. ἀντὶ τῦ, νέοι λεκτοὶ καὶ ἔκκριτοι. Ἰςέον δ' ὅτι οἱ τῶν τῆς πόλεως ἐκκρίτων νήπιοι παῖδες ἦσαν μετὰ μόνυ τῦ ἱερέως. Διὰ τῦτο γὰρ καὶ ἄνω λέγει τὸ, Οἱ μὲν ὐδέπω πτέσθαι σθένοντες, καὶ ἐν ἀρχῇ τὸ, νέα τροφή. Διὰ τῦτο δὲ τύτυς ἔλαβε, διὰ τὸ εἰσακυσθῆναι αὐτὸν ὑπὸ Οἰδίποδος, ἐλεήσαντος τὸ τῆς ἡλικίας αὐτῶν ἄωρον, καὶ τὴν εὐγένειαν αἰδεσθέντος.

Ib. Οἱ δέ τ' ἠϊθέων] συνίζησις.

19. Λεκτοί] τὸ λεκτοὶ, τάχα μὲν εἰς σύςασιν τῶν παίδων, τάχα δὲ καὶ δημοσίαν ἐκφαίνει τὴν ἐκπομπὴν, ὡς ἐπιλεχθεῖσαν καὶ πεμφθεῖσαν παρὰ τῦ κοινῦ.

20. Πρός τε Παλλάδος διπλοῖς ναοῖς] δύο ἱερὰ ἐν ταῖς Θήβαις ἵδρυται τῇ Ἀθηνᾷ, τὸ μὲν, Ὁγκαίας, τὸ δὲ, Ἰσμηνίας. Οἱ δὲ ὕτως, τὸ μὲν, Ἀλαλκομενείας, τὸ δὲ, Καδμείας. Τινὲς δὲ τὸ τῆς Ἀλαλκομενείας ὐκ ἐν Θήβαις, ἀλλ' ἐν κώμῃ εἶναί φασιν.

21. Ἐπ' Ἰσμηνῦ τε μαντείᾳ] καὶ γάρ ἐςι παρὰ τῷ Ἰσμηνῷ Ἀπόλλωνος ἱερόν. Διό φησι, μαντείᾳ σποδῷ. Τῦτο δὲ ἀντὶ τῦ, βωμῷ, ὅτι διὰ τῶν ἐμπύρων ἐμαντεύοντο οἱ ἱερεῖς, ὥς φησι Φιλόχορος.

Ib. Μαντείᾳ σποδῷ] μαντικῇ. Χρησμὸς μὲν ὁ τῶν θεῶν· μαντεία δὲ καὶ μάντευμα, τὸ ἀπὸ μάντεων

Ἤδη σαλεύει, κἀνακωφίσαι κάρα
Βυθῶν ἔτ' ἐχ οἷά τε φοινίᾳ σάλῳ.
Φθίνουσα μὲν κάλυξιν ἐγκάρποις χθονὸς,
Φθίνουσα δ' ἀγέλαις βουόμοις, τόκοισί τε
Ἀγόνοις γυναικῶν. ἐν δ' ὁ πυρφόρος θεὸς
Σκήψας ἐλαύνει λοιμὸς ἔχθιστος πόλιν,
Ὑφ' ἧ κενῆται δῶμα Καδμείων· μέλας
Δ' ἀΐδης ςεναγμοῖς καὶ γόοις πλεθίζεται.
Θεοῖσι μέν νυν οὐκ ἰσόμενόν σ' ἐγὼ,

μάλεων ἀνθρώπων. Ἐνθαῦθα δὲ τὸ ἁπλῶν ἀντὶ τῦ κλινικῦ.

1b. Μανίεία σποδῷ] εὔρηλαι καὶ μανίείας, καὶ μανίεία. Καὶ τᾶτο πάλιν τὸ μανίεια διπλᾶν. Εἶτε γὰρ περισπάσεις, πάτε αἰτιατικὴ πληθυντικῶν ἐςὶ, τὰς μανίεῖα· Εἶτ' ὀξυνεῖς, δοτικὴ ἐςὶ, τῇ μανίεια. Εἰ μὲν ἦν μανίείας γράφεις, ἔτως ἐρεῖς, καὶ ἐν σποδῷ Ἰσμηνῦ μανίείας. Τᾶτ' ἔςιν, οἱ μὲν Ἀθηνᾶς ἐν τοῖς ναοῖς καθίδρυλαι, οἱ δὲ Θυσίαν ἐν τῷ Ἰσμηνῷ ποιῆσι, καθ' ἣν ἐκ τῆς ἀνάψεως τῷ πυρὸς τὸ μέλλον μανίεύονται. Εἰ δὲ μανίεια, ἤτως, ἐπὶ σποδῷ μανίεία καὶ μανίική. Τὸ δὲ ἕτερον μανίεῖα, ἤτως, ἐν σποδῷ τῦ Ἰσμηνῦ, ἐπὶ μανίεῖα καὶ μανίεύμαλα. Ὅπως δ' ἐποίεν τὴν μανίείαν διὰ πυρὸς, ἐν Αἰσχύλῳ ἐρρέθη εἰς τὰς Ἑπτὰ ἐπὶ Θήβαις.

22, 23. Ἅλαν—σαλεύει.] Ἦλθεν, πάνυ ταράττεται, ἐν μεγάλῳ κλύδωνί ἐςιν, ἐν μεγάλῳ κινδύνῳ.

23. Ἤδη σαλεύει] Ἡ μεταφορὰ ἀπὸ τῶν χειμαζομένων νεῶν.

24. Βυθῶν—σάλῳ] ἀπὸ τῦ σάλε τῶν βυθῶν τῦ φοινίκε, ὐκέτι οἷά τέ ἐςιν, ἦλθεν, δύναλη. . . . . .

1b. Φοινίκε σάλῳ] ἦλθεν, τῦ θανάτε παρεκλικῦ λοιμῦ. Ἔςι δὲ τὸ βυθῶν, καὶ τὸ φοινίκε σάλε, ὅσπερ πάνυ, ἤτως, καὶ ὐκ οἷά τε ἐςιν ἀνακυφίσαι καὶ ἄνω τῶν βυθῶν ἐνέγκαι τὸ κάρα τῇ φοινίκε, λέγω σάλε. Τᾶτ' ἔςιν, ἡ δύναλαι τῶν καλασχόντων αὐτὴν ἀπαλλαγῆναι κακῶν. Εὕρηλαι δ' ἐκ μεταφορᾶς τῶν ἐν ὕδασι κινδυνευόντων.

25. Φθίνουσα μὲν κάλυξιν] σὺν τοῖς βλασήμασιν. Οὐ μόνον ἀφορίαν φησὶν εἶναι τῆς γῆς, ἀλλὰ καὶ τὰς ςεφυκάτας καρπὰς διαφθείρεσθαι ὑπὸ τῦ λοιμῦ.

1b. Ἐγκάρποις χθονὸς] εἰκότως εἶπε τὸ ἐγκάρπιος πρὸς τὸ κάλυξιν. Κάλυξ γὰρ κυρίως τὸ τῦ ῥόδε περικάλυμμα· νῦν δὲ ἐκ τῦ ἐγκάρπιος, πάντα τὰ ζωὴν ἀνθρώποις καὶ κλίνεσι φέροντα σπέρματ' ἐδήλωσεν.

1b. Φθίνουσα μὲν] Φθείρομαι μὲν, καὶ τὰς καρποφόρους κάλυκας τῆς γῆς.

26. Φθίνουσι δ' ἀγέλαις] Φθείρομαι δὲ, καὶ τὰς ἀγέλας τῶν νομάδων βοῶν· ἀντὶ τῦ, τῶν ζώων ἁπλῶς τῶν νεμομένων.

1b. Τόκοισί] Καὶ μείὰ τὰς τόκους τῶν γυναικῶν τὰς ἀγόνους, ἦγεν, τὰς κακογόνους. Τὴν λοιμικὴν νόσον ἐκάλεσαν ἐνθαῦτα Θεόν.

27. Ἀγόνοις] κακογόνοις.

1b. Πυρφόρος Θεὸς] ὁ λοιμὸς ὁ πυρεῖοφόρος· τὸν γὰρ πυρεῖον, πῦρ καλῦσι. Καὶ τὸ ἐναντίον, ὡς Ὅμηρος· Καί τε φέρει πολλὸν πυρεῖόν.

28. Σκήψας] ἐπιβαλών.

29. Δῶμα Καδμείων] περιφραςικῶς ἡ πόλις. Ἡ ἀντὶ τῦ τὰ δώμαλα πάντα τὰ τῆς πόλεως.

1b. Κενῆται δώμα] Στερίσκεται τῦ πλήθυς τῦ πληρῦντος αὐτό.

30. Ἀΐδης] ὁ περὶ τὴν γῆν σκοτεινὸς ἀήρ.

33. Ἀν-

Οὐδ' οἵδε παῖδες, ἑζόμεσθ' ἐφέσιοι,
Ἀνδρῶν δὲ πρῶτον ἔν τε συμφοραῖς βίᾳ
Κρίνοντες, ἔν τε δαιμόνων ξυναλλαγαῖς·
Ὅς γ' ἐξέλυσας, ἄσυ Καδμείων μολὼν,
Σκληρᾶς ἀοιδοῦ δασμὸν, ὃν παρείχομεν.
Καὶ ταῦθ' ὑφ' ἡμῶν οὐδὲν ἐξειδὼς πλέον,
Οὐδ' ἐκδιδαχθείς· ἀλλὰ προσθήκῃ θεῶ
Λέγῃ, νομίζῃ θ' ἡμῖν ὀρθῶσαι βίον.
Νῦν τ', ὦ κράτιστον πᾶσιν Οἰδίπου κάρα,
Ἱκετεύομέν σε πάντες οἵδε πρόσποποι,
Ἀλκήν τιν' εὑρεῖν ἡμῖν, εἴτέ τι θεῶν

33. Ἀνδρῶν δὲ πρῶτον] ὁ μόνον ἦν ὡς βασιλέως δέοντας, ἀλλὰ καὶ σοφοῦ. Κάλα βραχὺ δὲ παρεμβάλλει ἡμῖν ὁ ποιητὴς τὰ τῆς ἱστορίας τοῦ Οἰδίποδος.

Ib. Συμφοραῖς] ταῖς βιοτικαῖς συνδυχίαις.

34. Ἔν τε δαιμόνων ξυναλλαγαῖς] καὶ ἐν ταῖς πρὸς τὸ θεῖον κοινωνίαις καὶ φιλίαις. Τὸ σοχάζεσθαι τῆς τῶν θεῶν διανοίας. Ἐκ τούτου δὲ παθητικωτέραν τὴν τραγῳδίαν ποιεῖ, ὅταν ὁ τοιοῦτος εἶναι νομιζόμενος, φανῇ καινοῖς μίσεσιν ἔνοχος.

35. Ὅς γ' ἐξέλυσας, ἄσυ Καδμείων μολὼν] ὥστε μολὼν ἄσυ Καδμείων· ἵνα καὶ ἡ ἀπὸ ξένης αὐτοῦ ἄφιξις δηλωθῇ.

Ib. Ὅς γ' ἐξέλυσας] ἡ σύνλαξις, ὃς μολὼν καὶ ἐλθὼν ἐκ Κορίνθου, ἐξέλυσας καὶ ἠλευθέρωσας τὸ ἄσυ τῶν Καδμείων τῆς σκληρᾶς ἀοιδοῦ. Δέον δ' εἰπεῖν τῇ δασμῷ καὶ τῇ φόρῳ, ὃν ἐκάσλοι' αὐτῇ παρείχομεν, διὰ τὴν τῶν αἰνιγμάτων ἄξιοιαν· ὁ δὲ πρὸς τὸ ὂν ἐποίησε δασμόν.

Ib. Ὅς γ'—ἄσυ μολὼν] ἐλθὼν εἰς τὴν πόλιν τῶν Καδμείων.

Ib. Ἐξέλυσας] ἀντὶ τῇ ἔλυσας. Ἦγεν, ἔπαυσας τὸν δασμὸν τῆς σκληρᾶς ἀοιδοῦ, ἦγεν, τῆς σφιγγὸς, ὃν παρείχομεν.

36. Σκληρᾶς ἀοιδοῦ] ὅτι τὸ ἀοιδοῦ εὐφημόν ἐςι, προσέθηκε σκληρᾶς· ὃ ἐςι δυσκόλου, διὰ τὸ αἰνιγμα· ἡ φονικῆς.

Ib. Ἀοιδοῦ] λέγει ἐπεὶ ἐμμέτρως ἔλεξε τὰ αἰνίγματα. Δάσμα τὸ τέλος, διότι καὶ ἔτος ἀπῆτει τοῖς πολίταις ἄνθρωπον. Δασμὸς τὸ τέλος καὶ φόρος. Ἀναδασμοὶ δὲ τῆς γῆς, ἡ ἀναμέτρησις καὶ ἡ ἐκ δευτέρου διαίρεσις.

37. Οὐδὲν ἐξειδὼς πλέον] ἀδὲν εἰδὼς, ἀδὲν εἰς προσθῆκην τῆς σῆς γνώσεως. Τὸ πλέον ἔτω τιθέμενον, ὃ περισσὸν τίθεται, ἀλλ' ἔχον ἀεὶ ὅπου ἀποδοθήσεται· οἷον, σπεύδασας, ἀδὲν πλέον ἤνυσα. ἀντὶ τοῦ, ἀδὲν πλέον τῆς σπουδῆς. Καὶ, Δέγδρεσιγ εὐκάρποις ἀδὲν πλέον, τῆς εὐκαρπίας δηλονότι, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

38. Οὐδ' ἐκδιδαχθείς] οἷον, ὃ προακύσας παρ' ἡμῶν τὸν τρόπον τῶν αἰνιγμάτων, ὅπερ συνελάμβανέ πως σοὶ πρὸς τὴν λύσιν· ὡς πρὸς Θεοφιλῆ ὧν καὶ εὐτυχῆ ἀπαντῶσι. Περιτρέπει δὲ ἡ ἐξ, ἢ ἡ ὑπό.

Ib. Προσθήκῃ] συμβολῇ, ἐπικουρίᾳ.

39. Ὀρθῶσαι βίον] ἀνορθῶσαι· ἀπὸ μεταφορᾶς τῶν κλινομένων, ὅταν αὐτά τις ἀνορθοῖ.

40. Ὦ κράτιστον πᾶσιν Οἰδίπου κάρα] ὃ ὑπὸ πάντων κράτιστος εἶναι ὑπολαμβανόμενος, ὃ πᾶσι τοῖς προειρημένοις, τύχῃ, συνέσει, Θεοφιλίᾳ.

41. Πρόσποποι] προσπεπλωκότες, προσέρραμμένοι. Ἴσως δὲ τοῦτο εἶπων ὁ ὑποκρίτης προσπίπτει πρὸς τὰς ᾠδὰς τοῦ ἀρχοντος.

Ib. Πρόσποποι] Πρὸς σὲ τέθραμμένοι, καὶ παραγώγως. προσρόπαιος ἀλλαχοῦ. Ἥκει δὲ προσρόπαιος.

43. Φά-

Φήμην ἀκούσας, εἴτ' ἀπ' ἀνδρὸς οἶσθά που.
" Ὡς τοῖσιν ἐμπείροισι, καὶ τὰς ξυμφορὰς
" Ζώσας ὁρῶ μάλιστα τῶν βουλευμάτων.
Ἴθ', ὦ βροτῶν ἄριστ', ἀνόρθωσον πόλιν.
Ἴθ', εὐλαβήθηθ'· ὡς σὲ νῦν μὲν ἥδε γῆ
Σωτῆρα κλῄζει τῆς πάρος προθυμίας·
Ἀρχῆς δὲ τῆς σῆς μηδαμῶς μεμνώμεθα,
Στάντες γ' ἐς ὀρθὸν, καὶ πεσόντες ὕστερον.
Ἀλλ' ἀσφαλείᾳ τήνδ' ἀνόρθωσον πόλιν.
Ὄρνιθι γὰρ καὶ τὴν τότ' αἰσίῳ τύχην

43. Φήμην] χρησμόν. Ἐπὶ μὲν θεῶν χρῆσμὸς ἁπαντᾷ οἰκείως· ἐπὶ δὲ τοῦ ἀνδρὸς προσυπακούεται ἡ μαντεία κατ' ἀναλογίαν.

44. Ὡς τοῖσιν ἐμπείροισι] ὅτι καὶ τοῖς ἐμπείροις τῶν βουλευμάτων, ἤγουν, τοῖς ἄριστα βουλευομένοις, ὁρῶ καὶ βλέπω οὐ μόνον τὰ κακὰ καὶ τὴν περὶ τούτων ζήτησιν, ἀλλὰ καὶ μάλιστα τὰς συμφορὰς ζώσας. τοῦτ' ἔστιν, ἐν μὲν τοῖς ἄλλοις πᾶσιν ὥσπερ νεκρά ἐστι τὰ συμβάντα καλὰ ἢ κακὰ, διὰ τὸ μὴ δύνασθαι καταλαμβάνειν αὐτὰ, καὶ ὅθεν ἐπῆλθε φράζειν· τοῖς δὲ καλῶς βουλευομένοις, καὶ τὰ καλὰ ζῶσιν. Ἤγουν, ἄριστα καταλαμβάνεται δι' ἣν αἰτίαν συνέβη· καὶ μάλισθ' αἱ ὑπαρχόμεναι δυστυχίαι τῷ κόσμῳ. Οὗτοι γὰρ δύνανται καὶ ὅθεν ἐπῆλθεν ἐξηγεῖσθαι, καὶ μηχανήν τινα φράζειν, δι' ἧς τάχιστα παύσεται.

45. Ζώσας] ἐνεργεστέρας.

46. Ἴθ', ὦ βροτῶν ἄριστ'] διεξελθὼν τὰ τῆς πόλεως κακὰ, καὶ ὅτι ἱκανός ἐστιν ἐπινοῆσαι ἀπαλλαγὴν, ἐπάγει ὅτι καὶ χρήσιμον σῶσαι τὴν πόλιν, μᾶλλον δὲ κινδυνῶδες τὸ ἀμελῆσαι. Ἴθι οὖν καὶ εὐλαβήθητι μὴ τὴν ὑπάρχουσαν δόξαν τὴν ἐπὶ τῇ εὐποιΐᾳ ἀπολέσῃς. Πάνυ δὲ αἰδημόνως οὐκ εἶπεν, ὅτι οὐκ ἔτι τιμήσεισε ἡ πόλις, ἀλλὰ σὺν τῇ εὐχῇ τὸ ὅλον κατέθηκεν. Εἰώθαμεν δὲ καὶ τῶν ἀτυχημάτων καὶ τῶν εὐημεριῶν μνημονεύειν, καθὼς ἄρχοντες ἀποβῶσιν. Ἔασον οὖκ (φησὶν) ἀκέραιον τὴν προγεγενημένην σοι δόξαν· ἵνα αὐτὸ τοῦτο λέγωμεν, ὅτι ἐπὶ Οἰδίποδος τῆς σφιγγὸς ἀπαλλαγέντες, εὖ διαγεγόναμεν.

Ib. Ἄριστ'] ἀρείων συγκριτικὸν, ὅθεν καὶ πρὸς ἑνικὴν γενικὴν ἔχει τὴν σύνταξιν· ὡς τὸ, Ἀρείων ὁ Ἀχιλλεὺς τοῦ Αἴαντος τὰ πολεμικά· Ἄριστος ὑπερθετικὸν, ὅθεν καὶ πρὸς γενικὴν τῶν πληθυντικῶν ἔχει τὴν ἀπόδοσιν τῆς συντάξεως.

48. Κλῄζει] Κλέω, κλείζω, κληΐζω, κλῄζω.

49. Ἀρχῆς δὲ τῆς σῆς] ὧν καταρχὰς ἐποίησας, οὐδαμῶς μεμνησόμεθα.

51. Ἀλλ' ἀσφαλείᾳ] γνώμῃ ἀσφαλεῖ, καὶ ἐχυρᾷ εὐβουλίᾳ, τὸ ἐμπεσὸν κακὸν τῇ πόλει ἀνόρθωσον.

Ib. Ἤγουν, ποίησον τὴν πόλιν ἀσφαλῆ μένειν, ὡς καὶ μὴ καταβληθῆναι, βοήθειαν πρότερον λαβοῦσαν παρά σου.

Ib. Ἀνόρθωσον] Ἀνεστηκυῖαν ποίησον, ἤγουν, ἀνάστησον.

52. Ὄρνιθι—αἰσίῳ] μαντείᾳ εὐσυμβόλῳ. Ὄρνιθες, ἁπλῶς μὲν πάντα τὰ πετόμενα· ἰδίως δὲ οἱ εἰς μαντείαν συντείνοντες. Ἀφ' οὗ ἔλεγον καὶ πᾶν τὸ εἰς μαντείαν συντεῖνον, ὄρνιν, οἷον, πταρμὸν, ἢ παλμὸν, ἢ τοιοῦτόν τι. Οὐ μόνον δὲ τὰ εἰς μαντείαν συντείνοντα, ἀλλ' ἤδη καὶ αὐτὴν ἁπλῶς τὴν μαντείαν ὄρνιν καλοῦσι, καθ' ὃ λέγεται ἐνταῦθα. Τὸ αἴσιον δὲ καὶ τὸ ἀπαίσιον ἐπὶ τῆς τῶν ὀρνίθων μαντείας· κυρίως λέγεται, καὶ ἀπὸ τούτου καὶ ἐπ' ἄλλων, οἷον, ἀπαίσιοι ὄρνιθες, οἱ δυσοιώνιστοι· αἴσιοι δὲ, τὸ ἐναντίον, οἷον, οἱ εὐσύμβολοι καὶ τα ἀγαθὰ σύμβολα δηλοῦντες.

Ib. Ὄρνιθι γὰρ] τοῦτ' ἔστιν, ἐξ ὧν τὰ σφιγγὸς εὗρες αἰνίγματα, ἃ μηδεὶς ἀνθρώπων, ὡς κατὰ ῥοῦν ἔτι χωρήσομεν, ἐποίησας ἡμῖν εὔδηλον. Τοῦτο γάρ ἐστι τὸ ὄρνιθι αἰσίῳ.

54. Ὡς

Παρέσχες ἡμῖν, καὶ τανῦν ἴσος γενȣ̃.
Ὡς εἴπερ ἄρξεις τῆσδε γῆς, ὥσπερ κρατεῖς,
Ξὺν ἀνδράσιν κάλλιον ἢ κενῆς κρατεῖν.
" Ὡς ȣ̓δέν ἐςιν ȣ̓̓τε πύργος, ȣ̓̓τε ναῦς,
" Ἔρημος ἀνδρῶν, μὴ ξυνοικȣ́ντων ἔσω.——
ΟΙΔ. Ὦ παῖδες οἰκτροὶ, γνωτὰ κȣ̓κ ἄγνωτά μοι
Προσήλθεθ' ἱμείροντες· εὖ γὰρ οἶδ', ὅτι
Νοσεῖτε πάντες, καὶ νοσȣ̃ντες, ὡς ἐγὼ,
Οὐκ ἔςιν ὑμῶν ὅςις ἐξ ἴσȣ νοσεῖ.
Τὸ μὲν γὰρ ὑμῶν ἄλγος εἰς ἕν' ἔρχεται
Μόνον καθ' αὑτὸν, κȣ̓δέν' ἄλλον· ἡ δ' ἐμὴ
Ψυχὴ πόλιν τε κἀμὲ καί σ' ὁμȣ̃ ςένει,
Ὥς' ȣ̓χ ὕπνῳ γ' εὕδοντά μ' ἐξεγείρετε,
Ἀλλ' ἴςε πολλὰ μέν με δακρύσαντα δὴ,
Πολλάς δ' ὁδȣ̀ς ἐλθόντα φροντίδος * πλάναις·

* Turn. πλάνοις.

54. Ὡς εἴπερ ἄρξεις τῆσδε] τὸ πᾶν τȣ̃ κινδύνȣ (φησὶν) εἰς σὲ φθάνει. Τίνος γὰρ ἄρξεις, ἢ ποίαν ἕξεις πολιτείαν, ἀπολωλότων τῶν οἰκȣ́ντων;

55. Ἢ κενῆς κρατεῖν] Ἐςερημένης τῶν ἀνθρώπων των πληρȣ́ντων αὐτήν.

Ib. Κρατεῖν] Κρεῖττον τῆς πόλεως κρατεῖν, ἀνδρῶν ἐνοικȣ́ντων αὐτὴν, ἢ κενῆς· καὶ εὐθὺς τὸ ἐπιχείρημα ἀπὸ ἐλάττονος.

56. Ὡς ȣ̓δέν ἐςιν] καὶ Ἀλκαῖος φησὶν, Ἄνδρες, πόλεως πύργοι ἀρήϊοι. Καὶ Δημοσθένης, Ἄνδρες γὰρ πολεις, καὶ ȣ̓ τείχη. Ὅμοιον δὲ τὸ τῶν νεῶν ταῖς πόλεσιν· ὅθεν καὶ τροπικοῖς τοῖς ὀνόμασιν ἀπὸ τῶν εἰωθότων χρῶνται ἐπὶ τῶν πόλεων, οἴακας νῦν ἀντὶ τȣ̃ ἄρχοντας λέγοντες, καὶ ὀρθῶς πλεῖν τὴν πόλιν φάσκοντες.

Ib. Ὡς ȣ̓δέν ἐςὶν] Οὔτε γὰρ ναῦς καὶ πύργος τὶ, πύργος καὶ ναῦς ἔρημος ἄνδρων οὐδὲν τυγχάνει.

58. Ὦ παῖδες] συγκατάθεσις Οἰδίποδος.

Ib. Ὦ παῖδες οἰκτροὶ] ȣ̓κ εἰς τὴν ἡλικίαν τοσȣ̃τον τὸ ὦ παῖδες, ὡς ἂν ἁρμόζον ἐςὶ τῷ φιλοφρονȣμένῳ ἤθει. Οἷον καὶ τὸ, ὦ τέκνα, ἐν ἀρχῇ. Πρὸς τȣ̀ς παῖδας δὲ διαλέγεται, ὡς οἰκτροτέρȣς καὶ μᾶλλον βοηθείας δεομένȣς. Ἅμα δὲ καὶ διὰ τὸ πλῆθος, ὡς ἐπικρατέςερον.

Ib. Γνωτὰ κȣ̓κ ἄγνωτά] Ἀλλ' ἐγνωσμένα. Ἔχει δὲ τὸ πᾶν ἐνθύμημα ȣ̓̓τω· Νοσεῖτε πάντες· Οὐδεὶς δὲ νοσεῖ ὡς ἐγὼ νοσῶ· εἰς ὑμῶν γὰρ τὸ οἰκεῖον σκοπεῖτε· ἐγὼ δὲ, καὶ τὸ οἰκεῖον καὶ τὸ κοινόν.

65. Ὥς' ȣ̓χ ὕπνῳ] ἀντὶ τȣ̃, ȣ̓κ ἀμέριμνόν με ὄντα παρακαλεῖτε φροντίζειν, ἀλλὰ πρὸ πολλȣ̃ πεφροντικότα.

66. Ἀλλ' ἴςε πολλὰ] πολλὰς ὁδȣ̀ς, ἤγȣν, πολλὰς φροντίδας πλανηθέντα, ζητȣ̃ντα τὸ τȣ̃ κακȣ̃ αἴτιον. Ἰςέον δ' ὅτι ȣ̓ μόνον θηλυκῶς ἡ πλάνη, ἀλλὰ καὶ ὁ πλάνος· ὥσπερ καὶ εὐθύνη καὶ εὔθυνος· ὡς ἔχει καὶ τὸ τȣ̃ Ἰσοκράτȣς. Τȣ̀ς φυγαδικȣ̀ς πλάνȣς.

Ib. Δακρύσαντα] Οὐκ εἶπε δακρύσαι, ἀλλὰ δακρύσαντα, διὰ τὸ ἴςε· γνωςικὸν γὰρ ὂν μετὰ μετοχῆς συντακτέον.

67. Πολλὰς δ' ὁδȣ̀ς ἐλθόντα] πολλὰς γνώμης ἐπιβȣλὰς ἐν τῇ σκέψει πλανώμενος ἦλθον, ἕως ȣ̓ ἀρίςην εὗρον τὴν ἐπὶ τὸν θεὸν καταφυγήν.

Ἦν δ' εὖ σκοπῶν εὕρισκον ἴασιν μόνην,
Ταύτην ἔπραξα· παῖδα γὰρ Μενοικέως
Κρέοντ', ἐμαυτῷ γαμβρὸν, ἐς τὰ Πυθικὰ
Ἔπεμψα Φοίβου δώμαθ', ὡς πύθοιθ' ὅ, τι
Δρῶν, ἢ τί φωνῶν, τήνδε ῥυσαίμην πόλιν.
Καί μ' ἦμαρ ἤδη ξυμμετροῦμενον χρόνῳ,
Λυπεῖ, τί πράσσει· τῷ γὰρ εἰκότος πέρα,
Ἄπεστι πλείω τῷ καθήκοντος χρόνου.
Ὅταν δ' ἵκηται, τηνικαῦτ' ἐγὼ κακὸς
Μὴ δρῶν ἂν εἴην πάνθ' ὅσ' ἂν δηλοῖ θεός.——

ΙΕΡ. Ἀλλ' εἰς καλὸν σύ τ' εἶπας· οἱ δέ τ' ἀρτίως
Κρέοντα προσείχοντα σημαίνουσί μοι.

ΟΙΔ. Ὦ ναξ Ἄπολλον, εἴ γὰρ ἐν τύχῃ γέ τῳ
σωτηρίαν ἔπεμψε, φανερὸς ἂν μόλοι.

ΙΕΡ. Ἀλλ' οὖν ὁρῶμεν· ἀρτίως γὰρ ἐγγύς ἐστι δῶν
ἑορτάσιμος ἀγλαὸν Φοίβου πρόσωπον ἐστεφανωμένος.

ΟΙΔ. Ἄναξ, ἐπ' ἐσθλοῖς ἦλθες ἢ κακοῖς πόλιν;
Ὅτου μὲν οὖν ἔχοντος ἐκ τοῦ σοῦ στόμα
Ἐλπίζομεν σωθῆναι, καὶ σωθήσεται.

ΚΡΕ. Ἐσθλοῖς· τὰ γὰρ δύσφορα, εἰ τύχοι, τιθεὶς
Ὀρθοῖ τις εὐτυχοῦντα πράγματα πάλιν.

ΟΙΔ. Ἀλλ' ἐκφανῆ τί φησι· τοῖς δ' ἐμοῖς φίλοις
Οὐ δεῖ με τοῦ θεοῦ τὸ μέλλον ἐκκρύπτειν μακράν.

ΚΡΕ. Ἐγὼ μὲν οὖν ἕτοιμος· εἰ δὲ βούλεται
Πλήθουσι μᾶλλον, ἔστω καὶ στείχειν ἕτοιμος ἦν.

ΟΙΔ. Ἀλλ' ἐκμάθωμεν· ἄξιος γὰρ ἐκφοβεῖν
Ὁρῶ σε τοῦ θανόντος, ὃν κτανεῖν λέγω.

ΚΡΕ. Ποῦ δ' ἔστιν ἡμῖν ἔρνος ἐκπεπυσμένον;

ΟΙΔ. Γῆς ἐν Λακωνικῆς, εἰ μὴ λόγοι κλύουσί με.

ΚΡΕ. Ἔπραξε δ' ἢ ἔπαθε τι τοῦτο πρὸς χρόνου;

ΟΙΔ. Ἀπῆλθε χειμὼν καὶ μακρὸς καὶ δυσπόρος.

ΚΡΕ. Ἐν τοῖσι δ' ἦλθε τοῖς τότ' ἐκφανὴς ἄναξ;

ΟΙΔ. Ἐν τοῖς· ἐν ἀρχῇ γ' ἦλθε τοῦ κρατοῦντος ἐμοῦ.

ΚΡΕ. Ἐν τοῖς δ' ἐμοῖς ἔτ' ἦν

Σωτῆρι βαίη λαμπρὸς ὥσπερ ὄμματι.
ἹΕΡ. Ἀλλ' εἰκάσαι μὲν, ἡδύς· ȣ̓ γὰρ ἂν κάρα
Πολυςεφὴς ὧδ' εἶρπε παγκάρπȣ δάφνης.
ΟΙΔ. Τάχ' εἰσόμεσθα· ξύμμετρος γὰρ ὡς κλύειν.
Ἄναξ, ἐμὸν κήδευμα, παῖ Μενοικέως,
Τίν' ἡμῖν ἥκεις τȣ̃ θεȣ̃ φήμην φέρων;
ΚΡΕ. Ἐσθλήν· λέγω γὰρ καὶ τὰ δύσφορ', εἰ τύχοι
Κατ' ὀρθὸν ἐξελθόντα, πάντ' ἂν εὐτυχεῖν.
ΟΙΔ. Ἔςιν δὲ ποῖον τȣ̃πος; ȣ̓τε γὰρ θρασὺς,
Οὔτ' ȣ̃ν προδείσας εἰμὶ τῷ γε νῦν λόγῳ.
ΚΡΕ. Εἰ τῶνδε χρῄζεις πλησιαζόντων κλύειν,

σομένῳ χρησμῷ κεῖται τὸ τῆς ἀπαλλαγῆς. Εἴθε ȣ̃ν παραγένοιτο Κρέων ἐπί τινι σωτηρίῳ τύχῃ λαμπρὸς, ἐκ τῆς περὶ τὸ πρόσωπον καταςάσεως φαιδρός. Δεληθότως δὲ δείκνυσιν ἡμῖν τὸ σχῆμα τȣ̃ ὑποκριτȣ̃ ὁποῖον εἰσῆλθε.

Ib. Εἴ γὰρ ἐν τύχῃ γέ τῳ] Εἴθε γὰρ ἐν τύχῃ τινὶ, ὥσπερ παρὰ τοῖς Αἰολεῦσι τὸ ὅντινα κοινόν ἐςι κατὰ γένος, ȣ̓τω καὶ παρὰ τοῖς Ἀττικοῖς τὸ τȣ̃, καὶ τό τῷ, κοινῶς λέγεται. Οὔτέ τȣ κλύων σάλπιγγος. Καί τȣ χρείας, καὶ, ἐν τύχῃ γέ τῳ.

Ib. Ἐν τύχῃ γέ τῳ] τȣ̃θ' ὅμοιον τῷ παρ' Αἰσχύλῳ, τῷ, Πέμπει ἡμῖν ἤδη τόνδε, σὺν τύχῃ δὲ τῳ. Δέον γὰρ εἰπεῖν ἐν τύχῃ τῇ καὶ τινὶ, πρὸς ἀρσενικὸν Ἀττικῶς ἔτρεψεν· ὥσπερ ἐςὶ καὶ, ȣ̓τε τȣ σάλπιγγος κλύων· καὶ ἄλλα, ὡς ἔφαμεν εἰς τὸ αὐτό.

82, 83. Κάρα πολυςεφὴς] οἱ γὰρ ἐπί τινι αἰσίῳ παραγενόμενοι ἐκ Δελφῶν, ἐςεμμένοι ἐπανήεσαν. Ὡς καὶ Ἀριςοφάνης ἐν Πλȣ́τῳ φησί.

83. Παγκάρπȣ δάφνης] μὴ λάβῃς εἰς τȣ̃το ἔξωθεν τὸ ἀπὸ, ἀλλὰ πρὸς τὸ πολυςεφὴς, ἐςὶν ἡ γεννική.

84. Ξύμμετρος γὰρ ὡς κλύειν] ȣ̓κ ἔςι (φησὶ) μακρὰν, ἀλλ' ἐγγύς. καὶ μέτρον ἔχων τȣ̃ ἀκȣ́ειν, διὰ τὸ πλησίον γένεσθαι. Ἄλλως. Ἐπὶ τȣ̃ διαςήματος ὤφειλε θεῖναι τὸ σύμμετρον· Ὁ δὲ ἐπὶ τȣ̃ προσώπȣ τίθησιν ἀντιςρόφως. Τὸ σχῆμα δὲ τȣ̃το τȣ̃ λόγȣ καὶ τῷ πεζῷ λόγῳ σύνηθες, ὥσπερ καὶ τὸ ταχὺς ἦλθεν.

85. Ἄναξ, ἐμὸν κήδευμα] ἴδιον τῶν ἐν χρείᾳ καθεςώτων φιλοφρονεῖσθαι μείζοσιν ὀνόμασι τȣ̀ς ταπεινοτέρȣς.

87. Ἐσθλήν· λέγω γὰρ] Ὁ μὲν Οἰδίπȣς τίς εἴη ὁ χρησμὸς ἐπυνθάνετο, ὁ δὲ ȣ̓κ εὐθὺς αυτὸ τὸ ῥητὸν ψιλὸν εἶπεν. Ἀπὸ γὰρ τῶν εὐφήμων ἄρξασθαι θέλει· ὁ δὲ νȣ̃ς, λέγω γὰρ πάντα ἂν εὐτυχεῖν τὴν πόλιν, εἰ καὶ τὰ δύσφημα τύχοι ἂν κατ' ὀρθὸν ἐξελθόντα. τȣτέςιν, εἰ τὰ ἄγνωςα γνωσθείη, τὸ τίς ἐςιν ὁ φονεὺς Λαΐȣ· ȣ̓δὲν γὰρ χαλεπὸν ἔνι ἐν τῷ χρησμῷ, ἀλλ' ἀγνοεῖται μόνον τὸ ὑπ' αὐτȣ̃ ῥηθέν.

Ib. Καὶ τὰ δύσφορ', εἰ τύχοι] καὶ τὰ χαλεπὰ εἰ τύχοι κατ' ὀρθὸν προϊόντα, πάντα εὐτυχεῖν ἡμᾶς λέγω.

87, 88. Εἰ τύχοι — ἐξελθόντα.] Ἤγȣν, ἐξέλθοι εἰ τελεσθείη.

89. Ἔςιν δὲ ποῖον τȣ̃πος] ὅτι ἀσαφῆ τὸν λόγον εἶπεν, ἔτι ἀξιοῖ αὐτȣ̃ τȣ̃ ῥητȣ̃ ἀκȣ̃σαι· μέχρι γὰρ νῦν ȣ̓τε θαρσήσας, ȣ̓τε ἔμφοβός εἰμι, τῶν ὑπό σȣ ἀκȣ́σας.

Ib. Τȣ̃πος] τὸ ἔπος, τȣ̃πος. Τὸ ἔλαιον, τȣ̃λαιον. Τὸ ἐμὸν, τȣ̀μόν. Τὸ ἔδαφος, τȣ̃δαφος. Τὸ ἄμεινον, τἄμεινον.

89, 90. Οὔτε γὰρ θρασὺς, ȣ̓τ' ȣ̃ν προδείσας] τὸ θρασὺς εἶπε διὰ τὸ ἐσθλὴν, καὶ τὸ, πάντ' ἂν εὐτυχεῖν. Τὸ δὲ προδείσας, διὰ τὸ δύσφορα.

90. Τῷ γε νῦν λόγῳ] ȣ̓ γὰρ ἐν τῷ νῦν λόγῳ χαίρω ἢ πάλιν φοβȣ̃μαι.

93. Ἐς

Ἕτοιμος εἰπεῖν, εἴτε καὶ ξείχειν ἔσω.
ΟΙΔ. Ἐς πάντας αὐδᾶ· τῶνδε γὰρ πλέον φέρω
Τὸ πένθος, ἢ καὶ τῆς ἐμῆς ψυχῆς πέρι.
ΚΡΕ. Λέγοιμ' ἂν οἷ' ἤκουσα τἄ θεᾶ πάρα. 95
Ἄνωγεν ἡμᾶς Φοῖβος ἐμφανῶς ἄναξ,
Μίασμα χώρας, ὡς τεθραμμένον χθονὶ
Ἐν τῇδ', ἐλαύνειν, μηδ' ἀνήκεσον τρέφειν.
ΟΙΔ. Ποίῳ καθαρμῷ; τίς ὁ τρόπος τῆς ξυμφορᾶς;
ΚΡΕ. Ἀνδρηλατᾶσίας, ἢ φόνῳ φόνον πάλιν 100
Λύσοντας, ὡς τόδ' αἷμα χειμάζον πόλιν.
ΟΙΔ. Ποίου γὰρ ἀνδρὸς τήνδε μηνύει τύχην;
ΚΡΕ. Ἦν ἡμῖν, ὦ ἄναξ, Λάϊός ποθ' ἡγεμὼν

93. Ἐς πάντας αὐδᾶ] ἐνώπιον πάντων λέγε.
Ib. —— αὐδᾶ] ἀξίως τῇ βασιλικῇ ἤθους δημοσίᾳ φράζειν κελεύει, ἅμα μὲν, ἐπεὶ μηδὲν ὑποπλεύων περὶ ἑαυτῆ, οἴεται καὶ θεραπαινὶς εἶναι· ἅμα δὲ καὶ ὑπὲρ τῆ ἐν μέσῳ ῥηθέντων ἀνυσθῆναι τὰ τῆς ἀναζητήσεως. Αὔξει δὲ ὁ ποιητὴς τὸ ὡς εὐνοϊκὸν ἦθος τῆ Οἰδίποδος, ὅπως αὔξοιτο τὰ τῆς τραγῳδίας, ὕστερον αἰτίᾳ αὐτῆ τῶν κακῶν ἀναφαινομένη.

93, 94. Πλέον φέρω τὸ πένθος] περὶ τέτων πλέον ἀγωνίζομαι, ἢ περὶ τῆς ἐμαυτῆ ψυχῆς.

94. Τὸ πένθος] τὸ τῶνδε· πρὸς τὸ πένθος συναπλέον, ἢ πρὸς τὸ πλέον· τὸ γὰρ πλέον πρὸς τὸ ἧ ἔχει τὴν δύναμιν. Ὅταν φέρω γὰρ τῶνδε τὸ πένθος, ἦγεν, ὑπὲρ τέτων πενθῶ πλέον, ἢ περὶ τῆς ἐμῆς ψυχῆς. Ἄξιος δὲ βασιλέως καὶ πρόσατε ὁ λόγος ἔτος.

95. Λέγοιμ' ἂν οἷ' ἤκουσα] ὅτι πολλάκις ἐκπίπλησι λοξοὶ χρησμοί.

Ib. Λέγοιμ' ἂν] Ἰσέον ὅτι Κρέων παρ' Ἀπόλλωνος μαθὼν ἀκριβῶς ὅτι Οἰδίπες ἦν ὁ τῆ λοιμῆ αἴτιος, φονεύσας τὸν πάλαι Λάϊον, καὶ ἀνόμως συνὼν τῇ μητρὶ, ἵνα μὴ δόξῃ αὐτῷ ἐπαχθὴς, κατὰ πρόσωπον ἐλέγχων, καὶ ἅμα δεδιὼς τὸ τῆς ἀρχῆς μέγεθος, ἵνα μή τι κακὸν ἐξ αὐτῆ πάθῃ, ἐγκαταμεμιγμένως ταῦτά φησι. Μαρτύριον δὲ ὅτι σύνοιδε, τὸ, λέγω γὰρ καὶ τὰ δύσφορ', εἰ τύχοι.

96. Ἄνωγεν] Διπλῶς γράφεται ἀνώγω, καὶ ἀνωγέω, ἀνωγῶ.

Ib. Ἐμφανῶς] ἵνα μὴ γένηται ἀφορμὴ τῆ παραπέμψασθαι τὸς χρησμὸς, ἅτας εἶπεν.

96, 97. Ἄνωγεν — μίασμα—] Ἡ θεραπεία ἄνωγε καθαῖραι τὸ μίασμα.

98. Μηδ' ἀνήκεσον] ἦγεν, ἀθεράπευτον· λέγει δὲ τῦτο, ἐχ ὅτι τὸ μίασμα θεραπείας ἐδεῖτο, ἀλλ' ὅτι ἡ τῇδ' ἀπέλασις θεραπεία τοῖς ἄλλοις εἶχεν.

Ib. Ἀνήκεσον] ἀπὸ τῆ α στερητικῆ μορίε, καὶ τῆ ἄκος.

99. Ποίῳ καθαρμῷ] ἀντὶ τῆ συμφέροντος πῶς καθαίρωμεν τὸ μίασμα, ἀνδρηλατᾶσίες ἦγεν, φονεύοντες; καὶ διὰ φόνε πάλιν λύσιες, ἦγεν, καθαίροντες φόνον.

100. Ἀνδρηλατᾶσίας] πρὸς τὸ ἐλαύνειν ἔχει τὴν δύναμιν. Πῶς δ' ἄνω ἐλαύνειν εἶπε, νῦν ἄμφω λέγει ἀνδρηλατᾶσίας, ἢ φόνῳ φόνον πάλιν λύσιας. Καὶ φαμὲν ὡς καὶ τὸ φονεῦσαι τὸν τῆ Λαΐε φονέα, ἀπέλασις τῆ μιάσματος ἦν.

101. Ὡς τόδ' αἷμα] ἦγεν, δι' ὃ τὸ μίασμα γέγονε· λέγει δὲ τὸν φόνον τῆ Λαΐε. Τὸ δὲ χειμάζον, ἀντὶ τῦ, κλυδωνίζον ᾗ διαφθεῖρον, Ἀττικῶς τέθειται, ἀντὶ τῆ χειμάζοντος καὶ διαφθείροντος τῆ αἵματος καὶ τῆ φόνε τῆ Λαΐε τὴν πόλιν.

104. Ἀγεν-

Γῆς τῆσδε, πρίν σε τήνδ' ἀπευθύνειν πόλιν.
ΟΙΔ. Ἔξοιδ' ἀκέων· ἐ γὰρ εἰσεῖδον γέ πω. 105
ΚΡΕ. Τάτε θανόντος, νῦν ἐπισέλλει σαφῶς
Τὰς αὐτόενλας χειρὶ τιμωρεῖν τινάς.
ΟΙΔ. Οἱ δ' εἰσὶ πῆ γῆς; πῆ τόδ' εὑρεθήσεται
Ἴχνος παλαιᾶς δυσέκμαρτον αἰτίας;
ΚΡΕ. Ἐν τῇδ' ἔφασκε γῇ· "τὸ δὲ ζητέμενον, 110
"Ἀλωτόν· ἐκφεύγει δὲ τἀμελέμενον.
ΟΙΔ. Πότερα δ' ἐν οἴκοις ἢ 'ν ἀγροῖς ὁ Λάϊος,
Ἢ γῆς ἐπ' ἄλλης τῷδε συμπίπλει φόνῳ;
ΚΡΕ. Θεωρὸς (ὡς ἔφασκεν) ἐκδημῶν, πάλιν

104. Ἀπευθύνειν] Ἀπευθύνω τὸ ὀρθῶ. Ἐπὶ τῆς ἀρχῆς καὶ ἐπὶ τῦ κανόνος, ὡς ὁ κανὼν ἀπευθύνει τὰ ἐξισάζοντα, ἀφαιρῶν τὰ περιττὰ. Ἀπευθύνω καὶ τὸ ἀπὸ εὐθύνης ποιῶ, ἤτοι ἀνεύθυνον· ὑπευθύνω δὲ τὸ τιμωρῶμαι, τὸ ὑπευθύνον ποιῶ. Εὐθύνη δὲ ἡ τιμωρία. Τὸ ἐυθύνειν καὶ τὸ ἀπευθύνειν ἐπὶ τῶν ὀρθυμένων λοξῶν λέγεἰαι, καὶ ἐπὶ τῶν κυβερνωμένων νεῶν. Καὶ ἀπὸ τάτων κατὰ μεἰαφορὰν, καὶ ἐπὶ τῦ κολάζειν. Καὶ ἐπὶ τῶν ἄλλως διοικυμένων, καθ' ὃ λέγεἰαι ἐνἰαῦθα.

106. Ἐπισέλλει] ἐντέλλεἰαι, ὑποτίθεἰαι.

107. Τὰς αὐτόενλας] τὰς φονέας τάτε τιμωρεῖσθαι.

Ib. Τιμωρεῖν τινὰς] τὸ τινὰς ἐ πρὸς τὸ τιμωρεῖν (ὡς φασί τινες) ἀλλὰ πρὸς τὸ αὐτόενλας ἔχει τὴν δύναμιν· ἔτως, ἐπισέλλει ὁ Ἀπόλλων τιμωρεῖν καὶ κολάζειν τὰς αὐτόενλας χειρὶ, ἤγεν, τὰς αὐτόχειρἀς τινας. Εἰ δ' εἴποις ὡῶς, τὸ μὲν αὐτόενλας ὡρισμένον εἰπὼν, μετὰ τῦτο τίθησι τὸ τινάς ἀόριστον· φαμὲν ὅτι διὰ τῦτο ἔτω λέγει, διότι τὸ μὲν ὑπό τινων ἀνηρῆσθαι Λάϊον, φανερὸν ἦν, τίνες δ' οἱ φονεῖς ἦσαν, τῦτ' ἦν ἀφανές.

108. Πῆ τόδ'] εὑρεθήσεται αὕτη ἡ αἰτία δυσδιάκριτος ὖσα;

109. Δυσέκμαρτον] ἀπὸ τῦ δῦς, καὶ τῦ τεκμαίρομαι. δυσκατέργαστον, δυσκατάληπτον. Εἴρηται δὲ ἀπὸ τῶν κυνῶν τῶν τὸ ἴχνος σκοπεύντων.

Ib. Ἴχνος δυσέκμαρτον] ἀντὶ τῦ σημεῖον δυσεύρετον.

110. Ζητέμενον] Ζητῶ, τὸ ἐξετάζω καὶ ἐρευνῶ. Ζητεῖται, τυγχάνει, εὑρίσκει. Ἕ δὲ ἀμελεῖ ἢ εὑρίσκει, ἀπολυγχάνει.

111. Ἀλωτὸν] ὥστε καὶ εὐχερῶς μὴ εἰς πολλὰ πλανωμένης ἐξευρεῖν. ἀπὸ κοινῦ δὲ τὸ ἔφασκε. λέγει δὲ τὸ πρᾶγμα.

Ib. Ἐκφεύγει] λανθάνει. Καὶ ταῦτα ἀπὸ τῶν θηρίων λέγεἰαι τῶν ἁλισκομένων, ἢ ἐκφευγόντων.

Ib. Τἀμελέμενον] ἤγεν, ἐ καλαλαμβανόμενον διαδιδράσκει.

112. Πότερα δ' ἐν οἴκοις] τὸ πότερα ἐ πρὸς τὸ συμπίπλει ἔχει τὴν δύναμιν, ἀλλὰ πρὸς τὸ οἴκοις καὶ τὸ ἀγροῖς καὶ τὸ ἐπ' ἄλλης γῆς. Τὸ γὰρ πότερα, ἀντὶ τῦ, ποῖον.

Ib. Πότερα δ' ἐν οἴκοις] ὡς συνετὸς ὁ Οἰδίπυς ζητεῖ τὰ καθ' ἕκαστα, εἶτα ἔτως ἐπὶ τὴν ἀναζήτησιν ἔξεισι, μελαπεμψάμενος τὰς πολίτας, ἵνα καὶ ἀφορμὴ τῆς εἰσόδυ γένηται. Θεωρὸς δὲ ὁ πρὸς τὰς Θεὰς διὰ χρησμὸν ἀπεσχόμενος.

114. Θεωρὸς] Θεωρὸς φασι τὰς εἰς τὰ μαντεῖα ἀπιόντας τῦ μαθεῖν ἕνεκα περὶ ὧν αὐτοῖς ἐςὶ ζήτησις. Ἀπῆλθεν ἕν ὁ Λάϊος εἰς Ἀπόλλω, χρησόμενος περὶ τῦ ἐκλιθέντος παιδὸς, εἰ ἄρα ζῶη. Ὅσις ἐκ ἀφικέλο ὡς ἀπεσάλη, ἤγεν, ἐχ ὑπέσχεφεν εἰς τὸν οἶκον ὥσπερ ἀπεδήμησεν.

Πρὸς οἶκον ὑμέτερον ἴκεθ' ἵκεθ' ὡς ἀπεσάλη. 115

ΟΙΔ. Οὐδ' ἄγγελός τις, οὐδὲ συμπράκλωρ ὁδῶ
Καλεῖδ', ὅτε τὶς ἐκμαθὼν ἐχρήσατ' ἄν;

ΚΡΕ. Θνήσκουσι γάρ, πλὴν εἷς τις, ὃς φόβῳ φυγὼν,
Ὧν εἶδε, πλὴν ἓν, οὐδὲν εἶχ' εἰδὼς φράσαι.

ΟΙΔ. Τὸ ποῖον; ἓν γὰρ πόλλ' ἂν ἐξεύροι μαθεῖν, 120
Ἀρχὴν βραχεῖαν εἰ λάβοιμεν ἐλπίδος.

ΚΡΕ. Λῃσὰς ἔφασκε συλλυχόλας, ὑ μιᾷ
Ῥώμῃ κλανεῖν νιν, ἀλλὰ σὺν πλήθει χερῶν.

ΟΙΔ. Πῶς ἦν ὁ λῃστὴς, εἴ τι μὴ ξὺν ἀργύρῳ
Ἐπράσσετ', ἐνθένδ' ἐς τόδ' ἂν τόλμης ἔβη; 125

ΚΡΕ. Δοκοῦντα ταῦτ' ἦν· Λαΐῳ δ' ὀλωλότος
Οὐδεὶς ἀρωγὸς ἐν κακοῖς ἐγίνετο.

ΟΙΔ. Κακὸν δὲ ποῖον ἐμποδὼν, τυραννίδος
Οὕτω πεσούσης, εἶργε τῦτ' ἐξειδέναι;

114, 115. Ἐκθημῶν,—πάλιν Πρὸς οἶκον] ἐμέτερ. πάλιν ἀφίκεο, ἀντὶ τῦ, ἐπανέζευξεν πρὸς οἶκον.

115. Ὡς ἀπεσάλη] καθὰ ἀπεδήμησεν· ἀπεζάλη τὶς ὑπό τινος, ἀντὶ τῦ, ἐπέμφθη· ἐνταῦθα δὲ ἀντὶ τῦ, ἀπῆλθε καὶ ἀπεδήμησεν.

116. Οὐδ' ἄγγελός τις] οἷον, οὐδὲ ἀκόλουθος, παρ' ᾧ τις ἂν μάθοι καὶ χρήσαιτο πρὸς ζήτησιν.

117. Ἐχρήσατ' ἂν] ἤγουν, ἐκ εἰδέ τις τῶν συνόντων τότ' ἐκείνῳ, ἀφ' ἧ τις ἐκμαθὼν καὶ ἀκούσας, εἶχεν ἂν χρήσασθαι τῷ ἀκουσθέντι, ἤγουν, καίπερ ἐνόησεν ἂν τὸν πραξαντα τὸν φόνον.

118. Θνήσκουσι γὰρ] οἷον, πάντες οἱ ἀκολουθοῦντες αὐτῷ ἀνῃρέθησαν, ὁπλονότοι ὑπεραγωνιζόμενοι τῷ δεσπότῃ, πλὴν ἑνός· ὃς διὰ δειλίαν ἐκφυγὼν, οὐδὲν ἀκριβὲς εἶχεν εἰπεῖν, πλὴν ὅτι ὑπὸ λῃστῶν ἀνῃρέθη· ἄρκος δὲ ὑπέγραψε τὸ ἦθος τῶν δειλῶν. Ἅμα μὲν γὰρ ἐπαίρουσι τὰ πεπραγμένα, ἵνα μὴ δόξωσι διὰ δειλίαν φυγεῖν· ἅμα δὲ καὶ ἐν παραφρονήσει ὄντες, τὰ βαρύτερα μείζω δοξάζουσι. Καλῶς δὲ ᾠκονόμηται, ἵνα τύχωσι, μὴ ἐλέγχοιτο τὸ κατὰ τὸν Οἰδίποδα.

121. Ἀρχὴν βραχεῖαν] ἤγουν, εἰ λάβοιμεν μικρὰν ἀρχὴν ὡς ἐλπίζειν. εἰκότως δ' εἶπε τὸ ἐλπίδος, ἡ γὰρ μικρὰ ἀφορμὴ, μειζόνων ἐλπίδα παρίστησιν.

122. Λῃσὰς] λῃΐζω, λῃΐσω, λῃΐζδς, καὶ λῃΐσὰς γράφεται, καὶ λῃΐστὴς ποιητικῶς καὶ λῃΐστωρ. ἐκ τύτου καὶ λῃστρικὸς. Τὸ ὅλον ἐνθύμημα, ἐχ εἷς λῃστὴς ἐφόνευσεν, ἀλλὰ πολλοί. τῦτο γάρ ἔστι τὸ σὺν πλήθει χερῶν· Πῶς ἂν ἐτόλμησεν ὁ λῃστὴς φονεῦσαι αὐτὸν, εἰ μὴ δῶρα ἔλαβεν ἔκ τινος τῶν Θηβαίων;

122, 123. Οὐ μιᾷ Ῥώμῃ] ἀντὶ τῦ, ἐχ ἕνα μόνον, ἀλλὰ καὶ πολλούς.

124. Εἴ τι μὴ ξὺν ἀργύρῳ] ἀντὶ τῦ, εἰ μὴ ἐπὶ κέρδει. τείνει δὲ τῦτο εἰς Κρέοντα, ὡς αὐτῷ συνθεμένῳ τῷ τῦ Λαΐου φονεῖ, διὰ τὴν βασιλείαν. Ἐνθένδε ὦν, ἐκ τῆς πόλεως ταύτης.

1b. Εἴ τι μὴ ξὺν ἀργύρῳ] ἤγουν, εἰ μήτις τῶν πολιτῶν δεήθειεν αὐτὸν, χρήμασι πείσας πρὸς τὸν κατ' ἐκείνῳ φόνον.

126. Δοκοῦντα ταῦτ' ἦν] καὶ τότε (φησὶ) ταῦτα ὑπενοεῖτο, ὅτι ἐπιβεβούλευται.

130. Ἡ

ΚΡΕ. Ἡ ποικιλῳδὸς Σφὶγξ τὰ πρὸς ποσὶ σκοπεῖν,
Μεθέντας ἡμᾶς τἀφανῆ, προσήγετο.
ΟΙΔ. Ἀλλ' ἐξ ὑπαρχῆς αὖθις αὖτ' ἐγὼ φανῶ·
Ἐπαξίως γὰρ Φοῖβος, ἀξίως δὲ σὺ
Πρὸς τῦ θανόντος τήνδ' ἔθεσθ' ἐπισροφήν.
Ὡς' ἐνδίκως ὄψεσθε κἀμὲ σύμμαχον,
Γῇ τῇδε τιμωρῦντα, τῷ θεῷ θ' ἅμα.
Ὑπὲρ γὰρ ὑχὶ τῶν ἀπωτέρω φίλων,
Ἀλλ' αὐτὸς αὑτῦ τῦτ' ἀποσκεδῶ μύσος.
Ὅσις γὰρ ἦν ἐκεῖνον ὁ κλανὼν, τάχ' ἂν
Κἄμ ἂν τοιαύτῃ χειρὶ τιμωρεῖν θέλοι.
Κείνῳ προσαρκῶν ἕν, ἐμαυτὸν ὠφελῶ.
Ἀλλ' ὡς τάχισα, παῖδες, ὑμεῖς μὲν βάθρων

130. Ἡ ποικιλῳδὸς] ἠνάγκαζεν ἡμᾶς ἡ Σφὶγξ, μεθέντας τὰ ἀφανῆ τὰ κατὰ τὸν φόνον τῦ βασιλέως. Τῦτο γὰρ ἀφανὲς, τὸ παρὰ ποσὶ κακὸν σκοπεῖν. Ἡ ἕτως· ἡ Σφὶγξ ἠνάγκαζεν ἡμᾶς, μεθέντας τὸ σκοπεῖν τὰ κατὰ τὸν φόνον, τὰ πρὸς ποσὶν ἀφανῆ ζητεῖν. τυτέστι, τὰ ἀφανῆ αἰνίγματα.

132. Ἀλλ' ἐξ ὑπαρχῆς] αὖθις ζητεῖν τὰ παρακείμενα ἡμῖν. Οἷον, ἀναδραμῦμαι ἐπὶ τὴν ἀρχὴν τῦ πράγματος, καὶ εἰς φῶς ἄξω. Ἴσως δὲ λεληθότως καὶ τὸ ἕτερον ἐγκεῖται ἐν τῷ ἐγὼ φανῶ, ὅπερ ἔ φησι μὲν ὁ Οἰδίπυς, μανθάνει δὲ ὁ ἀκροατὴς, ἐπὶ τὸ πᾶν ἐν αὐτῷ φανήσεσθαι.

Ib. Ἀλλ' ἐξ ὑπαρχῆς] συγκατάθεσις Οἰδίποδος, ὥςε τὸν φόνον ἐκδικῆσαι Λαΐῳ.

133. Ἐπαξίως γὰρ Φοῖβος, ἀξίως δὲ σὺ] Πρόθεσις ἀντὶ ὑπὲρ προθέσεως.

134. Τήνδ' ἔθεσθ' ἐπισροφήν] γράφεται, τήνδε θεσπίζει γραφήν.

135. Ὡς'—ὄψεσθε κἀμὲ σύμμαχον] ἥκειν, βοηδὸν, ἐν δικῇ. Σύμμαχος τῷ δεῖνι, ὡς πρόμαχος, ὑπέρμαχος. Ἥκειν, ποιῦντα ἐμὲ τὰ ἀνήκοντα τῷ Θεῷ.

136. Τιμωρῦντα] προσβοηθῦντα.

Ib. Τῷ Θεῷ θ' ἅμα] ἥκειν, τῷ Ἀπόλλωνι. Βοηθήσω γὰρ καὶ τύτῳ, εἰ τὴν μαντείαν αὐτῦ βεβαιώσαιμι, ζητήσας ἐξ ἐξευρὼν τὸ μίασμα.

137. Ὑπὲρ γὰρ ὑχὶ τῶν ἀπωτέρω φίλων] ἐ μόνον ὑπὲρ τῦ ἀγχεμνέυε βασιλέως ἄξιον ποιήσασθαι τὴν ἀναζήτησιν, ἀλλὰ καὶ ὑπὲρ αὐτῦ ἐμῦ· ὁ γὰρ ἐκείνῳ ἐπιχειρήσας, ἴσως κἀμοὶ ἐπιβελεύσει. Πεπλαγίκασι δὲ πάλιν ὁ λόγος, καὶ τὴν ἀλήθειαν αἰνίτθεται τῷ Θεάτρῳ, ὅτι αὐτὸς δράσας τὸν φόνον ὁ Οἰδίπυς, καὶ ἑαυτὸν τιμωρήσεται.

Ib. Ἀπωτέρω φίλων] ἤγεν, τῦ πόῤῥω ἀφ' ἡμῶν γεγονότος Λαΐυ· φίλον δὲ τῦτον εἶπε, διὰ τὸ τὴν αὐτὴν ἐκείνῳ γυναῖκα λαβεῖν, καὶ διὰ τὸ τὴν αὐτὴν ἔχειν ἀρχήν, ἣν ἐκεῖνος.

137, 138. Ὑπὲρ—φίλων, Ἀλλ' αὐτὸς αὐτῦ] Συνυπακύεται ἡ ὑπὲρ ἀπὸ κοινῦ. ἵν' ᾖ, ἀλλ' αὐτὸς ὑπὲρ ἐμαυτῦ.

138. Ἀποσκεδῶ] ἀποσκεδάσω· ἡ δὲ χρῆσις Ἀτθική.

Ib. Μύσος] ὁ φόνος. μῖσος ἡ ἔχθρα.

140. Τοιαύτῃ χειρὶ] τοιαύτῃ τόλμῃ χειρὸς, τοιύτῳ φόνῳ.

141. Κείνῳ προσαρκῶν] καὶ τῦτο κινητικὸν τῦ Θεάτρυ· τὰ γὰρ ἐναντία ἀποβήσεται.

142. Ἐμεῖς μὲν βάθρων] ἰςέον ὅτι ὁ τόπος ἐνθα

Ἵςασθε, τȣ́σδ' ἄραντες ἱκτῆρας κλάδȣς·
Ἄλλος δὲ Κάδμȣ λαὸν ὧδ' ἀθροιζέτω.
Ὡς πᾶν ἐμȣ̃ δράσοντος· ἢ γὰρ εὐτυχεῖς
Σὺν τῷ θεῷ φανȣ́μεθ', ἢ πεπτωκότες.——
ἹΕΡ. Ὦ παῖδες, ἱςώμεσθα· τῶνδε γὰρ χάριν
Καὶ δεῦρ' ἔβημεν, ὧν ὅδ' ἐξαγγέλλεται·
Φοῖβος δ' ὁ πέμψας τάσδε μαντείας, ἅμα
Σωτήρ θ' ἵκοιτο, καὶ νόσȣ παυςήριος.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

ΧΟΡ. Ὦ Διὸς ἁδυεπὴς φάτι, τίς ποτε

ἔνθα ἡ ἐκκλήσια ἐγένετο, βαθμῖσιν ἦν κύκλω διειλημμένος ἄλλαις ἐπ' ἄλλαις, ἔνθα οἱ συνελθόντες πάντες καθήμενοι, ἀνεμποδίςως ἠκροῶντο τȣ̃ ἱςαμένȣ ἐν μέσῳ καὶ συμβȣλεύοντος.

143. Ἵςασθε] ἀνίςασθε.

Ib. Ἱκτῆρας] τȣ̀ς κλάδȣς τῆς ἱκετηρίας ἀπάραντες· ἔςι δὲ κλάδος ἱκετήριος, κλὼν ἐλαίης ἐςεμμένος ἐρίοις, ὃ δὴ καὶ ἱκετηρίαν ἔλεγον.

144. Ἄλλος δὲ Κάδμȣ λαὸν] πιθανὴ ἡ εἴσοδος τȣ̃ χορȣ̃· σκέπτεσθαι γάρ φησι δεῖν μετὰ τȣ̃ δήμȣ περὶ τῶν πρακτέων.

145. Ὡς πᾶν ἐμȣ̃ δράσοντος] ὅσον συμβάλλεται εἰς τὴν περὶ τȣ̃ μιάσματος ζήτησιν καὶ ἀπέλασιν, πᾶν μέλλω δράσειν.

146. Ἢ πεπτωκότες] κινδυνεύσαντες. Τȣ̃το δὲ λέγει, ὅτι εἰ μὲν εὑρήσομεν τὸ μίασμα καὶ ἀπελάσομεν, πεπαύσεται ὁ λοιμός· εἰ δ' ȣ̓ν προχωρήσει ἀεὶ, καὶ ἡμᾶς ἐκτρέψει τελείως.

147. Ὦ παῖδες] ἔξεισιν ὁ ἱερεὺς πράξας δι' περ ἦλθεν. ἅμα δὲ καὶ ὑπὲρ τȣ̃ χώραν εἶναι ἑτέρῳ ὑποκριτῇ.

Ib. Τῶνδε γὰρ χάριν] καὶ γὰρ χάριν τῶνδε δεῦρο ἐπορεύθημεν, ὧν ȣ̓τος ἐπαγγέλλεται, ἤγȣν, ὑπισχνεῖται.

148. Ἐξαγγέλλεται] ἐξαγγέλλει. ἡ δὲ χρῆσις Ἀττική.

151. Ὦ Διὸς ἁδυεπὴς] κατὰ τὴν πρόςαξιν τȣ̃ βασιλέως πάρεισι πρεσβύται τινὲς, ἐξ ὧν ὁ χορὸς συμπληρȣ̃ται. Διὸς δὲ ἡδυεπῆ φάτιν τὴν μαντείαν φησίν. Ο γὰρ Ἀπόλλων ὑποφήτης δόκει εἶναι τȣ̃ πατρὸς, καὶ παρ' ἐκείνȣ λαμβάνειν τὰς μαντείας, καὶ τοῖς ἀνθρώποις ἐκφέρειν, καὶ Ὅμηρος, Διὸς ἄγγελος ὄσσα δεδῄει. Λείπει δὲ ἡ ἀπὸ, ἵν' ᾖ, ἀπὸ τῆς Πυθῶνος· ἢ δι' ἀέρος διαδιδομένη.

Ib. Ὦ Διὸς ἁδυεπὴς] φασὶν Ἕλληνες τὴν φάτιν θυγατέρα Διὸς, ὅθεν καὶ τὴν ἐκ Ἀπόλλωνος ἐλθȣ́σαν αὐτοῖς μαντείαν περὶ τȣ̃ λοιμȣ̃, φάτιν Διὸς καλεῖ· ἡδυεπῆ δὲ ταύτην ὠνόμασεν, ὡς συντελȣ̃ντα αὐτοῖς φέρȣσαν· πολύχρυσον δὲ τὴν Πυθῶνα καλεῖ, διὰ τὸ ἐκ πλίνθων χρυσῶν δεδομῆσθαι τὸ Ἀπόλλωνος μαντεῖον, ἃς χιλίας αὐτῷ Κροῖσος πέπομφεν. Ἢ διὰ τὴν τῶν ἀναθημάτων πολυτέλειαν. τὸ δὲ τίς ἀντὶ τȣ̃ ποδαπὴ, ταχέως ποιήσȣσα ἀπαλλαγὴν τȣ̃ λοιμȣ̃, ἢ μετὰ πολὺν χρόνον. Τό δ' ἐκτέταμαι ἀντὶ τȣ̃ ἐκπέπληγμαι, παρ' ὅσον οἱ ἐκπλαγέντες, ἔκτασιν σώματος καὶ ἀκινησίαν, ἐν ὅσῳ χρόνῳ ἐκπλήττονται, πάσχȣσι. Τὸ δ' ἀμφὶ σοὶ, πρὸς τὸ πάλλων ἔχει τὴν δύναμιν, ȣ̓ πρὸς τὸ ἁζόμενος, ȣ̓τως· ἐκτέταμαι καὶ ἐκπέπληγμαι, πάλλων καὶ κινῶν ἀμφὶ σοὶ, ὦ Δήλιε ἰήϊε Παιὰν, τὴν φρέν' ἐν δείματι φοβερὰν, ἁζόμενος καὶ σεβόμενός σε. Τȣ̃τ' ἔςιν, ἐκπλήττομαι τῇ σῇ μαντείᾳ, καὶ μετὰ φόβȣ πρός σε τείνω τὸν νȣ̃ν μȣ, δεόμενος ἀπαλλάξαι με τȣ̃ λοιμȣ̃.

Τᾶς πολυχρύσου Πυθῶνος
Ἀγλαὰς ἔβας Θήβας;
Ἐκτέταμαι φοβερὰν φρένα,
Δείματι πάλλων,
Ἰήϊε Δάλιε Παιὰν
Ἀμφὶ σοὶ ἀζόμενος·
Τί μοι ἢ νέου
Ἢ περιτελλομέναις
Ὥραις πάλιν ἐξανύσεις χρέος,
Εἰπέ μοι, ὦ χρυσέας τέκνον
Ἐλπίδος ἄμβροτε Φάμα·

μῦ. Εἰπέ μοι, ὦ ἄμβροτε καὶ Θεία Φάτις ἢ Μανῖεία, τέκνον τῆς χρυσέας καὶ λαμπρᾶς Ἐλπίδος, τί χρέος καὶ χρείαν ἐξανύσεις καὶ τελέσεις ἐμοί· (καὶ γὰρ χρεία πολλὴ ἦν τῆς ἀπαλλαγῆς τῦ λοιμῦ) ἢ νέον, ἢ ἐν περιτελλομέναις καὶ ἐπελθούσαις ὥραις. Τῦτ' ἔχε, νῦν παῦσες τὸν λοιμὸν, ἢ ὕστερον; δέον δ' εἰπεῖν νῦν, νέον εἶπε πρὸς τὸ χρέος. Ἐλπίδος δὲ τέκνον τὴν Μανῖείαν καλεῖ, διότι πρῶτον ἐλπίζυσιν οἱ ἄνθρωποι εἰς Ἀπόλλωνα, ὡς φράσειέ τι δεῖ ποιεῖν, εἶτα τὰς μανῖείας δέχοιλαι. Κεκλόμενος καὶ ἐπικαλούμενος πρῶτά σε, ὦ Θεὰ Ἀθηνᾶ Σύγαλσε τῷ Διός. Τὸ δὲ κεκλόμενος πρὸς τὸ πάλλων καὶ τὸ ἀζομενός ἐστι, διὰ μέσου ῥηθέντος τῦ τί μοι νέον, μέχρι τῦ φάμα. Οἱ πολλοὶ δ' ἀγνοοῦντες, κεκλομένῳ πρὸς τὸ τί μοι, γράφυσι· καὶ τὴν σὴν ἀδελφὴν Ἄρτεμιν· (ἐκ Διὸς γὰρ καὶ αὐτὴ ὡς σὺ) τὴν γαιάοχον καὶ τὴν συνέχυσαν τήνδε τὴν γῆν, ἥτις Θάσσει καὶ κάθηλαι ἐυκλεᾶ καὶ ἔνδοξον Θρόνον κυκλόεντ' ἀγορᾶς. Τῦτ' ἔχυ, ἥτις ἐν ἀγορᾷ ναὸν ἔχει κυκλοτερῆ. καὶ ἐκηβόλον καὶ τοξικὸν Φοίβον, κεκλόμενος ἀπὸ κοινῦ. Νοεῖται δὲ τὸ ἀδελφεὰν, καὶ πρὸς τὸ Ἀπόλλωνα, εἰ καὶ πρῶ τῦ εἰπεῖν κεῖνον, αὐτὴν προεθήκεν.

151, 152. Τίς πάλε Τᾶς πολυχρύσου] εἰ τις ποτέ ἐστιν. Ὅτι μὲν γὰρ πάρεσει λόγιον ἀπὸ τῆς Πυθῶνος, ἀκηκόασι, τὸ δὲ ῥητὸν αὐτὲ ζητῦσιν.

154. Ἐκτέταμαι] ἐκπέπληγμαι.

Ib. Φοβερὰν φρένα] τὴν περίφοβον· καὶ Ἀλκαῖος, "Ἐλάφω δὲ βρόμος ἐν ςήθεσι φύει φο "βερός·" αντὶ τῦ, περίφοβος.

155. Δείματι πάλλων] ἀντὶ τῦ, παλλόμενος φόβω, ἀγωνιῶν. Ῥαφέλαι καὶ πολλῷ. Τῦτο δὲ τοῖς πρὸ αὐτῦ συναπέλου, ἀγωνιῶν τὴν φρένα ἐπὶ τοῖς ἀπὸ σῦ χρησμοῖς, σεβόμενος τὰ ἀπὸ σῦ εἰρημένα.

156. Ἰήϊε Δάλιε Παιὰν] διὰ μέσου τῦτο. ἐπὶ δὲ τῶν παιάνων λέγεται τὸ ἰήϊος, ἐπεὶ τοιῦτω μέλει ἥδον τὺς παιᾶνας. Ἐπεὶ δὲ πρὸς τὸν Ἀπόλλωνα ἥδονίο οἱ παιᾶνες, ἐλέγετο καὶ ὁ Ἀπόλλων ἰήϊος· ὡς ὑπὸ τοιῦτε μέλυς ὑμνήμενος, ὥσπερ Εὔϊος ὁ Διόνυσος. Καὶ ἐπὶ τῦ παιᾶνος τὸ αὐτὸ τῦτο συμβαίνει· λέγεται γὰρ Παιὰν ὁ εἰς τὸν Ἀπόλλωνα ὕμνος, καὶ ἀπὸ τύτε καὶ ὁ Ἀπόλλων, καθ' ὃ καὶ ἐνῆαῦθα. Δείκνυλαι δὲ καὶ ἐν τύτοις τῦτο σαφέςερον, Ὑμνείω Παιᾶνα μέγαν Θεὸν Ἀπόλλωνα.

Ib. Ἰήϊε] Ἐπὶ τῶν παιάνων λέγεται τὸ ἰήϊος. Ἐπὶ τοιύτω μέλει ἥδον τὺς παιᾶνας· ἐπεὶ δὲ πρὸς τὸν Ἀπόλλωνα ἥδονίο οἱ παῖδες.

159, 160. Ἢ περιτελλομέναις Ὥραις] εἰς τὸν ἑξῆς χρόνον προϊύσης τῆς ὥρας. Ὁ δὲ νῦς, τί μοι ἢ νῦν ἢ κατὰ χρόνον ἀνύσεις.

Ib. Περιτελλομέναις Ὥραις] κατὰ τὰς περιτελλομένας ὥρας, τὰς κατὰ κύκλον ἐπιύσας.

162. Ἐλπίδος ἄμβροτε Φάμα] καλῶς. παρ' ὅσον ἐν ἐλπίδι τινὶ γενόμενοι οἱ ἄνθρωποι ἔτω φημίζυσι πρὸς τὸ λόγιον, παρ' ὅσον ὑπὸ ἐλπίδος καὶ χρησμὺς αἰτῦσιν ἀπὸ Θεῶν.

Πρῶτά σε κεκλόμενος
Θύγατερ Διὸς
Ἄμβροτ' Ἀθάνα,
Γαιάοχόν τ' ἀδελφεὰν
Ἄρτεμιν, ἃ κυκλόεντ' ἀγορᾶς
Θρόνον εὐκλεᾶ θάσσει,
Καὶ Φοῖβον ἑκαβόλον.
Ἰὼ, ἰὼ.
Τρισσοὶ ἀλεξίμοροι προφάνητέ μοι,

163. Πρῶτά σε] γράφεται πρώταν γε.

Ib. Κεκλόμενος] ἤγουν, κέκλομαι. Ἡ μετοχὴ δοτικὴ ἀντὶ ἐπιῤῥήματος, ἔχουσι δὲ τοῦτο ἐκ τοῦ Ὁμήρου.

164. Θύγατερ Διὸς] μεταβαίνει λοιπὸν εἰς τὸ ἐπικαλεῖσθαι τινὰς τῶν θεῶν.

166. Γαιάοχόν τ'] ἐπειδὴ ἡ αὐτή ἐστι τῇ Ἑκάτῃ. Ἡ δὲ θεὸς αὕτη ἐν ταῖς ἀγοραῖς εἱλεῖται, καὶ τιμᾶται ἐν ταῖς τριόδοις. Ἢ ἀντὶ τοῦ, τὴν πολιοῦχον· ὥστε τὴν γῆν ἀντὶ τῆς πόλεως εἴληφεν.

167. Ἄρτεμιν] Ἡ αὐτή ἐστιν ἡ Ἄρτεμις τῇ Ἑκάτῃ, ἥτις ἐτιμᾶτο ἐν ταῖς τριόδοις.

168. Εὐκλεᾶ θάσσει] εὔκλεια Ἄρτεμις οὕτως παρὰ Βοιωτοῖς τιμᾶται.

169. Καὶ Φοῖβον] τάχα μὲν διὰ τὸ ἐπὶ λοιμῷ τὴν εὐχὴν γενέσθαι, ὧν αἴτιος εἶναι δοκεῖ· τάχα δὲ διὰ τὴν μαντείαν.

Ib. Φοῖβον ἑκαβόλον] καὶ τὸν Ἀπόλλωνα, τὸν μακρόθεν πέμποντα τὰ βέλη.

171. Τρισσοὶ ἀλεξίμοροι] ἀντὶ τοῦ, ὦ Ἀθηνᾶ καὶ Ἄρτεμι καὶ Ἄπολλον, προφαίνητέ μοι τρισσοὶ ἀλεξίμοροι καὶ βοηθοί. Εἰ καί ποτε φλόγα πήματος ἠνύσατε, ἐτελέσατε τῇ πόλει ἐκτοπίαν καὶ πορρωτάτην, πήματος πρότερον, ἄτης καὶ βλάβης ὀρνυμένης καὶ κινουμένης ὑπὲρ, (ἤγουν, ὑπεράνω) τῆς πόλεως, ἔλθετε καὶ νῦν, ὦ πόποι καὶ θεοὶ, εἰς βοήθειαν. Ἢ πρὸς τὸ νῦν στικτέον, τὸ δὲ ὦ πόποι, ἀντὶ τοῦ, φεῦ. Νόει δὲ καὶ τὸ προτέρας ἄτας ὀρνυμένας αἰτιατικῶς, οὕτως, φλόγα πήματος, λέγω προτέρας ἄτας ὀρνυμένας. Καλῶς δ' εἶπε τὸ φλόγα. Τὰ γὰρ πήματα δίκην φλογὸς εἰς οὓς ἐπέλθῃ καθίσταται· φέρω γὰρ πήματ' ἀνάριθμα καὶ πολλά. Νοσεῖ δ' ὁ πρόπας καὶ ὅλος στόμος ἐμοί. Ἤγουν, ὁ βίος καὶ ἡ ζωή μου μετὰ φορᾶς διέρχεται πάσης. Στόλον γὰρ ἐνταῦθα καλεῖ τὴν ἐν τῷ βίῳ πορείαν καὶ δίαιταν. Οὐδ' ἔνι καὶ ὑπάρχει ἔγχος καὶ δύναμις φροντίδος, ἐν ᾧ ἔγχει ἀλέξεται καὶ βοηθήσει τὶς ἑαυτῷ. Τοῦτ' ἔστιν, εἰς τοσοῦτον ἀπορίας τὰ παρόντ' ἡμῖν ἐλήλυθε πράγματα, ὥστε φροντίδα καὶ μηχανὴν ἥν τινα οὐκ ἔστι πορίσασθαι πρὸς ἀπαλλαγήν. Οὔτε γὰρ αὔξεται καὶ ἀναφύεται. ἔκγονα κλυτᾶς χθονὸς, τοῦτ' ἔστιν, οὔθ' ἡ γῆ ἀναδίδωσι σπέρματα, καὶ τὴν ἄλλην πόαν, ὅπερ ἐνδόξου γῆς ἐστίν. οὔθ' αἱ γυναῖκες ἀνέχουσι καὶ ἀναφέρουσι καὶ ἐλευθεροῦνται τῶν ἰηΐων καὶ θρηνητικῶν καμάτων καὶ πόνων ἐν τόκοις καὶ ἐν γενέσεσι. τοῦτ' ἔστιν, οὔθ' αἱ γυναῖκες δύνανται τίκτειν καὶ εἰς φῶς ἄγειν τὰ ἔμβρυα, φθειρόμενα ἐντὸς ὑπὸ τοῦ λοιμοῦ, καὶ πρὸ τοῦ καιροῦ ἐξιόντα· ἄλλον δ' ἄνθρωπον σὺν ἄλλῳ ἀνθρώπῳ ἴδοις ἂν ὄρμενον, ἐλλιμενίζοντα καὶ φερόμενον πρὸς τὴν ἀκτὴν τοῦ ἑσπέρου καὶ σκοτεινοῦ θεοῦ, ἤγουν, τοῦ ᾅδου, κρεῖσσον καὶ κάλλιον ἀμαιμακέτου πυρὸς, ἤγουν, ταχύτερον τοῦ τῆς ἀστραπῆς πυρὸς, ἅπερ καὶ ἅτε καὶ καθὰ εὔπτερον ὄρνιν. Ταῦτα δὲ λέγει ἵνα δηλώσῃ τὸ τάχος τῶν συμβαινόντων τότε θανάτων, ὧν ἀνάριθμος καὶ ἀσύντακτος ἡ πόλις ὄλλυται. Διὰ τούτων γὰρ συνίσταται.

Ib. Ἀλεξίμοροι] ἀποδιώκοντες τὴν μοῖραν ἤγουν, τὴν δυστυχίαν.

172. Καὶ

Εἴ ποτε καὶ προτέρας ἄτας ὕπερ
Ὀρνυμένας πόλει, ἠνύσατε
Ἐκτοπίαν φλόγα πήματος,
Ἔλθετε νῦν, ὦ πόποι.
Ἀνάριθμα γὰρ φέρω πήματα·
Νοσεῖ δέ μοι πρόπας στόλος.
Οὐδ' ἔνι φροντίδος ἔγχος,
Ὥ τις ἀλέξεται· ὅτε γὰρ
Ἔκγονα κλυτᾶς χθονὸς
Αὔξεται, ὅτε τόκοισιν
Ἰηΐων καμάτων ἀνέχουσι
Γυναῖκες· ἄλλον δ' ἂν
Ἄλλῳ προσίδοις,
Ἅπερ εὔπτερον ὄρνιν,
Κρεῖσσον ἀμαιμακέτου πυρὸς

172. Καὶ προτέρας ἄτας] τῆς ἀπὸ τῆς Σφιγγός. Τὸ δὲ ἠνύσατε ἀντὶ τοῦ, ἐφθείρατε. καὶ Ὅμηρος· "Ἢ θήν σ' ἐξανύω γε καὶ ὕστερον "ἀντιβολήσας."

172, 173. Ὕπερ Ὀρνυμένας πόλει] ἡ ὑπὲρ ἀντὶ τῆς ἐπὶ, ἤγουν, κινουμένας κατὰ τῆς πόλεως.

173, 174. Ἠνύσατε Ἐκτοπίαν] ἤγουν, ἐποιήσατε ἐκτετοπισμένην· τουτέστι ἐξετοπίσατε, ὑπερόριον ἐποιήσατε. Τόπος παρὰ τοῖς Ἕλλησιν, ὁ θεός.

Ib. Ἐκτοπίαν] ξένην καὶ ἀλλόκοτον. ἢ ἠνύσατε αὐτὴν ἐκτοπίαν γενέσθαι. Ὅ ἐστιν ἐκτὸς καὶ ἀπὸ τῶν τόπων τῆς πόλεως.

Ib. Φλόγα πήματος] περιφραστικῶς, τὴν πημονὴν τὴν διάπυρον.

177. Πρόπας στόλος] ἡ πᾶσα δύναμις, ὁ πᾶς λαός.

178. Φροντίδος ἔγχος] ἀλληγορικῶς ἡ βοήθεια, παρὰ τὸ ἔχεσθαι. Οἷον, οὐκ ἔνεστι τῷ νῷ τῆς φροντίδος ἔγχος. Τοῦτο δὲ, οἷον τὸ διὰ τῆς βουλῆς καὶ προμηθείας γιγνόμενον ἀλέξημα καὶ ἀμυντήριον.

180. Ἔκγονα—χθονὸς] ἢ τὰ δένδρα, ἢ τοὺς παῖδας φησίν.

Ib. Ἔκγονα] Ἤγουν, σῖτοι καὶ τὰ ἄλλα γεννήματα, οἱ κάρποι.

181. Οὔτε τόκοισιν] αἵτε γυναῖκες τῶν καμάτων ἐν τοῖς τόκοις οὐκ ἀνέχουσι. Τουτέστιν, οὐ περιγίγνονται τῶν πόνων. Τὸ δὲ ἀνέχουσιν, ἤτοι ἐλευθεροῦνται, καὶ ἄνω ἑαυτὰς ἔχουσιν ἢ ἄγουσιν· ἐκ μεταφορᾶς τῶν ἄνω νευόντων μόγις ἐν τῷ νήχεσθαι. Ἢ ἄνεσιν ἔχουσιν.

182. Ἰηΐων] ἤτοι τῶν μετ' εὐχῆς γιγνομένων, ἢ τῶν λοιμικῶν· ἰηΐος γὰρ ὁ Ἀπόλλων, εἰς ὃν ἡ ἀγνεία τῶν λοιμῶν ἀναφερέται· ἢ ὅτι ἐπίφθεγμα κοινόν ἐστι καὶ Ἀρτέμιδος· αἱ δὲ γυναῖκες ἐν ταῖς ἀνάγκαις τὰς τοιαύτας ἀφιᾶσι φωνάς· οἱ δὲ ἀκούουσι τῶν θρηνητικῶν.

183. Ἄλλον δ' ἂν ἄλλῳ] ἄλλον ἐπ' ἄλλῳ ἴδοις ἀποθνήσκοντα, ὡς ὄρνιθες ἐν τῇ πτήσει ἄλλος ἐπ' ἄλλῳ πέτεται.

185. Εὔπτερον] Καλῶς ἔχοντα ἕνεκα τῆς πτήσεως, ἤγουν ὠκυπτέρην.

186. Κρεῖσσον ἀμαιμακέτου πυρὸς] ἢ οἷον ὀξυτέρου πυρὸς εἰς τὸ σπεύδειν εἰς ᾅδην· ἢ κρεῖσσον πυρὸς, ὡς μὴ καταλαμβάνειν τὸ πῦρ τὸ τῶν ἀποθνησκόντων πλῆθος καὶ καίειν· καὶ γὰρ ὑπερ-

Ὄρμενον ἀκτὰν πρὸς ἑσπέρου
Θεοῦ, ὧν πόλις ἀνάριθμος
Ὄλλυται. νηλέα δὲ γενέθλα
Πρὸς πέδῳ θανατηφόρῳ
Κεῖται ἀνοίκτως· ἐν δ' ἄλοχοι
Πολιαί τ' ἐπὶ ματέρες
Ἀκτὰν παρὰ βώμιον
Ἄλλοθεν ἄλλαι λυγρῶν πόνων
Ἱκτῆρες ἐπιςονάχουσι.

ὑπερβολὴ καὶ ἐπίτασις τοῦ πάθους. Ἄλλως· ἐυτονώτερον τῆς περισσῶς μεγάλης φλογὸς, καὶ πρὸς ἣν οὐκ ἔςι μῆκος παραβαλεῖν.

187. Ὄρμενον] κινούμενον πρὸς τὴν παραλίαν τοῦ ἑσπέρου θεοῦ, ἤγουν, σκοτεινοῦ· περιφραςικῶς δὲ τοῦ ᾅδου· πρὸς ὃν ἔλεγον διὰ τῆς Ἀχερουσίας λίμνης κατάγεσθαι τὰς ψυχάς.

187, 188. Ἑσπέρου Θεοῦ] τοῦ ᾅδου.

189. Νηλέα δὲ γενέθλα] νηλέα τὰ μὴ τυχόντα ἐλέους· τὸ αὐτὸ δέ ἐςι τῷ ἀνοίκτους· οὐκ ἠλέουν δὲ ἀλλήλους, ἴσως ὑπὸ τῆς συνηθείας τοῦ κακοῦ, ἢ ὑπὸ φόβου καὶ προσδοκίας τῶν ὁμοίων.

Ib. Νηλέα δὲ γενέθλα] κεῖται δὲ πρὸς πέδῳ θανατηφόρῳ ἀνοίκτως νηλέα καὶ ἀνηλεῶς γενέθλα· τοῦτ' ἔςιν, ἔκπίπτουσι τῶν γαςέρων τῶν γυναικῶν τὰ ἔμβρυα, πρὶν ἢ τυχεῖν τοῦ προσήκοντος τῷ τοκετῷ καιροῦ, ὑπὸ τοῦ λοιμοῦ φθειρόμενα. Ἐν δὲ τούτοις τοῖς ἀώροις γεννήμασιν, αἱ ἄλοχοι καὶ αἱ μητέρες αὐτῶν σὺν ταύταις. Τοῦτο γάρ ἐςι τὸ, καὶ αἱ πολιαὶ μητέρες αὐτῶν ἐπιςονάχουσι καὶ θρήνουσιν, ἄλλοθεν ἄλλαι παρὰ τὴν βώμιον ἀκτὴν, ἤγουν, παρὰ τοῖς ναοῖς ἐν θυσίαις, ἱκτῆρες καὶ παρακλήτορες τῶν λύγρων πόνων. Τοῦτ' ἔςιν, αἱ μὲν ἄλοχοι διὰ τα ἄωρα γεννήματα ἱκετεύουσαι, δι' αὐτὰς δ' αἱ μητέρες αὐτῶν. Καλῶς δ' εἶπε τὸ βώμιον ἀκτὴν. Ὥσπερ γὰρ τοῖς ἐν θαλάσσῃ κινδυνεύουσιν αἱ ἀκταὶ σωτήριον, οὕτω καὶ αὐταῖς οἱ βωμοί. Ἐνταῦθα γὰρ θύουσαι, ἀπαλλαγῆναι εὔχονται. Παίων δὲ, ὅς ἐςιν ὕμνος εἰς Ἀπόλλωνα ἐπ' ἀφέσει λοιμοῦ ἀδόμενος, λάμπει, καὶ διὰ πυρσοῦ εἰς ὕψος αἴρεται ἐξ ὑμῶν· Καὶ γῆρυς καὶ βοὴ ςονόεσσα καὶ θρηνητικὴ, ὅμαυλος καὶ συμμιγὴς καὶ ὁμόθρους, ὑπὲρ ὧν καὶ ὧν τίνων, τοῦ παιᾶνος καὶ βοῆς, ὦ χρυσέα θύγατερ Διὸς Ἀθηνᾶ εὐῶπα καὶ εὐόφθαλμος, πέμψον ἡμῖν ἀλκὴν καὶ βοήθειαν, καὶ τὸν μαλερὸν καὶ καυςικὸν Ἄρεα, ἤγουν, τὸν λοιμόν. Εἰκότως δὲ τὸν λοιμὸν Ἄρει παρεικάζει, ὡς Φθορᾶς αἴτιον, ὥσπερ ἐκεῖνος· ὃς νῦν φλέγει καὶ καίει μὲ ἄχαλκος ἀσπίδων, ἤγουν, δίχα ξιφῶν καὶ ἀσπίδων· τούτοις γὰρ ἐπέρχεται Ἄρης· φλέγει με ἀντιάζων καὶ ἐμπίπτων περιβόητος καὶ μέγας καὶ σφοδρός. Περιβόητον δὲ τοῦτον καλεῖ, διὰ τὸ καὶ ἐν τούτῳ πολλὰς γενέσθαι, ὥσπερ ἐν πολέμοις, βοάς· δὸς νωτίσαι καὶ παλινδρομῆσαι, καὶ ποιήσασθαι δράμημα καὶ πορείαν παλίσσυτον καὶ ὀπισθόρμητον τῆς πατρίδος.

190. Πέδῳ θανατηφόρῳ] Παρὰ τῇ γῇ τῇ θανατηρᾷ, τῇ φθοροποιῷ, ὅτι ἀπὸ τῆς γῆς μεταλαμβάνουσι τῆς λοιμικῆς νόσου τὰ ζῶα.

191. Ἀνοίκτως] μὴ φροντιζομένη ὑπὸ τίνος ἐλευθερωθῆμεν.

192. Ἐπὶ ματέρες] Ἤγουν, ἐπὶ τούτων δὲ, αἱ ἄλοχοι κεῖνται δηλονότι. Ἐπίπαππος· ὁ ἐπὶ τῷ πάππῳ πάππος· οὕτω καὶ ἐπιμήτηρ ἡ μάμμη.

193. Ἀκτὰν παρὰ βώμιον] ἀντὶ τοῦ παραχώριον, ὅπου οἱ βώμοι τῶν ναῶν εἰσίν· ἐκ τούτου δῆλον ὅτι καὶ τέλειοι ἀπέθνησκον. Ἄλλως· ἐπ' ἀκὰν παραβώμιον, ἐπὶ τὴν παρὰ τοῖς βωμοῖς ἐξοχήν.

194. Ἄλλοθεν ἄλλαι] ἤγουν, ἀπ' ἄλλου μέρους, ἄλλαι κείμεναι δηλονότι.

195. Ἱκτῆρες] τουτέςιν ἱκέτιδες.

Ib. Ἐπιςονάχουσι] ἀντὶ τοῦ, ςονάχουσι, ἕνεκα τῶν χαλεπῶν πόνων.

196. Παιὼν

Παιὼν δὲ λάμπει, ϛονόεσσά τε γῆρυς
Ὅμαυλος· ὧν ὕπερ, ὦ χρυσέα
Θύγατερ Διὸς εὐῶπα, πέμψον
Ἀλκαν, Ἄρεά τε τὸν μαλερὸν,
Ὃς νῦν ἄχαλκος ἀσπίδων
Φλέγει με περιβόητος ἀντιάζων,
Παλίσσυτον δράμημα νωτίσαι
Πάτρας ἔπυρον· εἴτ' ἐς μέγαν
Θάλαμον Ἀμφιτρίτας,
Εἴτ' ἐς τὸν ἀπόξενον ὅρμον
Θρηΐκιον κλύδωνα.

196. Παιὼν δὲ λάμπει] ἀντὶ τοῦ, ἀκμάζει λαμπρῶς τῇ φωνῇ· λέγεται πρὸς ἀποτροπὴν τῶν κακῶν.

Ib. Παιὼν δὲ] Ὁ εἰς τὸν Ἀπόλλωνα ὕμνος περιφανῶς ὑμνεῖται. Ἐπαιάνιζον οἱ μὴ παθόντες, ἐϛέναζον οἱ παθόντες.

197. Ὅμαυλος] Ἅμα ὑπὸ πάντων ᾀδομένη ὀξὺ ἐρῶσα καὶ καθαρὸν εὐῶπις πρὸς μὲν τὸ ἄρεα, τὸ ἄχαλκος. πρὸς δὲ τὸν μαλερὸν, τὸ φλέγει. Ὅμαυλος, ὁμόθρους, ὁμόφωνος. Τοῦτο δὲ ὅμοιόν ἐϛι τῷ ὁμοῦ δὲ παιάνων τε καὶ ϛεναγμάτων.

197, 198. Ὧν ὕπερ, ὦ χρυσέα Θύγατερ] πρὸς τὴν φήμην πάλιν φησὶ τῆς μαντείας. Ἐλπίζουσι γὰρ ἐπί τινι ἀγαθῷ τὸ μάντευμα ἀποβῆναι. Χρυσέα δὲ, τιμία· φασὶ γὰρ οὕτως τιμᾶσθαι χρυσῆν.

199. Ἄρεά τε τὸν μαλερὸν] ἀντὶ τοῦ, τὸν καταμαραίνοντα. Τάττει δὲ τοῦτο ἐπὶ τοῦ λοιμοῦ τοῦ δίκην ἀναιροῦντος πολέμου. Ἀπὸ κοινοῦ δὲ τὸ πέμψον.

200. Ὃς νῦν ἄχαλκος ἀσπίδων] οὐ χρώμενος ὅπλοις φλέγει ἡμᾶς. Περιβόητος δὲ, περὶ ὃν ἕκαϛος βοᾷ. Μετὰ βοῆς καὶ οἰμωγῆς ἐπιὼν, ὡς ἐπὶ πολέμου πάλιν.

202. Νωτίσαι] ἀπελάσαι. Ἀπὸ μεταφορᾶς τῶν τὰ νῶτα διδόντων ἐν ταῖς φυγαῖς. ἢ οὕτως, πέμψον ἀλκὴν ὥϛε παλινόρμητον αὐτὸν γενέσθαι, τὰ νῶτα τῇ πόλει δόντα. Λείπει δὲ τὸ δός.

203. Πάτρας ἔπυρον] ἤτοι ἐπ' οὖρον, ὅ ἐϛιν εἰς ἄνεμον. Ὅμηρος, "Εἰς ὄρος, ἢ εἰς "κῦμα." ἢ ἄπυρον, ἀπὸ τῶν ὅρων τῆς πόλεως.

Ib. Πάτρας ἔπυρον] ἤγουν, ἐπὶ τῶν ὅρων ἐλθόντα τῆς Ἀμφιτρίτης· ἢ ἔπυρον, ἤγουν ἐπουρήσαντα καὶ ὁρμήσαντα, εἴτ' εἰς τὸν μέγαν θάλαμον καὶ οἶκον τῆς Ἀμφιτρίτης, ἤγουν, τὸν Ὠκεανον, εἴτ' εἰς τὸν Θρηΐκιον κλύδωνα, τὸν ἀπόξενον ὅρμον. Ἰϛέον δ' ὅτι ἐν τῇ ἀρχῇ τοῦ Εὐξείνου ὁ Θρᾳκικός ἐϛι βόσπορος. Καλεῖται δ' Εὔξεινος κατ' εὐφημισμόν. δηλοῖ δὲ καὶ οὗτος, ἀπόξενον ὅρμον εἰπών· πολλῶν γὰρ φθορῶν τοῖς ἐκπλέουσιν αἴτιος. Φησὶ δὴ καὶ Αἰσχύλος, "Ἐχθρόξενος ναύτῃσι, μητρυιὰ νεῶν." Ἐάν τι γὰρ κακὸν ἀφῇ ἡ νὺξ ἐν τῷ τέλει, τοῦτ' ἐφ' ἡμέραν ἔρχεται. τὸν καὶ ὅντινα λοιμὸν φθίσον καὶ ἀφάνισον ὑπὸ τῷ σῷ κεραυνῷ, ὦ Ζεῦ ὁ νέμων καὶ ἄρχων καὶ διεξάγων ἐν κράτει καὶ ἐξουσίᾳ τῶν πυρφόρων καὶ καυϛικῶν ἀϛραπῶν.

Ib. Εἴτ' ἐς μέγαν] κατὰ τοῦ βυθοῦ. τοῦτο γάρ ἐϛι θάλαμος Ἀμφιτρίτης. ἤγουν, ἔνθα αἱ συμπληγάδες πέτραι εἰσίν.

205. Εἴτ' ἐς τὸν ἀπόξενον] ἴσως τὸν Ἀλμυδησσόν φησι, περὶ ὃν ἱϛορεῖται πολλὰ ναυάγια γίγνεσθαι. ὥϛε μὴ μόνον ἐξ ἁπάσης γῆς ἐξεληλάσθαι, ἀλλὰ μηδὲ ἐν κοινῇ θαλάσσῃ εἶναι. Ἀπόξενον δὲ, δυσχείμερον.

207. Τέλει

Τέλει γὰρ εἴ τι νὺξ ἀφῇ,
Τῦτ' ἐπ' ἦμαρ ἔρχεσθαι.
Τὸν, ὦ πυρφόρων ἀσραπᾶν
Κράτη νέμων, ὦ Ζεῦ πάτερ,
Ὑπὸ σῷ φθίσον κεραυνῷ.
Λύκει' ἄναξ, τά τε σὰ χρυσοτρόφων
Ἀπ' ἀγκύλων βέλεα θέλοιμ' ἂν
Ἀδάμας' ἐνδαίεσθαι,
Ἄρωγὰ προσαθένα,
Τάς τε πυρφόρους Ἀρτέμιδος
Αἴγλας, ξὺν αἷς Λύκει' ὄρεα
Διαΐσσει· τὸν χρυσομίτραν
Τὲ κικλήσκω, τᾶσδ' ἐπώνυμον

207. Τέλει γὰρ εἴ τι] ἀντὶ τῦ εἴ τι ἡ νὺξ ἀγαθὸν καλαλείπειαι, τῦτο ἐν ἡμέρᾳ ἀναιρεῖται, βέλεσι δὲ λέγειν ὅτι τὰ κακὰ ἀδιάλειπτον ἔχει. εἰ γάρ τι ἡ νὺξ ἀφῇ ἐπὶ τῷ ἑαυτῆς τέλει ἀζημίους, μὴ φθάσασα αὐτὸ ἀπολέσαι, τῦτο μεθ' ἡμέραν ἀνήρπασαι.

209. Τὸν, ὦ πυρφόρων] τὸν ἀντὶ τῦ ὄν. Τὸν μαραλικὸν ἄρεα κεραύνωσον, ὦ Ζεῦ. Ἄλλως· ὦ νέμων (ἤγεν, διοικῶν) τὰ κράτη τῶν πυρφόρων ἀσραπῶν. ἢ ἤτοι· ὦ νέμων τῷ κράτει τῷ σῷ καὶ διὰ τῆς σῆς ἰσχύος τὴν πυρφόρον ἀσραπήν.

211. Ὑπὸ σῷ φθίσον] Φθεῖρον ὑποθεὶς τῷ σῷ κεραυνῷ, ἤγεν, κεραύνωσον αὐτὸν, καὶ κατ' αὐτῦ βαλὼν τὸν σὸν κεραυνόν.

212. Λύκει' ἄναξ] Θέλοιμ' ἂν ἐνδαίεσθαι καὶ ὁρμᾶσθαι κατὰ τῦ λοιμῦ, ἀπὸ τῶν χρυσοτρόφων ἀγκύλων καὶ τόξων, καὶ τὰ σὰ ἀδάμαντα καὶ ἀΐδια βέλη, προσαθένια ἀρωγά. Τῦτ' ἴσως αὐτὸν πεμφθέντ' εἰς ἐμὴν βοήθειαν, καὶ τὰς πυρφόρους καὶ καυσικὰς αἴγλας τῆς Ἀρτέμιδος, ἤτοι τὰ βέλη, σὺν αἷς διαΐσσει καὶ διέρχεται τὰ ὄρη Λύκεια, ἤγεν, ἔνθα οἱ Λύκοι διαλρίβουσι· κυνηγέτις γὰρ ἡ Θεός. Καὶ κικλήσκω καὶ ἐπικαλῶμαι τὸν Βάκχον καὶ Διόνυσον τὸν ἐπώνυμον τῆσδε τῆς γῆς, τὸν Εὔιον τὸν χρυσομίτραν, καὶ τὴν χρυσῆν περικεφαλαίαν ἔχοντα, τὸν οἴνοπα, καὶ τὸν καμαςικὸν, τὸν μονόσολον, τὸν μόνον μετὰ τῶν μαινάδων πορευόμενον, πελασθῆναι καὶ πλησιάσαι, φλέγοντα καὶ καίοντα ἐν πεύκῃ καὶ ἐν λαμπάδι ἀγλαῶπι καὶ καυσικῇ, ἐπὶ τὸν Θεὸν, ἤγεν, τὸν λοιμὸν τὸν ἀπότιμον ἐν Θεοῖς, ἤγεν, ὃν μόνον ἐκ Θεῶν ἀθεὶς τῶν Θεῶν, ἀθεὶς τῶν ἀνθρώπων ἐτίμησε. καλῶς δ' εἶπε τὸ ἐπώνυμον, ἤτοι Θηβαῖον· ἐκ Θηβῶν γὰρ ὁ Διόνυσος· εἰκότως δὲ καὶ τὰ τῆς Ἀρτέμιδος τόξα αἴγλας καλεῖ. ἀλληγορεῖται γὰρ αὕτη πρὸς τὴν σελήνην. Πυρφόρους δὲ, ἢ διὰ τὸ δίκην πυρὸς τοῖς δεχομένοις τὰ βέλη τυγχάνειν, ἢ διότι χρυσᾶ ἦν.

214. Ἐνδαίεσθαι] ἐν μερισμῷ δίδοσθαι καὶ διαλρίβειν. Μετῆκται δὲ ἀπὸ τῶν διανεμομένων.

218. Τὸν χρυσομίτραν] τὸν Θηβαῖον Διόνυσον, τὸν ταῖς Βάκχαις συνοικεῦντα.

220. Τὸν

Γᾶς οἴνοπα Βάκχον Εὔϊον
Μαινάδων μονόσολον,
Πελασθῆναι φλέγοντ' ἀγλαῶπι πεύκᾳ
Ἐπὶ τὸν ἀπότιμον ἐν θεοῖς θεόν.

ΙΑΜΒΟΙ.

ΟΙΔ. Αἰτεῖς· ἃ δ' αἰτεῖς, ταῦτ' ἐὰν θέλῃς ἔπη
Κλύων δέχεσθαι, τῇ νόσῳ θ' ὑπηρετεῖν,
Ἀλκὴν λάβοις ἂν καὶ κακῶν. Ἃ γὼ ξένος μὲν τῶδ' ἐξερῶ,
Ξένος δὲ τῷ πραχθέντος· ἃ γὰρ ἂν μακρὰν
Ἴχνευον αὐτὸς, μὴ ἒκ ἔχων τι σύμβολον·
Νῦν δ' (ὕστερος γὰρ ἀστὸς εἰς ἀστοὺς τελῶ)

219. Τὸν Ἐπώνυμον] ἐπὶ τῷ ὀνόματι τῶν Θηβαίων καλέμενον.

221. Μονόσολον] Τὸν μόνον —— τὸν συμπερευόμενον ταῖς μαινάσιν, διότι ἔχει λαμπρὰν ὄψιν.

Ib. Μονόσολον] γράφεται ὁμόσολον.

223. Ἐπὶ τὸν ἀπότιμον θεὸν] λέγει τὸν Λοιμὸν, τὸν μὴ μελέγοιλα τῆς τιμῆς τῶν Θεῶν· Θεῶν γάρ ἐστι τὸ εὐεργετεῖν τὰς ἀνθρώπους.

224. Αἰτεῖς] ὧν δ' αἰτεῖς, ἀλκὴν λάβοις ἂν κακανάφισιν κακῶν. ἐὰν θέλῃς τὰ ἐμὰ ἔπη δέχεσθαι, ἃ δὴ ἔπη ἐξερῶ ξένος ὢν καὶ τῷ πράγματος καὶ τῷ λόγῳ. οἷον, ἐκ ἀκηκοὼς πρότερον περὶ τῦ φόνυ τῦ Λαΐυ, ὐδὲ μὴν καθ' ὃν χρόνον ἐπράχθη ὁ φόνος παρών.

226. Κἀνακούφισιν] Ἐλευθερίαν τῆ βάρυς τῶν κακῶν.

227. Τῷ λόγῳ] τῷ λεχθέντος ὑπὸ Ἀπόλλωνος.

Ib. Ξένος μὲν] Οὐκ ἐνεχόμενος ζητεῖν τὸν λόγον τῦτον τὸν περὶ τῦ φονέος· ἐκ ἐνεχόμενος ζητεῖν τὸ πραχθέν· ξένος τῷ λόγῳ, ἐπεὶ ἐκ ἦς μοι συγγενὴς, ἢ ξένος τῷ πραχθέντος· ἃ γὰρ ἔγὼ πέπραχα τὸν φόνυ.

228. Τῷ πραχθέντος] ἀδελφὸν ἐστιν, ἀντὶ τῦ τῆς πράξεως. Τὸ δὲ, ἃ γὰρ ἂν μακρὰν, κατασκευή ἐστι περὸς τὸ, ταῦτ' ἐὰν θέλῃς ἔπη κλύων δέχεσθαι, καὶ τὰ ἑξῆς. Οὐκ ἀληθῶς δὲ τῦτο λέγει, ἀλλ' ἵν' ἐντεῦθεν ἁπαταῇ τὸν ποιήσαντα καὶ ἀκέσασθ' ὁμολογῆσαι τὴν πρᾶξιν.

230. Νῦν δ' (ὕστερος γὰρ ἀστὸς—] μεταφέρει ἀπὸ τῶν ἐν ταῖς πόλεσι ξένων τελούντων τῇ μετοικίᾳ.

Ib. Εἰς ἀστὸς τελῶ] ἀντὶ τῦ πεπολίτευμαι, καὶ ἄρτι αὐτὸς ἐνομίσθην ξένος ὤν, καὶ ἐβασίλευσα. Ἄλλως· νῦν δὲ εἰς ἄστυς τελῶ· δύκῶν γὰρ εἶναι ξένος, τῆς βασιλείας τέτύχηκα. Ἐπεὶ ἂν (φησὶ) συντελῶ εἰς τὴν πολιτείαν, καὶ μέλει μοι τῶν κοινῶν, ταῦτα ὑμῖν περοφανῶ. Μετῆκλαι δὲ ἀπὸ τῶν συντελούντων ἐν ταῖς πόλεσι, καὶ τὴν ἰδίαν δύναμιν εἰς τὸ κοινὸν φερόντων.

Ib. Εἰς ἀστὸς τελῶ] εὕρηλαι καὶ τελῶ καὶ τελῶν· καὶ τὸ μὲν τελῶ διὰ μέσυ εἴποις. Εἰ δὲ τελῶν γράφεις, τὸ μὲν νῦν δὲ, ἐκ ἀποδώσεις, περὸς δὲ τὸ τελῶν ἅπαντα τὸν ἑξῆς λόγον συνάψεις. Καὶ γὰρ ὅμοιον, ὡς περόντων ἔφαμεν, τῶ, Ἐγὼ δ' ἐπίσαμαι γὰρ ἀρτίως ὕτι ὅτ' ἐχθρὸς ἦμην.

231. Τμῖν

Ὑμῖν προφωνῶ πᾶσι Καδμείοις τάδε·
Ὅστις ποθ' ὑμῶν Λάϊον τὸν Λαβδάκου
Κάτοιδεν, ἀνδρὸς ἐκ τίνος διώλετο,
Τὸν κελεύω πάντα σημαίνειν ἐμοί.
Κεἰ μὲν φοβεῖται τὐπίκλημ', ὑπεξελὼν
Αὐτὸς καθ' αὑτὸν· πείσεσθαι γὰρ ἄλλο μὲν
Ἀσφαγὲς ἕδεν, γῆς δ' ἄπεισιν ἀβλαβής.
Εἰ δ' αὖ τις ἄλλον οἶδεν ἐξ ἄλλης χθονὸς
Τὸν αὐτόχειρα, μὴ σιωπάτω· τὸ γὰρ
Κέρδος τελῶ γὼ, χἠ χάρις προσκείσεται.
Εἰ δ' αὖ σιωπήσεσθε, καί τις ἢ φίλου
Δείσας ἀπώσῃ τὔπος, ἢ χ' αὑτὸν τόδε,
Ἃ 'κ τῶνδε δράσω, ταῦτα χρὴ κλύειν ἐμοῦ.
Τὸν ἄνδρ' ἀπαυδῶ τὔπον, ὅστις ἔστι, γῆς
Τῆσδ', ἧς ἐγὼ κράτη τε καὶ θρόνους νέμω,

231. Ὑμῖν προφωνῶ] Νῦν ἀχ ἔτω ποιῶ δηλονότι, ἀλλὰ προφωνῶ, ἤγουν, προαγγέλλω ὑμῖν πᾶσι τοῖς Καδμείοις· ὕστερος γὰρ αὐτὸς ἀφὸς εἰς ἀφὸς τελῶ τάδε· τελεῖ εἰς τὺς Ἕλληνας· ἤγουν, Ἕλλην ὑπάρχει· καὶ τελεῖ εἰς τὺς ἀφὸς, ἤτοι ἀφὸς ὑπάρχει, ὕστερος δὲ, διότι ὡς δοκεῖ ξένος ὤν, ἐπολιτογραφήθη. Ὅπερ μέλλω ἐρεῖν.

232. Ὅστις ποθ' ὑμῶν] Τὸ ὅστις ἀεί ποτε γενικῇ ὅστις τῶν ἀνθρώπων.

234. Πάντα σημαίνειν ἐμοί] τὰ πραχθέντα δηλονότι.

235. Κεἰ μὲν φοβεῖται] καὶ εἰ μὲν αὐτὸς εἶπε πράξας, καὶ φοβεῖται λέγειν αὐτὸς καθ' αὑτῦ, τὸν φόβον ὑπεξελὼν λεγέτω· ἐδὲν γὰρ δεινὸν πείσεται, εἰ μὴ ὅτι τῆσδε τῆς γῆς ἀπαλλάξεται. Εἰ δὲ ξένον τις οἶδε τὸν φονέα, μηνυσάτω. Καὶ ἐυθὺς μὲν παρέξω κέρδος, καὶ εἰς ἀεὶ χάριν ἕξω. Πανταχόθεν ἓν προτερέπεται τὺς μηνύοντας.

Ib. Ὑπεξελὼν] ἀντὶ τῦ ἐξελὼν. ἐκβαλὼν τὸν φόβον δηλονότι. Τὸ ἔγκλημα, ἤγουν, τὸν φοβερὸν φόβον, ἔστινα ἔχει ἐπὶ τῷ ἁμαρτήματι. Τὸν κατηγορίαν καὶ τὸ ἔγκλημα· ἔτω καὶ ἐπικαλῶ τὸ ἐγκαλῶ. Εἴγουν φοβεῖται τὸ ἔγκλημα ὡς μέγα, ἐκβαλὼν τὸν φόβον λέγοι αὐτὸς καθ' αὑτῦ. Ἤγουν, καὶηγορείτω αὐτῦ· καὶ ἐ πάθοι ἄνθρωπος ἄλλο βαρὺ ἐπαχθὲς, ἢ τὸ ἀποδημῆσαι τῆς πατρίδος, εἰς ἄλλην χῆν.

239. Αὐτόχειρα] Τὸν αὐτοεργὸν τῦ φόνυ, καταχρηςικῶς τὸν φονέα· αὐτόχειρ δὲ ὁ οἰκείαις χερσὶ τέχνον χρησάμενος.

240. Κέρδος τελῶ] ἤγουν, πρὸς τὸ, χάριν αὐτῶ ἔχειν με, καὶ τελείας ἕξει δωρεὰς τῦ μηνύσαντος.

Ib. Προσκείσεται] Προσεθήκης καὶ ἄλλο προσκείσεται.

Ib. Προσκείσεται] ἐπὶ προσλήμματος ἐπὶ ἀνέων, καὶ ἐπὶ νεκρῶν. Ἐφύλαξε μὲν τὸ προσκεῖσον· ἄλλαξε δὲ τὸν ἀριθμόν. Τὸν λόγον ὃν προσάσσω.

243. Ἃ 'κ τῶνδε] οἷον, ἅπ' αὐτῶν ἀναγκασθείς τῶν πραγμάτων.

244. Τὸν ἄνδ' ἀπαυδῶ] πολὺν ἔλεον ἐργάζεται ὁ λόγος, ὅτι κατηγορεῖ ἑαυτῦ ἀγνοῶν. Πρότερον δὲ τὰ φιλάνθρωπα εἰρηκὼς, τελευταῖα ἐπήνεγκε τὰ σκληρότερα.

248. Χέρ-

Μήτ' εἰσδέχεσθαι μήτε προσφωνεῖν τινα,
Μήτ' ἐν θεῶν εὐχαῖσι μῆτε θύμασι
Κοινὸν ποιεῖσθαι, μήτε χέρνιβας νέμειν·
Ὠθεῖν δ' ἀπ' οἴκων πάντας, ὡς μιάσματος
Τῶδ' ἡμῖν ὄντος· ὡς τὸ Πυθικὸν θεὸ
Μαντεῖον ἐξέφηνεν ἀρτίως ἐμοί.
Ἐγὼ μὲν ἦν τοιόσδε τῷ τε δαίμονι
Τῷ τ' ἀνδρὶ τῷ θανόντι σύμμαχος πέλω.
Καλεύχομαι δὲ τὸν δεδρακότ', εἴτέ τις
Εἷς ὢν λέληθεν, εἴτε συλλεόντων μέτα,
Κακὸν κακῶς νιν ἄμοιρον ἐκλιπεῖν βίον.
Ἐπεύχομαι δ' οἴκοισιν εἰ ξυνέσιος
Ἐν τοῖς ἐμοῖς γένοιτ' ἐμοὶ συνειδότος,
Παθεῖν ἅπερ τοῖσδ' ἀρτίως ἠρασάμην.
Ὑμῖν δὲ ταῦτα πάντ' ἐπισκήπτω τελεῖν,
Ὑπέρ τ' ἐμαυτοῦ, τῷ θεῷ τε, τῆσδέ τε

248. Χέρνιβας] Θυσίαι· χέρνιψ δὲ τὸ περικαθάρσιον ὥς φησι ὁ Συνέσιος τὰς περὶ τῶ τελίσματος χέρνιβας· χερνίψαι, τὸ τὰς χεῖρας ἀπονίζειν ὕδατι.

249. Ὡς μιάσματος] δέον εἰπεῖν ὡς ὄλεθρος μίασμα, περὸς τὸ τῶδ' ἐποίησε μιάσματος.

250. Τὸ Πυθικὸν] Πλαγιασμὸς, σχῆμα καινοπρεπές. Τῷ Πυθίᾳ τὸ κλητικὸν ἀντὶ γενικῆς τῷ περοσάξαντι ζητεῖν τὸν φονέα.

252. Τῷ τε δαίμονι] τῷ ταῦτα μανίευσαμένῳ Ἀπόλλωνι.

254. Καλεύχομαι] καλαρῶμαι τὸν φονέα.

256. Ἄμοιρον] ἤτοι κακόμοιρον· ἢ μηδένος τῶν νενομισμένων μετειληφότα, ἀλλ' ἄταφον ἐκβληθῆναι. Ἀγνοῶν δὲ ἐπαρᾶται ἑαυτῷ εἰ ξύνοιδε τὸν φονέα, δίς. καὶ περιπαθέστερος γίγνεται ὁ λόγος.

257. Ἐπεύχομαι] ἐπεύχομαι ἐπὶ εὐχῆς. ἐπεύχομαι δὲ τὸ ἀπαγορεύω· κατεύχομαι δὲ, τὸ καλαρῶμαι. Ἔστι δὲ καὶ ἐπὶ καλῆ καλευχῆ. Ἀριστείδης· "Ὅσα δὴ γενεθλίοις Θεοῖς καλῆυκται." Ἡ καλὰ ἐνταῦθα ἀρχὴ, ἀντὶ τῦ, λίαν. Καλαρρέψαι τὴν ζωήν.

260. Ὑμῖν δὲ ταῦτα πάντ' ἐπισκήπτω] ἐνόρκως ἐντέλλομαι τὸ ἀγγεῖλαι τὸν φονέα, ἢ ἀπωθεῖσθαι τῶν οἰκιῶν καὶ τῶν θυσιῶν. Πρὸς τὸ Ἐγὼ μὲν τοιόσδε, ἀποδίδοται τὸ ὑμῖν δέ.

Ib. Τελεῖν] Τελῶ τὸ ἀργύριον, τελῶ τὴν χάριν ὡς ἀρτίως ἔφη. Τελῶ εἰς τὰς Ἕλληνας. Ἡγοῦ, Ἕλλην εἰμί. Τελῶ καὶ τὸ πράττω ὃ κρεῖττον, μετὰ τῆς ἐκ, ἤγουν, ἐκτελῶ.

261. Ὑπέρ τ' ἐμαυτοῦ] ἐπισκήπτω ταῦτα ἐπεὶ εὑρημένῳ τῷ φονέως καὶ δίκην δεδωκότος, ἀπαλλάξειαι μὲν φρονίδος· ἀσφαλέστερον δὲ αὐτῷ καὶ τὰ πράγματα ἕξει, τῆς καλὰ τῶν βασιλέων τόλμης ὑπεξαλμένης, τῷ τὸν ἅπαξ τετολμηκότα κεκολάσθαι.

Ib. Τῷ θεῷ τε] τῷ Ἀπόλλωνος.

Γῆς, ὧδ' ἀκάρπως κἀθέως ἐφθαρμένης.
Οὐδ' εἰ γὰρ ἦν τὸ πρᾶγμα μὴ θεήλατον,
Ἀκάθαρτον ὑμᾶς εἰκὸς ἦν ὅτως ἐᾶν,
Ἀνδρὸς γ' ἀρίστε βασιλέως τ' ὀλωλότος,
Ἀλλ' ἐξερευνᾶν. νῦν δ' ἐπικυρῶ τ' ἐγὼ,
Ἔχων μὲν ἀρχὰς, ἃς ἐκεῖνος εἶχε πρὶν,
Ἔχων δὲ λέκτρα, καὶ γυναῖχ' ὁμόσπορον,
Κοινῶν τε παίδων κοίν' ἄν, εἰ κείνῳ γένος
Μὴ 'δυσύχησεν, ἦν ἂν ἐκπεφυκότα.
Νῦν δ' ἐς τὸ κείνε κρᾶτ' ἐνήλαθ' ἡ τύχη.
Ἀνθ' ὧν ἐγὼ τάδ' ὥσπερεὶ τοὐμοῦ πατρὸς
Ὑπερμαχοῦμαι, κἀπὶ πάντ' ἀφίξομαι
Ζητῶν τὸν αὐτόχειρα τοῦ φόνε λαβεῖν,
Τῷ Λαβδακείῳ παιδὶ, Πολυδώρε τε, καὶ

262. Ὧδ' ἀκάρπως] Μὴ παρὰ τίνος τῶν θεῶν εὐρισκόμης βοήθειαν ἢ τῆ αἰτίᾳ.

263. Οὐδ' εἰ γὰρ ἦν] καὶ γὰρ εἰ μὴ ἦν ὅλως τὸ ἄγος ὑπὸ θεῶν ἐλαυνόμενον, καὶ οἰονεὶ πολυπραγμονέμενον, ὑμᾶς ἔδει κινεμένες εἰκοθεν, καὶ μὴ ἀναμείναντας τὸν ἐκ θεῶν πρᾶξιν ἀναζητεῖν.

Ib. Γὰρ ἦν] τὸ γὰρ πρὸς τὸ ὠδὲ συναπλέον, εἰ καὶ τὸ εἰ διὰ μέσε ἡ βία τῆ μέτρε τεθῆναι ἠνάγκασεν.

Ib. Οὐδ' εἰ γὰρ ἦν τὸ πρᾶγμα μὴ θεήλατον] ἤγεν, τὸ ζητεῖν τὸν φονέα ὑπὸ τε θεῦ κεκινημένον· νῦν δὲ δικαίου ἓς τὸ πρᾶγμα ἐπιζητεῖν. Καὶ ὁ θεὸς κινεῖ καὶ ἐγὼ ἐπιβεβαιῶ.

268. Ὁμόσπορον] Εἰς ἦν ἔσπειρε καὶ ἐκεῖνος καὶ ἐγὼ.

269. Κοινῶν τε παίδων κοίν' ἄν] κοινὰ ἀδελφὰ τοῦς ἐξ ἡμῶν· οἷον, καὶ ἡμεῖν ἂν ἐγένετο, εἰ ἦν τέκνα τῷ Λαΐᾳ γενόμενα.

Ib. Εἰ κείνω γένος] τὸ ἐκείνῳ καὶ τὸ γένος πρὸς τὸ κοινῶν τε παίδων συναπλέον· τὸ δὲ κόιν' ἄν, πρὸς τὸ ἦν ἂν ἐκπεφυκότα· τὸ δὲ εἰ, πρὸς τὸ μὴ 'δυσύχησεν, ὅτως, ἔχων γένος παίδων κοινῶν ἐκείνῳ, κοινὰ ἂν ἦν τὰ τέκνα ἐκπεφυκότα ἐκείνε, εἰ μὴ ἐδυσύχησε καὶ ἀπέθανεν· ἀπορῆσι δ' ἐνταῦθα πῶς λέγει κοινά. Εἰ γὰρ ἔζη ὁ Λάϊος, μόνος ἂν εἶχεν Ἰοκάσην, καὶ οὐδεὶς ἂν αὐτῷ ἐκοινώνει τῆς τῶν τέκνων σπορᾶς. Καὶ φαμὲν, ὡς τὸ μὲν ἀληθὲς ὅτως ἀπαιτεῖ· λέγει δὲ νῦν Οἰδίπους τὰ κοινὰ, διὰ τὸ τὴν αὐτὴν ἐκείνῳ γυναῖκα ἔχειν. Ἐοι δ' ὥσπερ παρα κεκινδυνευμένον καὶ ἀκατὰ τὴν πρέπεσαν ἀκολυθίαν. Δέον δ' εἰπεῖν, κοινὰ γὰρ ἂν ἦν, ἀσυνδέτως εἶπε, κοινὰ ἂν ἦν.

270. Μὴ δυσύχησεν] ὥςε μὴ παιδοποιήσασθαι.

271. Τὸ κείνε κρᾶτα] τὴν κεφαλὴν· εἰς τὴν κεφαλὴν ἐκείνε, ἤγεν, τῷ γένες ἐνήλαλο ἡ τύχη· ἀνὶ τῷ ἐδυσύχησε τὸ γένος.

272. Ἀνθ' ὧν ἐγὼ] αἱ τοιαῦται ἔννοιαι ἂν ἔχοιλαι μὲν τῷ σεμνῷ, κινηλικαὶ δέ εἰσι τῷ Θεάτρε. Αἷς καὶ πλεονάζει Εὐριπίδης· ὁ δὲ Σοφοκλῆς πρὸς βραχὺ μὲν αὐτῶν ἅπλεται, πρὸς τὸ κινῆσαι τὰ Θέατρον.

274. Τὸν αὐτόχειρα] τὸν αὐτουργὸν, τὸν ταῖς οἰκείαις χερσὶν ἐργασάμενον τὸν φόνον.

275. Τῷ Λαβδακείῳ] Ἀγήνωρ, Κάδμος, Πολύδωρος,

Τȣ̃ πρόσθε Κάδμȣ, τȣ̃ πάλαι τ' Ἀγήνορος.
Καὶ ταῦτα τοῖς μὴ δρῶσιν, εὔχομαι θεȣ̀ς,
Μήτ' ἄροτον αὐτοῖς γῆν ἀνιέναι τινὰ,
Μήτ' ȣ̃ν γυναικῶν παῖδας· ἀλλὰ τῷ πότμῳ
Τῷ νῦν φθερεῖσθαι, κἄτι τȣ̃δ' ἐχθίονι.
Ὑμῖν δὲ τοῖς ἄλλοισι Καδμείοις, ὅσοις
Τάδ' ἔς' ἀρέσκονθ', ἥ τε σύμμαχος Δίκη;
Χ' οἱ πάντες εὖ ξυνεῖεν εἰσαεὶ θεοί.—
ΧΟΡ. Ὥσπέρ μ' ἀραῖον ἔλαβες, ὧδ', ἄναξ, ἐρῶ·
Οὔτ' ἔκτανον γὰρ, ȣ̔τε τὸν κτανόντ' ἔχω
Δεῖξαι· τὸ δὲ ζήτημα, τȣ̃ πέμψαντος ἦν
Φοίβȣ τόδ' εἰπεῖν, ὅςις εἴργαςαί ποτε.—
ΟΙΔ. Δίκαι' ἔλεξας· "ἀλλ' ἀναγκάσαι θεȣ̀ς,

Πολύδωρος, Λάβδακος, Λάϊος, Οἰδίπȣς, Πολυνείκης καὶ Ἐτεοκλῆς.

276. Ἀγήνορος] Ἀγήνωρ τὸν Κάδμον. Οὗτος τὸν Πολύδωρον. Οὗτος τὸν Λάβδακον. Οὗτος τὸν Λάϊον. Οὗτος τὸν Οἰδίποδα κατὰ ἀναποδισμόν.

277. Εὔχομαι] τινὲς μὴ δυνάμενοι τȣ̀ς θεȣ̀ς συντάξαι, θεοῖς γράφȣσι πρὸς τὸ εὔχομαι. Τὸ δέ ἐςι τοιȣ̃τον, καὶ τοῖς μὴ δρῶσι ταῦθ' ἃ εἴρηκα, λέγω τὸ μήτ' εἰςδέχεσθαι, καὶ τὰ ἑξῆς, εὔχομαι μήτ' ἀνιέναι καὶ ἀναπέμπειν τȣ̀ς θεȣ̀ς αὐτοῖς γῆν τιν' ἀροτὸν, καὶ ἠροτριασμένην. Τȣ̃τ' ἔςι μὴ εὐοδȣ̃ν τȣ̀ς θεȣ̀ς τὰ σπέρματα αὐτοῖς. Δέον δ' ȣ̔τως εἰπεῖν, μὴ ἀνιέναι τȣ̀ς θεȣ̀ς αὐτοῖς ἐκ γῆς ἠροτριασμένης σπέρματα, γῆν ἀροτὸν εἶπεν· ἐπειδήπερ ἡ ἠροτριασμένη γῆ δεχομένη τὰ σπέρματ' ἀνίησι. Τὸ δὲ τινὰ διὰ τȣ̃το εἶπεν ἵνα δείξῃ ὡς ȣ̔ μόνον ταύτην τὴν γῆν λέγει, ἀλλὰ καὶ πᾶσαν ἣν ἂν οἰκοῖεν.

Ib. Τοῖς μὴ δρῶσιν] Καὶ τοῖς μὴ πράττȣσι ταῦτα, ἤγουν, τοῖς μὴ ὑπερμαχομένοις καὶ ζητȣ̃σι τὸν φονέα.

Ib. Τοῖς μὴ δρῶσιν] τοῖς μὴ δεικνύȣσί μοι τὸν φονέα.

278. Ἄροτον] τȣτέςι καρπόν.

Ib. Ἄροτος ὁ καιρὸς ὅτε ἀροτριῶσιν.

279. Γυναικῶν παῖδας] Μήτε σπόρον τινα αὔξειν αὐτοῖς τὴν γῆν, μήτε τȣ̀ς παῖδας τῶν γυναικῶν αὔξειν τὴν γῆν δηλονότι. Καὶ ἔςι ταύτης τύχη μᾶλλον μεμισημένη.

281. Ὑμῖν δὲ] Ἤγȣν, τοῖς ἀποδεχομένοις τȣ̀ς ἡμετέρȣς λόγȣς.

284. Ὧδ', ἄναξ, ἐρῶ] ȣ̔τως ἐρῶ καὶ αὐτὸς ἐπομνύμενος καὶ κατὰ τὰς ἀρὰς ἐπαρώμενος, μήτε δρᾶσαι τὸν φόνον, μήτε τȣ̀ς δράσαντας ἐπίςασθαι.

Ib. Ὥσπερ μ'] Καθὰ μὲ ἐν κατάραις ἐκράτησας, ȣ̔τως ἐρῶ ἐν ταῖς αὐταῖς κατάραις. Ἤγȣν, ἐπὶ τῇ ἀρᾷ ᾗ κατηράσω ἐμοὶ ἐπ' αὐτῇ λέξω κἀγώ. Μετὰ θάρσȣς λαμβάνω τὴν κατάραν, ὅτι ȣ̔κ οἶδα τίς ἐςιν ὁ φονεὺς τȣ̃ Λαΐȣ. Τὸ δὲ ζήτημα τόδε, τȣ̃ πέμψαντος ἦν Φοίβȣ. ἤγȣν, τῆς δυνάμεως ἦν τȣ̃ Φοίβȣ εἰπεῖν. Λέγω ὅςις εἴργαςαί ποτε τὸν φόνον δηλονότι.

286. Τὸ δὲ ζήτημα,] ἀπορῶν ὁ χορὸς ἐπὶ τὸ θεῖον πάλιν ἀνατρέχει.

Ib. Τὸ δὲ——] τὸ τόδε, ȣ̔ πρὸς τὸ ζήτημα συναπτέον, ἀλλὰ πρὸς τὸ ὅςις· ȣ̔τως, τȣ̃ δὲ πέμψαντος Φοίβȣ τὸ ζήτημα τὸ περὶ τȣ̃ φόνȣ ἦν εἰπεῖν τόδε, ὅςις ἄρα εἴργαςαι τὸν φόνον.

288. Δίκαι' ἔλεξας] τȣ̃τὸ φησιν ἵνα μὴ πάλιν πέμψωσιν εἰς θεὸν, καὶ γένηται διατριβὴ ἐν τῷ δράματι· ὅπερ ὑπόψυχρον.

Ib. Ἀναγ-

" Ἂν μὴ θέλωσιν, ὧδε εἷς δύναιτ' ἀνήρ."

ΧΟΡ. Τὰ δεύτερ' ἐκ τῶνδ' ἂν λέγοιμ', ἃ μοι δοκεῖ.
ΟΙΔ. Εἰ καὶ τρίτ' ἐσί, μὴ παρῇς τὸ μὴ 'φράσαι.
ΧΟΡ. Ἄνακτ' ἄνακτι ταῦθ' ὁρῶντ' ἐπίσαμαι
Μάλισα Φοίβῳ Τειρεσίαν· παρ' ἕ τις ἂν
Σκοπῶν τάδ', ὦ ἄναξ, ἐκμάθοι σαφέσθατα.
ΟΙΔ. Ἀλλ' ἐκ μὲν ἀργοῦ τῆδε τἄτ' ἐπραξάμην.
Ἔπεμψα γὰρ Κρέοντος εἰπόντος, διπλᾶς
Πομπὰς· πάλαι δὲ μὴ παρὼν, θαυμάζεται.
ΧΟΡ. Καὶ μὴν τά γ' ἄλλα κωφὰ καὶ παλαι' ἔπη.
ΟΙΔ. Τὰ ποῖα ταῦτα; πᾶν γὰρ σκοπῶ λόγον.
ΧΟΡ. Θανεῖν ἐλέχθη πρός τινων ὁδοιπόρων.
ΟΙΔ. Ἥκουσα κἀγώ· τὸν δ' ἰδόντ' οὐδεὶς ὁρᾷ.
ΧΟΡ. Ἀλλ' εἶτι μὲν δὴ δείματός γ' ἔχει μέρος,

Ib. Ἀναίσασι θεὸς] ὁ γὰρ Ἀπόλλων εἷς ἐστιν ἐκ τῶν δώδεκα θεῶν, αὐτὸς δὲ ἐν ἑνὶ τὸν φονέα, καὶ ὁ ζητεῖν ἡμᾶς τοῦτον εἶα.

290. Τὰ δεύτερ' ἐκ τῶνδ'] πρῶτον καὶ ἐξαίρετον ἦν ἐρωτᾶν Ἀπόλλωνα περὶ τῶν παρόντων· ἐπεὶ δ' ὡς αὐτὸς φησι, οὐκ οἶόν τε, τὰ δεύτερα ἐκ τῶνδ' ἃ μοι δοκεῖ, λέγοιμ' ἄν· τοῦτ' ἔστιν, ἅπερ εἰς βοήθειαν λόγων, τὰ δευτερεῖα Ἀπόλλωνος, ἔχειν μοι φαίηκεν, φράσω.

291. Μὴ 'φράσαι] συνίζησις.

292. Ἄνακτ' ἄνακτι] ἀποκλειομένῳ τοῦ πέμψειν εἰς θεὸν, καλαφεύγουσιν εἰς τὸν ὁμοίαν μανίκην. Τῷ αὐτῷ δὲ ὀνόματι προσαγορεύει τὸν Τειρεσίαν ᾧ καὶ τὸν θεὸν, καὶ τὰ αὐτὰ ὁρᾶν ἐκείνῳ φησίν. Ἄλλως· ἄνακλα λέγει τὸν Ἀπόλλωνα ἢ τὸν Τειρεσίαν, τὸν μὲν, ὡς φύσει ἀνάσσοντα, τὸν δὲ Τειρεσίαν, ὡς ὑπὸ τῶν ἀνθρώπων ὥσπερ τιμώμενον διὰ τὸ κράτος τῆς μανίκης.

295. Ἀλλ' ἐκ ἐν ἀργοῖς] καθίσταθα τὸ κηδεμονικὸν τοῦ ἤθους διετήρησε· τὸ μὲν ἓν διπλᾶς πομπὰς, τῆς σπουδῆς ἐσὶ τεκμήριον· τὸ δὲ, Κρέοντος εἰπόντος, πιθανὸν εἰς τὰ ἑξῆς, ἵνα ᾖ ὑπόνοια αὐτῷ πίστιν ἔχοι, τὸ πεπεισμένον ὑπὸ τοῦ Κρέοντος τὸν Τειρεσίαν μαντεύεσθαι κἀκὰ τῷ Οἰδίποδος τὰ ψευδῆ.

Ib. Ἐπραξάμην] Ἀπὸ τῆς ἐνεργείας τοῦ Φοίβου τὸ ὄνομα ἀνῆκ ἐπράξαμεν ἐκ ἀργᾶς. Ὥσπερ τὸ ἐγεννησάμην παρὰ Συνεσίῳ ἀνῆκ τοῦ, ἐγέννησα· καὶ τὸ διωκησάμην ἀνῆκ τοῦ διώκησα. καὶ τὸ ἐθαυμασάμην ἀντὶ τοῦ, ἐθαύμασα. Οὕτω καὶ τὸ ἐπραξάμην ἀντὶ τοῦ, ἔπραξα. τῇ μὲν φωνῇ παθητικά· τῇ δὲ σημασίᾳ ἐνεργητικα.

296, 297. Διπλᾶς Πομπὰς] Πομπὸς, ὁ προπομπὸς, καὶ πομπὸς ὁ ἀποσταλεὶς πρὸς τίνα μαντείαν. Διὰ δὲ τὸ μὴ παρεῖναι πρὸ μακροῦ θαυμάζεται ὁ Τειρεσίας δηλονότι.

Ib. Διπλᾶς Πομπὰς] Δύο τοὺς παραπέμψοντας αὐτὸν δεῦρο.

298. Καὶ μὴν τά γ'] ἤγνη, ὅτι μὲν ἀπέθανε Λάϊος, ὁμολογεῖται· τὰ δ' ἀδόμενα περὶ τοῦ θανάτου αὐτοῦ, ὅπως γέγονε, μάταιά ἐσι καὶ ἀσύσταλα. Οἱ μὲν γὰρ φασι ὡς ὑπ' ὁδοιπόρων τέθνηκεν· οἱ δ' ὡς ὑπὸ ληστῶν. ὅστε τούτων ὅπως ἐχόντων, δεῖ Τειρεσίᾳ ἵνα τἀληθὲς εἰπῃ.

Ib. Κωφὰ] ψυχρὰ, καὶ ἐδὲν σαφὲς ἔχοντα, τὰ ψιθυριζόμενα.

301. Τὸν δ' ἰδόντ'] Τὸν δὲ ἰδόντα τὸν φονεύσαντα ἐδεὶς ὁρᾷ ἀνῆκ τοῦ, γινώσκει.

302. Δείματός ἔχει] Ἦγνη, ἀλλ' εἰ μὲν δὴ καὶ φόβου τι μέρος ἔχει. Εἰ ἔχει μέρος δείματος,

Τὰς σὰς ἀκέων ἐ μενεῖ τοιάσδ' ἀράς.
ΟΙΔ. Ὦ μή 'γι δρῶνλι τάρβος, ἐδ' ἔπος φοβεῖ.
ΧΟΡ. Ἀλλ' ὐξελέγχων αὐτόν ἐγιν· οἶδε γὰρ
Τὸν θεῖον ἤδη μάνλιν ὧδ' ἄγγσιν, ᾧ
Ταληθὲς ἐμπέφυκεν ἀνθρώπων μόνῳ.—
ΟΙΔ. Ὦ πάνλα νωμῶν, Τειρεσία, διδακλά τε,
Ἀρρηλά τ', ἐράνιά τε, καὶ χθονοσιβῆ,
Πόλιν μὲν εἰ καὶ μὴ βλέπεις, φρονεῖς δ' ὅμως
Οἵᾳ νόσῳ σύνεσιν· ἧς σε προσάτην
Σωῆρά τ', ὦ ἄναξ, μόνον ἐξευρίσκομεν,
Φοῖβος γὰρ, εἰ καὶ μὴ κλύεις τῶν ἀγγέλων,
Πέμψασιν ἡμῖν ἀνλέπεμψεν, ἔκλυσιν
Μόνην ἂν ἐλθεῖν τῆδε τῆ νοσήμαλος,
Εἰ τὲς κλανόνλας Λάϊον μαθόνλες εὖ,
Κτείναιμεν, ἢ γῆς φυγάδας ἐκπεμψαίμεθα.
Σὺ δ' ἐ φθονήσας μήτ' ἀπ' οἰωνῶν φάτιν,
Μήτ' εἴ τιν' ἄλλην μαντικῆς ἔχεις ὁδὸν,

τος, ἤτοι εἰ πσσᾶς φοβεῖται ἀκέων τὰς σὰς ἀρὰς, ἐ μενεῖ ἀλλ' ἐξαγγελεῖ.

Ib. Δείματός γ' ἔχει μέρος] ἤγνν, εἰ φοβεῖται καὶ ὑποπτεύει ὁ ἰδὼν μὴ ὕστερον γνωσθήσεται. Τὸ δέ γε πρὸς τὸ εἴτι συναπλέον, ἔστω, ἀλλὰ μὴν καὶ εἴτι μέρος ἔχει δείματος, καὶ τὰ ἑξῆς.

304. Ὦι μή 'γι] ὁ μὲ τὸ ἔργον δεδοικὼς, οὐδὲ τὸν λόγον φοβεῖται. Ἦ, οὐδὲ ὁ λόγος φόβον αὐτῷ ἐνλίθεται.

Ib. Ὦι μή 'γι] πᾶς ἄνω εἰπὼν ὁ Οἰδίπνς, τὸν δ' ἰδονῖ' ἀδεὶς ὁρᾷ, νῦν φησὶν, ᾧ μή 'γι ὁρῶνλι τάρβος; Καὶ φαμὲν, ὡς τὸν ἰδόντα ἐ θεατὴν μόνον, ἀλλὰ καὶ συμπράκλορα νοεῖ.

Ib. Ὦι μή 'γι] Ὦι τινι τῶν ἀνθρώπων μὴ πρόπονλί τι κακὸν ἔγι φόβος, οὐδ' ἔπος φοβεῖ, ἤγνν, λόγος.

305. Ἀλλ' ὐξελέγχων] καὶ ταῦτα εἰς σύγκασιν τῶν προσώπων, ἵνα μηδὲ ὕστερον δυνηθεὶς ἀρνήσασθαι.

306. Τὸν θεῖον] θεῖον καλεῖ τὸν Τειρεσίαν, ὡς τἀφανῆ γιγνώσκονλα, ὅπερ ἐςὶ θεῶν.

308. Ὦ πάνλα νωμῶν] ὑποδοχὴ Οἰδίποδος ὑποδεξαμένη ἀσμένως τὸν Τειρεσίαν.

Ib. Διδακλά τε] τὸ μὲν διδακλὰ πρὸς τὸ χθονοσιβῆ ἔχει τὴν δύναμιν. τὰ γὰρ γήϊνα (τῦτο γάρ ἐςι τὸ χθονοσιβῆ) γνώσει καὶ διδαχῆ ὑποπίπλει. Τὸ δ' ἄρρητα πρὸς τὸ ἐράνια. Οὐδὲς γὰρ οἶδε τὰ ἐν ἐρανῷ, πλὴν τῶν ἐν αὐτῷ καλοικεόνλων θεῶν, καὶ ὅσοι τῶν ἀνθρώπων ἐκ τέτων ἐπιπνεόμενοι μανλεύονται· ἔςι δὲ τὸ σχῆμα χιαζόν.

309. Χθονοσιβῆ] τὰ ἐν τῇ γῇ, τὰ ἐπίγεια.

311. Οἵᾳ νόσῳ] Σύνεσι τῇ νόσῳ καὶ σύνεσι τῇ μανίᾳ.

313. Φοῖβος γὰρ] ἤγνν, ὁ Ἀπόλλων· εἰ καὶ μὴ ἤκνσας τῶν ἀγγέλων πέμψασιν ἡμῖν ἀντέπεμψεν μόνην ἂν ἐλθεῖν ἐλευθερίαν τῦδε τῆ νοσήματος, εἰ τὲς κτανόνλας τὸν Λάϊον μαθόνλες εὖ κτείναιμεν, ἢ ἐκ τῆς γῆς πεμψαίμεθα φυγάδας.

Ῥῦσαι σεαυτὸν καὶ πόλιν· ῥῦσαι δ' ἐμέ·
Ῥῦσαι δὲ πᾶν μίασμα τῷ τεθνηκότος.
Ἐν σοὶ γάρ ἐσμεν· "ἄνδρα δ' ὠφελεῖν ἀφ' ὧν
"Ἔχοι τε καὶ δύναιτο, κάλλιστος πόνων."—

ΓΕΙ. Φεῦ, φεῦ· φρονεῖν ὡς δεινὸν, ἔνθα μὴ τέλη
Λύει φρονοῦντι· ταῦτα γὰρ καλῶς ἐγὼ
Εἰδὼς, διώλεσ'· ἐ γὰρ ἂν δεῦρ' ἱκόμην.

ΟΙΔ. Τί δ' ἔχεις; ὡς ἄθυμος εἰσελήλυθας.

ΤΕΙ. Ἄφες μ' ἐς οἴκους· ῥᾷστα γὰρ τὸ σόν τε σὺ,
Κἀγὼ διοίσω τοὐμὸν, ἢν ἐμοὶ πίθῃ.

ΟΙΔ. Οὔτ' ἔννομ' εἶπες, οὔτε προσφιλὴς πόλει
Τῇδ', ἥ σ' ἔθρεψε, τήνδ' ἀποσερῶν φάτιν.

ΤΕΙ. Ὁρῶ γὰρ ἔδέ σοι τὸ σὸν φώνημ' ἰὸν

320. Ῥῦσαι δ' ἐμέ] ὅρα τὸ κηδεμόνος, ὅτι τελευλαῖον ἑαυτὸν ἔταξεν, ὅπως ἀφέλοιτο τὸ φορλικὸν τῆς ἐξουσίας.

321. Μίασμα] ἤγεν, καθαρὸν ἡμᾶς τῷ μιάσματος. Τὸν μιασμὸν τὸν διὰ τὸν τεθνηκότα ἀκολουθήσαλλα.

322. Ἄνδρα δ' ὠφελεῖν] παιδευτικὸς ὁ λόγος· ἔδει ἅπαλλας ἀφ' ὧν δύναιντο ὠφελεῖν τὰς πόλας.

324. Φεῦ, φεῦ] ἄφιξις Τειρεσίου πρὸς Οἰδίποδα.

Ib. Φρονεῖν ὡς δεινὸν] ὡς δεινὸν (φησὶ) τὸ φρονεῖν, ὅταν τὸ φρονέμενον τῷ φρονοῦντι μὴ λυσιτελῇ. Σχεδιάζει δὲ, μὴ βουλόμενος εἰς φῶς ἄγειν τὰ τῷ Οἰδίποδος. Διαλελυμένος δὲ εἶπε, τέλη λύῃ, ἀντὶ τοῦ, λυσιτελῇ.

324, 325. Μὴ τέλη Λύει] ἤγεν, λυσιτελεῖ.

325. Ταῦτα γὰρ καλῶς ἐγὼ] τὰ συμβησόμενά μοι, ὅτι ἀναγκασθήσομαι λέγειν ἃ μὴ βούλομαι, τὸ ἐξελέγχειν τὸν Οἰδίποδα, ταῦτα εἰδὼς, διώλεσα αὐτά. Οὐ γὰρ ἂν δεῦρο ἠρχόμην.

327. Ὡς ἄθυμος] λίαν δύσθυμος, ἤγεν, λελυπημένος, ὦ ἐναντίον, ὁ εὔθυμος.

328. Ῥᾷστα] φορλίον, ἤγεν, τὴν παρεῦσάν σοι τύχην, ἀπὸ μεταφορᾶς τῶν βασταζόντων φορτίον. Ῥᾷστα, ἤγεν, εὐκολώταλα σά τε τὸ σὸν διοίσεις ἀπὸ κοινοῦ καὶ ἐγὼ τὸ ἐμόν· ἢν ἐμοὶ πιθῇς, ἤγεν, καλαπεισθῇς· ἀπὸ μεταφορᾶς τῶν βασταζόντων τι ταῦτα λέγεται· ἤγεν, καὶ σὺ εὐκολώταλα βασάζεις τὸ σὸν φορλίον, ἤγεν, τὴν σὴν τύχην, καὶ ἐγὼ τὴν ἐμήν.

329. Ἢν ἐμοὶ πίθῃ] ἐὰν με ἀπελθεῖν ἐάσῃς.

330. Προσφιλὴς πόλει] Τῇ πολρίδι δηλονότι ἤ τις σοι παρέσχε τὰς αἰτίας τῆς ἀναιροφῆς.

331. Τήνδ' ἀποσερῶν φάτιν] Ἀποσερῶν τὴν πόλιν τὴν φήμην· ἢ μὴ λέγων τον χρησμόν. Ἤγεν, ἐκ ἔγι σοι συμφέρον. Ἵνα δ' ἂν μὴ ταῦτα πάθω καὶ ἐγὼ, ἤγεν, εἶπω τι ἔξω τοῦ δέοντος, σιωπῶ. Τὸ ἀποσερῶ ἐνίοτε μὲν ἀπὸ αἰτιαλικῆς εἰς γενικὴν ἔχειν τὴν σύλαξιν· οἷον, ἀποσερῶ σε τοῦδε· ἐνίοτε δὲ, καὶ ἀπὸ αἰτιαλικῆς εἰς αἰτιαλικὴν, ὡς ἐνλαῦθα.

332. Ὁρῶ γὰρ ἔδέ σοι τὸ σὸν φώνημ' ἰὸν] ἐ γὰρ σύμφορός σοι, ἐδὲ καλὰ καιρὸν, ἡ ζήτησις γίνεται. Ἵνα δ' ἂν μὴ ἐκ τούτου μέμψις ἀκολουθήσῃ, σιωπῶ. Τὰ μὲν καλὰ λόγου, ἐλλιπές ἐστι· τὸ δὲ καλὰ διάνοιαν, πλῆρες. Ὁ δὲ βούλεται λέγειν, ὁρῶ τὸ σὸν φώνημα μὴ πρὸς καιρὸν ἐξιόν· κἀγὼ δ' ἐν φωνὴν μὴ πρὸς καιρὸν ἀφίεναι φυλάσσομαι.

334. Μὴ

Πρὸς καιρὸν, ὡς ἔν μηδ' ἐγὼ ταὐτὸν πάθω.

ΧΟΡ. Μὴ πρὸς θεῶν, φρονῶν γ' ἀποσταφῇς· ἐπεὶ
Πάντες σὲ προσκυνέμεν οἶδ' ἱκτήριοι.

ΤΕΙ. Πάντες γὰρ ἐ φρονεῖτ'· ἐγὼ δ' ἐ μήποτε
Τἄμ', ὡς ἂν εἴπω, μὴ τά σ' ἐκφήνω κακά.

ΟΙΔ. Τί φῄς; ξυνειδὼς ἐ φράσεις, ἀλλ' ἐννοεῖς
Ἡμᾶς προδῦναι καὶ καλαφθεῖραι πόλιν;

ΤΕΙ. Ἐγώ τ' ἐμαυτὸν ἔτέ σ' ἀλγυνῶ. Τί ταῦτ' ἄλλως ἐλέγχεις; ἐ γὰρ ἂν πύθοιό με.

ΟΙΔ. Οὔκ, ὦ κακῶν κάκιστε, (καὶ γὰρ ἂν πέτρᾳ
Φύσιν σύγ' ὀργάνειας) ἐξερεῖς ποτέ;
Ἀλλ' ὧδ' ἄτεγκτος κἀτελεύτητος φανῇ;

ΤΕΙ. Ὀργὴν ἐμέμψω τὴν ἐμήν· τὴν σὴν * δ' ὁμοῦ

* Turn. σοί.

Ib. Ὁρῶ γὰρ δδέ σοί] ἔτως ἔδει εἰπεῖν, νῦν σιωπῶ, ἵνα μὴ δόξω καὶ αὐτὸς ἀκαιρος. Ὁρῶ γὰρ καὶ τὸ σὸν φόνημα δδέ σοι ἐρχόμενον πρὸς καιρόν. Νῦν δὲ προϋπέθηκε τὴν κατασκευὴν, ἀφ' ἧς νοεῖται ἐξωθεν τὸ, καὶ σιωπῶ, ὅπερ ἔχει τὴν δύναμιν πρὸς τὸ, ὡς ἔν μηδ' ἐγὼ ταὐτὸν πάθω. Τὸ δὲ σοι, εἰς τὸ πρὸς καιρὸν συναπίεον.

334. Μὴ πρὸς θεῶν] ὑποδαλόντος τῇ Τειρεσίᾳ ἀρχὴν ὅτι ἐπίσταται, ὁ χορὸς καλαλιπαρεῖ· εἶπεῖν· εἶτα ἀρνουμένου, ἐξάγεται εἰς λοιδορίαν πρὸς αὐτὸν ὁ Οἰδίπους· Ὅθεν παροξυνθεὶς λέγει· ἔχει ἓν τὰ τῆς ὑποθέσεως ἅρισα.

336. Ἐγὼ δ' ἐ μήποτε] ἐκ ἐμφανῶ τὰ ἐμὰ ἔπη, ἵνα μὴ τὰ ὅὰ εἶπω κακά. Ἤδη δὲ τρανώτερόν φησιν, ὅτι τὰ αὐτῇ κακὰ ἀποκρύπτεται.

337. Μὴ τά σ' ἐκφήνω κακά] ἦγεν, φανερώσω. Λαμδανε δὲ καὶ πρὸς τἀμὰ τὸ ἐκφήνω, καὶὰ συνεκδοχήν. Πλὴν ἐκεῖ μὲν χωρὶς τῆ κακῆ ἐρεῖς, ἔτως, ἐγὼ δ' ὡς ἂν εἴπω, ἐ μήποτ' ἐκφήνω τὰ ἐμὰ, ἦγεν, ἤποτε ὃ νῦν περὶ τῶν παρόντων εἶπω, μήπως ἐκφήνω τὰ σὰ κακὰ, ἦγεν, τὴν σὴν ἀνομίαν.

340. Ἐγώ τ' ἐμαυτὸν ἔτέ σ' ἀλγυνῶ] ἑαυτὸν ἀλγυνεῖν ἔφη, ἴσως ἐπισάμενος ὅτι κακῶν, ἐκπέσειαι ὑπ' αὐτῆ ἀπισέμενος. Τάχα δὲ καὶ βουλόμενος ἀποκρύπτειν συμπεριέλαδεν ἑαυτὸν, ὡς καὶ ἔμπροσθεν, Τἄμ' ὡς ἂν εἴπω, μὴ τά σ' ἐκφήνω κακά.

Ib. Ἐγώ τ' ἐμαυτὸν] μὴ λάδῃς ἕτερον ἐ ἔξωθεν, εἰς τὸ ἐγώ τ' ἐμαυτὸν, (ὥσπερ τινές φασιν) ἀλλ' ἔτω λέγε, ἐγὼ γὰρ ἐμαυτὸν καὶ σὲ ἐκ ἀλγυνῶ. Εἰ γὰρ ἐθελήσω τὸ τῇ λοιμῇ αἴτιον λέγειν, αὐτός τε δύξω θρασὺς βασιλέα ἐλέγχων, καὶ ἴσως ἂν ἢ κακόν τι λάδω· σύ τ' αὖ λυπηθήσῃ, τῶν παρόντων ἀποφανεὶς αἴτιος.

342. Οὔκ, ὦ κακῶν κάκιστε] ἐν ὑπερδαλῶ ὁ λόγος, ἐ λέξεις, ὦ κακῶν κάκιστε;

Ib. Οὔκ, ὦ κακῶν κάκιστε] σύναπτε τὸ ἐκ πρὸς τὸ ἐξερεῖς. Τὸ δ' ὀργάνειας φύσιν ἀντὶ τῆ, κινήσειας, ἐ μόνον ἐμὲ, ἀλλὰ καὶ πέτραν εἰς ὀργήν. Λέγει δὲ τῦτο, ἐπειδὴ εἶπεν αὐτὸν κάκιστον. Τὸ δὲ ἀτελεύτητος, ἀντὶ τῆ, μὴ τέλος τοῖς ζητεμένοις διδῷς.

Ib. 343. Καὶ γὰρ ἂν πέτρᾳ Φύσιν σύγ' ὀργάνειας] ὅ ἐστι, παράξειας, καὶ εἰς ὀργὴν ἐκδάλειας. Ἀπολογεῖται δὲ περὶ τῆς ὕδρεως, λέγων ὅτι καὶ πέτρᾳ φύσιν σύ γ' ὀργάνειας.

344. Ἀλλ' ὧδ' ἀτεγκτος κατελεύτητος φανῇ;] ἄτεγκτος ἀντὶ τῆ ἀσυμπαθὴς καὶ ἀδάκρυτος. Τέγγειν γὰρ τὸ δρέχειν. Ἀτελεύτητος, δυσκατάσιωπος, δυσπαράκλητος, ἀμείλιχος.

345. Ὀργὴν ἐμέμψω] ἢ ἣν ἔχω πρὸς τὰ παρόντα,

Ναίουσαν ἐ κατεῖδες, ἀλλ' ἐμὲ ψέγεις.
ΟΙΔ. Τίς γὰρ τοιαῦτ' ἂν ἐκ ἂν ὀργίζοιτ' ἔπη
Κλύων, ἃ νῦν σὺ τήνδ' ἀτιμάζεις πόλιν;
ΤΕΙ. Ἥξει γὰρ αὐτὰ, κἂν ἐγὼ σιγῇ ςέγω.
ΟΙΔ. Οὐκῦν ἄγ' ἥξει, καὶ σὲ χρὴ λέγειν ἐμοί.
ΤΕΙ. Οὐκ ἂν πέρα φράσαιμι· πρὸς τάδ', εἰ θέλεις,
Θυμῷ δὶ ὀργῆς, ἥτις ἀγριωλάτη.
ΟΙΔ. Καὶ μὴν παρήσω γ' ἀδὲν, ὡς ὀργῆς ἔχω,
Ἅπερ ξυνίημ'· ἴσθι γὰρ δοκῶν ἐμοὶ
Καὶ ξυμφυλεῦσαι τοῦργον, εἰργάσθαι θ' ὅσον
Μὴ χερσὶ καίνων· εἰ δ' ἐτύγχανες βλέπων,
Καὶ τοῦργον ἄν σε τῦτ' ἔφην εἶναι μόνε.
ΤΕΙ. Ἀληθές· ἐννέπω σὲ τῷ κηρύγματι,
Ὥπερ προσεῖπας, ἐμμένειν, κἀφ' ἡμέρας
Τῆς νῦν προσαυδᾶν μήτε τόσδε, μήτ' ἐμὲ,
Ὡς ὄλι γῆς τῆσδ' ἀνοσίῳ μιάσορι.—
ΟΙΔ. Οὕτως ἀναιδῶς ἐξεκίνησας τόδε

παρόλα, μὴ βυλόμενος λέγειν ὅθεν παύσονται, ἢ εἰς ὃν ἐγὼ ἄλλως κινῶ· ὃ καὶ κρεῖττον. Διὸ καὶ ἐπάγει, ἐκ εἶδας τὴν ναίουσάν σοι ὀργὴν, ἢ χρησάμενος εἶπας ἐμοὶ, κακῶν κάκιςε.

348. Ἃ νῦν σὺ] μὴ λάθῃς ἔξωθεν διὰ, ἀλλ' ὥσπερ φαμεν, ὑφείζω σὲ ὕςερα, ἕτω καὶ ἀτιμάζω σὲ τόδε.

Ib. Ἀτιμάζεις] ἀτιμάζων λέγεις, ἀτίμως λέγεις, ἐν ἀτιμίᾳ ποιεῖς.

349. Ἥξει γὰρ αὐτὰ] ἥκων, αὐτόμαλα.

351, 352. Πρὸς τάδ', εἰ θέλεις, Θυμῷ] τὸ Θυμῷ ἐκ ἔςι γνησιον, ἀλλὰ ῥῆμα προσαιτικόν.

353. Καὶ μὴν παρήσω γ' ἀδὲν] ὀργιζόμενος ἀδὲν σιωπήσομαι ὧν πέπεισμαι καὶ ὑπονοῶ.

Ib. Ὡς ὀργῆς ἔχω] ἥκων, ὡς δυναὶὸς ὀργίζεσθαι, ἀδὲν ἐκείνων παρήσω, ἅπερ ξυμβάλλω ἱκανὰ εἶναι πρὸς κόλασίν σόι.

355, 356. Εἰργάσθαι θ' ὅσον Μὴ χερσὶ] εἰργάσθαι τὰ ἄλλα τῷ φόνῳ χαρὶς τῆς ἀπὸ τῶν χειρῶν ἐνεργείας. Εἰ δὲ ἔκλεπες, ἐκάλεν ἂν σε καὶ φονέα αὐτόχειρα.

358. Ἀληθές· ἐννέπω σὲ] ἤγεν, ἀληθές ἐςιν ὃ λέγεις, ὅτ' ἔφης ἂν εἶναι τὸ ἔργον ἐμῷ· εἶτα συνδεδεμένον τὸν ἐξῆς λόγον ὀφείλων ἐκφέρειν, ὁ δὲ ἀσυνδέτως ἐπήγαγε, λέγων, ἐννέπων καὶ λέγων, ἐμμένειν κ) ὑπάρχειν σὲ τῷ κηρύγματι καὶ τῷ ὀνείδει τῷ τῦ φόνε, ὥπερ καὶ ὧ τινι προσεῖπας ἐμμένειν, δηλονότι ἐμέ· ἤγεν, λέγω ὅτι σὺ ὑπαρχεις ὁ φονεὺς, ἐκ ἐγὼ, ὡς σὺ εἶπες, καὶ ἀπὸ τῆς νῦν ἡμέρας λέγω μήτε τόσδε τὲς παρεςῶτας προσαυδᾶν, κ) προσφωνεῖν κ) ὁμιλεῖν σοι, ὡς ὄνι καὶ ὑπάρχονῖι μιάσορι ἀνοσίῳ τῆσδε τῆς γῆς, ἤγεν, ὡς μιάνανῖι ἀνοσίως τήνδε τὴν γῆν.

360. Προσαυδᾶν] προσομιλεῖν, προσαγορεύειν, προσδιαλέγεσθαι.

362. Οὕτως ἀναιδῶς ἐξεκίνησας] οἴεσαι αὐτὸν πλασάμενον ψεύδεσθαι. Εἰκότως δὲ ἀπιςεῖται ὡς δι' ὀργὴν εἰρηκώς. Εἰ δὲ ἐπιςεύθη κατ' ἀρχὴν

Τὸ ῥῆμα; καὶ πῶς τοῦτο φεύξεσθαι δοκεῖς;

ΤΕΙ. Πέφευγα· ταληθὲς γὰρ ἰσχύον τρέφω.

ΟΙΔ. Πρὸς τοῦ διδαχθείς; ἐ γὰρ ἔκ γε τῆς τέχνης. 365

ΤΕΙ. Πρὸς σοῦ· σὺ γάρ μ' ἄκοντα προὐτρέψω λέγειν.

ΟΙΔ. Ποῖον λόγον; λέγ' αὖθις, ὡς μᾶλλον μάθω.

ΤΕΙ. Οὐχὶ ξυνῆκας πρόσθεν, ἢ 'κπειρᾶ λέγειν;

ΟΙΔ. Οὐχ ὡσέ γ' εἰπεῖν γνωστόν· ἀλλ' αὖθις φράσον.

ΤΕΙ. Φονέα σε φημὶ τἀνδρὸς, ὃν ζητεῖς κυρεῖν. 370

ΟΙΔ. Ἀλλ' ἔτι χαίρων, δίς γε πημονὰς ἐρεῖς.

ΤΕΙ. Εἶπω τί δῆτα κἄλλ', ἵν' ὀργίζῃ πλέον;

ΟΙΔ. Ὅσον γε χρῄζεις· ὡς μάτην εἰρήσεται.

ΤΕΙ. Λελῃθέναι σέ φημι σὺν τοῖς φιλτάτοις
Αἴσχιστ' ὁμιλοῦντ', οὐδ' ὁρᾶν ἵν' εἶ κακῶ. 375

ΟΙΔ. Ἦ καὶ γεγηθὼς ταῦτ' ἀεὶ λέξειν δοκεῖς;

ΤΕΙ. Εἴπερ τί γ' ἐστὶ τῆς ἀληθείας σθένος.

ΟΙΔ. Ἀλλ' ἔστι, πλήν σοι· σοὶ δὲ τοῦτ' οὐκ ἔστ', ἐπεὶ
Τυφλὸς τὰ τ' ὦτα, τόν τε νοῦν, τά τ' ὄμματ' εἶ.

ἀρχὴν ὁ μάντις, τὰ ἐξῆς τῷ δεάμαλος ἀνήρηλο τῷ ἀναλωρισμῷ, ἐν οἷς καλαγέγονε μάλιςα ὁ πωιλής.

363. Καὶ πῶς] ἤγουν, πῶς φυγὼν οὐχ ἕνεκα τούτου δώσεις ἐμοὶ δίκην;

365. Οὐ γὰς ἔκ γε τῆς τέχνης] φανερῶς εἰς Κρέοντα ἡ ἀπόςασίς ἐςι.

369. Οὐχ ὥσε γ' εἰπεῖν] ἤγουν, ἐ προῤῥέπω σε ὥς' εἰπεῖν ὅπερ λέγεις, γνωςὸν ἢ νοούμενον, ἤγουν, ἵνα τοῦτο σαφέςερον εἴπῃς, ὥςε νοηθῆναι· ἐπεὶ πάλαι τοῦτο νενόηκα, ἀλλ' ὡς' αὖθις καὶ πάλιν φράσαι. Οὕτω δ' ὀφείλων εἰπεῖν καλὰ ἀκολουθίαν τῷ λόγῳ, ὁ δ' ἑτέρως τὴν σύλλαξιν ἔτρεψεν, ἀλλ' αὖθις φράσον, εἰπών.

370. Οὗ ζητεῖς] δέον εἰπεῖν ὃν ζητεῖς, πρὸς τὸ ἀνδρὸς ἐπήνεγκεν.

372. Τί δῆτα] ἢ τὸ δῆτα ἐρωτηματικόν ἐςι διὰ μέσου τεθέν, ἤτοι, τί δῆτα εἶπω ἢ ἄλλο, ἵνα ὀργίζῃ πλέον; ἢ τὸ μὲν δῆτα ἀργὸν, τὸ δέ τι ἀόριςον, ἵνα ᾖ ἐρωτηματικὸς ἢ ἀποφαντικὸς ὁ λόγος, ὥσπερ κἀκεῖ.

373. Ὅσον γε χρῄζεις] τὸ ὅσον πρὸς τὸ νοούμενον ἐξωθεν εἶπε, ἐ πρὸς τὸ χρῄζεις. Εἰ γὰρ ἦν ἔτως, τὸ σὸν μέγα ἐγραφεῖ ἄν.

374. Λελῃθέναι σέ φημι σὺν τοῖς φιλτάτοις] ἐυσχημόνως ἀπήγγειλε τὸ περὶ τῆς μητρός.

378. Ἀλλ' ἔςι, πλήν σοι] δέον εἰπεῖν σε, πρὸς τὸ πλὴν, πρὸς τὴν ὀπισθεν ἐξωθεν νοουμένην, εἰς τὸ ἔςι δεικλικὴν, ἐπήνεγκε τὸ σοί.

Ib. Σοὶ δὲ τοῦτ' οὐκ ἔς', ἐπεὶ] ἴσον ἐςὶν ὁ Οἰδίπους παραβαλλόμενος ὡς ὁ Αγαμέμνων πρὸς τὸν Χάλκανλα.

379. Τυφλὸς τά τ' ὦτα] ἤγουν, κωφὸς τὲν νοῦν· τυφλὸς, ἤγουν, παραλελόγισμενος, ἀνόητος· τυφλὸς τὰ ὄμματα, ἤγουν, μὴ ὁρῶν.

ΤΕΙ. Σὺ δ' ἄθλιός γε ταῦτ' ὀνειδίζων, ἅ σοι
Οὐδεὶς ὃς ȣ̓χὶ τῶνδ' ὀνειδιεῖ τάχα.
ΟΙΔ. Μιᾶς τρέφῃ πρὸς νυκτός· ὥςε μήτ' ἐμὲ,
Μὴτ' ἄλλον, ὅςις φῶς ὁρᾷ, βλέψαι πότ' ἄν.
ΤΕΙ. Οὐ γάρ με μοῖρα πρὸς γέ σȣ πεσεῖν, ἐπεὶ
Ἱκανὸς Ἀπόλλων, ᾧ τάδ' ἐκπράξαι μέλει.
ΟΙΔ. Κρέοντος ἤ σȣ ταῦτα τὰ ἐξευρήματα;
ΤΕΙ. Κρέων δέ σοι πῆμ' ȣ̓δέν· ἀλλ' αὐτὸς σὺ σοί.
ΟΙΔ. Ὦ πλȣ̃τε, καὶ τύραννοι, καὶ τέχνη τέχνης
Ὑπερφέρȣσα τῷ πολυζήλῳ βίῳ,
Ὅσος παρ' ὑμῖν ὁ φθόνος φυλάσσεται;
Εἰ τῆσδέ γ' ἀρχῆς ȣ̔́νεχ', ἣν ἐμοὶ πόλις
Δωρητὸν ȣ̓κ αἰτητὸν εἰσεχείρισε,
Ταύτης Κρέων ὁ πιςὸς, οὐξ ἀρχῆς φίλος,
Λάθρά μ' ὑπελθὼν ἐκβαλεῖν ἱμείρεται,

380, 381. Ἅ σοι Οὐδείς] ȣ̓δεὶς ἐςιν ὃς ȣ̓ ταῦτα ὀνειδίσει, ἅπερ μοι ὠνείδισας. Τὸ δὲ τάχα, ἀντὶ τȣ̃, ταχέως. Οἷον, καί σε μετ' ὀλίγον ἐρȣ́σι τυφλόν. Καὶ περὶ τῆς πηρώσεως δὲ λεληθότως αὐτῷ μαντεύεται.

381. Οὐδεὶς ὃς ȣ̓χὶ τῶνδ'] ἤγȣν τῶν παρεςώτων ἐςὶ δηλονότι, ὃς ȣ̓κ ὀνειδιεῖ σοι ταχέως

382. Μιᾶς τρέφῃ πρὸς νυκτός] διπλȣ̃ν τὸ διανόημα. Ἤτοι ȣ̓ν ȣ̔́τως, ὑπὸ μιᾶς νυκτὸς τῆς ἀορασίας τῆς διηνεκῶς κατεχȣ́σης σε τρέφῃ, ὡς μηδὲν διαθεῖναι κακὸν τȣ̀ς ὁρῶντας· ἢ ȣ̔́τως· διὰ τὸ πηρὸν εἶναι ἐλεȣ̃σί σε πάντες. Ἀπόχρη γὰρ ϗ τὸ τῆς πηρώσεως.

Ib. Μιᾶς τρέφῃ πρὸς νυκτός] τȣ̃το λέγει, ὅτι ἡ τύφλωσις σώζει σὲ, ϗ ȣ̓δεὶς βȣ́λεται βλάψαι σὲ, καλοικτίζων τȣ̃ πάθȣς· καλεῖ δὲ τὴν τύφλωσιν νύκτα, διὰ τὸ σκοτεινόν. Μιᾶς δὲ λέγει, διὰ τὴν συνέχειαν, ϗ τὸ ἀεὶ ὡσαύτως ἔχειν, ϗ μηδέποτε λήγειν. Ἢ ȣ̔́τως ἡ κατέχȣσα τύφλωσις ἀρκεῖ σοὶ πρὸς τιμωρίαν, ὡς μηδ' ἂν ἄλλης δεῖσθαι κολάσεως. Κρεῖττον δὲ τὸ πρῶτον.

385. Ἱκανὸς Ἀπόλλων, ᾧ τάδ' ἐκπράξαι μέλει] ἀντὶ τȣ̃, τὰ κατ' ἐμὲ ἐκδικῆσαι· λείπει, ἐάν με φονεύσῃς.

388. Ὦ πλȣ̃τε] πεποίηκε τὸν Οἰδίπȣν ὑπονοεῖν ἐξ ὑποβολῆς Κρέοντος ταῦτα εἰρῆσθαι, ἵνα ζητȣ̃ντος αὐτȣ̃ ἀφορμὴν εὔλογον ἔχῃ τὰ λοιπὰ τȣ̃ δράματος.

Ib. Καὶ τέχνη τέχνης] ἤγȣν, φρόνησις ϗ σοφία κρεῖττων ȣ̓σα τῆς τῶν ἄλλων φρονήσεως. Λέγει δὲ τὴν αὐτȣ̃ οὐδεὶς γάρ πω τῶν τόθ' Ἑλλήνων ȣ̔́τω τεθαύμαςαι ὥσπερ αὐτὸς τὰ Σφιγγὸς εὑρὼν ἀινίγματα.

393. Οὐ ἐξ ἀρχῆς φίλος] ἐν εἰρωνείᾳ.

394. Ὑπελθὼν] ὑπέρχομαι· τὸ ὑποκάτω τινὸς ἔρχομαι, ϗ ἀπὸ τȣ́τȣ τὸ κολακεύω· οἱ γὰρ κολακεύοντες ὑποταγὴν * σχηματίζονται. Ἐνταῦθα δὲ τὸ ὑπελθὼν, ἀπὸ μεταφορᾶς τῶν παλαιόντων

* Edit. Cantab. ὑπὸ τὴν γὴν.

Ὑφεὶς μάγον τοιόνδε μηχανορράφον,
Δόλιον, ἀγύρτην, ὅστις ἐν τοῖς κέρδεσι
Μόνον δέδορκε, τὴν τέχνην δ' ἔφυ τυφλός.
Ἐπεί, φέρ' εἰπέ, ὡς σὺ μάντις εἶ σαφής;
Πῶς οὐχ, ὅθ' ἡ ῥαψῳδὸς ἐνθάδ' ἦν κύων.
Ηὔδας τι τοῖσδ' ἀστοῖσιν ἐκλυτήριον;
Καί τοι τόγ' αἴνιγμ' οὐχὶ τῷ πιόντος ἦν
Ἀνδρὸς διειπεῖν, ἀλλὰ μαντείας ἔδει·
Ἣν ἔτ' ἀπ' οἰωνῶν σὺ προυφάνης ἔχων,
Οὔτ' ἐκ θεῶν τε γνωτόν· ἀλλ' ἐγὼ μολὼν
Ὁ μηδὲν εἰδὼς Οἰδίπους, ἔπαυσά νιν
Γνώμῃ κυρήσας, ἐδ' ἀπ' οἰωνῶν μαθών.
Ὃν δὴ σὺ πειρᾷς ἐκβαλεῖν, δοκῶν θρόνοις
Παρασταθήσειν τοῖς Κρεοντείοις πέλας·
Κλαίων δοκεῖς μοι καὶ σύ, χ' ὡ συνθεὶς τάδε,

παλαιόντων λέγεται, ὅταν τὸν ἀντιπάλου ὑπέρχωνται λαθόντες· ἵνα εὐχειρώτους αὐτοὺς ποιήσανται καταρρέψωσι.

395. Μάγον] διαβάλλει τὸν μάντιν, μάγον αὐτὸν λέγων.

Ib. Μηχανορράφον] τὰ φαῦλα μηχανώμενον. Μάγους δὲ ἐκάλουν τοὺς ψευδεῖς φαντασίας περιτιθέντας. Ἀπὸ τούτου δὲ καὶ τὰς φαρμακεῖς μάγους ἔλεγον.

396. Δόλιον, ἀγύρτην] ἦγεν, τὸν περὶ τὰς ἀγυιὰς βαίνοντα, ἤγουν, χυδαῖον· ἢ ἵνα εἴπω, καὶ τῆς φαυλοτάτης τυγχάνοντα μοίρας, ὃν πᾶς τις ἄγει καὶ φέρει ῥᾴδιον διὰ τὸ τῆς τύχης ταπεινόν.

Ib. Ἀγύρτην] πλανητὴν, ὀχλαγωγόν.

Ib. Ἀγύρτην] ἀγύρτης ὁ καὶ μῆνα λαμβάνων τὰ τέλη.

397. Δέδορκε] ἐνταῦθα ἀντὶ τοῦ, δύναμιν ἔχει τοῦ ὁρᾶν λαμβάνειν. καί ἐστιν ἀμετάβατον. Εἰ γὰρ ἐλέγετο μεταβατικῶς, διὰ τῆς εἰς προθέσεως μετέβαινεν ἄν, τῆς δηλούσης κίνησιν, (καὶ εἶχεν ἂν ὁ λόγος οὕτως, ὅστις εἰς τὰ κέρδη δέδορκε μόνον) ἢ διὰ τῆς ἐν, ἥτις ἀεὶ σάσεως ἔχει δηλωτικήν.

399. Ῥαψῳδὸς] ἡ Σφὶγξ ἡ ῥάψασα τὰς ᾠδάς. Τὸ δὲ ὄνομα τοῦ ῥαψῳδοῦ καθ' Ὅμηρον, ἢ μεθ' Ὅμηρον ἦν· κύνα δὲ αὐτὴν καλεῖ διὰ τὸ ἀρπακτικόν.

401. Οὐχὶ τῷ πιόντος ἦν] τῷ τυχόντος. Ἀντὶ τοῦ, ἐ τοῦ τυχόντος, ἦν σαφηνίσαι. Διὰ τούτων δὲ αὖξει τὸ ἴδιον· καλόρθωμα μεῖζον ᾖ μανίκης ἢ πάσης ἀνθρωπίνης συνέσεως.

403. Οἰωνῶν] ἦγεν, πρὶν ἐμὲ ἀφῖχθαι, ἐδείχθης ἐ γιγνώσκων τινὰ μαντείαν· ἔτ' ἀπὸ ὀρνέων, ἔτ' ἀπὸ θεῶν τινός· ἔτω τὸ ἔχων γνώδιν, τινὰ μαντείαν νόει.

404. Οὔτ' ἐκ θεῶν] ἀνῃπαράσασις.

405. Ὁ μηδὲν εἰδὼς] τοῦτο ἡ ταπεινοφρονῶν Οἰδίπους λέγει. Ἢ ὁ μηδὲν εἰδὼς, ἀντὶ τοῦ, ὁ μηδὲν πώποτε περὶ τῶν τῆς Σφιγγὸς αἰνιγμάτων ἀκούσας· ἢ ὁ μηδὲν εἰδὼς, περὶ τῶν μελλόντων, καθὰ σύ γε κομπάζεις τῇ μαντικῇ.

408. Παρασταθήσειν—πέλας] ἐκ παραλλήλου τὸ γὰρ παρεστατήσειν, τὸ πέλας σήσεσθαι δηλοῖ.

410. Ἀχνύ-

Ἀγηλατήσειν· εἰ δὲ μὴ 'δόκεις γέρων
Εἶναι, παθὼν ἔγνως ἂν οἷάπερ φρονεῖς.—
ΧΟΡ. Ἡμῖν μὲν εἰκάζουσι, καὶ τὰ τοῦδ' ἔπη
Ὀργῇ λελέχθαι, καὶ τὰ σ', Οἰδίπου, δοκεῖ.
Δεῖ δ' οὐ τοιούταν, ἀλλ' ὅπως τὰ τοῦ θεοῦ
Μαντεῖ' ἄριστα λύσομεν, τόδε σκοπεῖν.—
ΤΕΙ. Εἰ καὶ τυραννεῖς, ἐξισωτέον τὸ γοῦν
Ἴσ' ἀντιλέξαι· τοῦδε γὰρ κἀγὼ κρατῶ.
Οὐ γάρ τι σοὶ ζῶ δοῦλος ἀλλὰ Λοξίᾳ·
Ὥς' οὐ Κρέοντος προστάτου γεγράψομαι.
Λέγω δ', ἐπειδὴ καὶ τυφλόν μ' ὠνείδισας,
Σὺ καὶ δέδορκας, κοὐ βλέπεις ἵν' εἶ κακοῦ,
Οὐδ' ἔνθα ναίεις, οὐδ' ὅτων οἰκεῖς μέτα.
Ἆρ' οἶσθ' ἀφ' ὧν εἶ; καὶ λέληθας ἐχθρὸς ὢν
Τοῖς σοῖσιν αὐτοῦ νέρθε, κἀπὶ γῆς ἄνω;
Καί σ' ἀμφιπλὴξ μητρός τε καὶ τοῦ σοῦ πατρὸς
Ἐλᾷ πότ' ἐκ γῆς τῆσδε δεινόπους ἀρὰ,

410. Ἀγηλατήσειν] ἐὰν δασέως, τὸ ἅγος ἀπελάσειν τὸ περὶ τὸν Λάϊον· ἐὰν δὲ ψιλῶς, ἀντὶ τοῦ βασιλεύσειν.

Ib. 411. Εἰ δὲ μὴ 'δόκεις γέρων Εἶναι] ἀντὶ τοῦ, εἰ δὲ μὴ ἦσθα γέρων· γέρων γὰρ ὢν, ἐξ ἀνάγκης καὶ νομίζεται εἶναι.

416. Εἰ καὶ τυραννεῖς] Τειρεσίου ἔλεγχος κατὰ Οἰδίποδος, καὶ προαγόρευσις ὧν μέλλει παθεῖν.

Ib. Ἐξισωτέον] λείπει ἐμοί.

Ib. Ἐξισωτέον] ἄξιον ἐξισοῦσθαί σοι ὑπ' ἐμοῦ, τὸ γοῦν ἴσ' ἀντιλέξαι. Ἤγουν, τὸ ἀντιλέξαι σοὶ ἐμὲ τὰ ἴσα, τὸ ἐξισοῦσθαί σοι κατὰ τὸ λέγειν.

417. Τοῦδε γὰρ κἀγὼ κρατῶ] τοῦ ἐξίσου λέγειν.

418. Οὐ ζῶ δοῦλος] οὐ κατηγορηθήσομαι δοῦλος.

419. Προστάτου] προστάτης λέγεται, ὁ ἐν πολέμῳ ἔμπροσθεν ἱστάμενος, καὶ βοηθὸς τοῖς ὄπισθεν. Προστάτης καὶ ὁ τῷ ἀξιώματι προέχων τῶν ἄλλων· ἤγουν, ὁ ἄρχων καὶ ἡγεμῶν, καθ' ὃ λέγεται ἐνταῦθα.

Ib. Ὥς' οὐ Κρέοντος προστάτου γεγράψομαι] δεήσομαι. Ὅρα δὲ καὶ τὴν διαφορὰν τοῦ ὀνόματος. Τῷ μὲν γὰρ ἐπιφθονωτέρῳ ἐπὶ τοῦ Οἰδίποδος ἐχρήσατο, τῷ δοῦλος· τῷ δὲ εὐπρεπεστέρῳ ἐπὶ τοῦ Κρέοντος.

424. Τοῖς σοῖσιν αὐτοῦ] ἀντὶ τοῦ, τοῖς σοῦ αὐτοῦ· τουτέστι, τοῖς σεαυτοῦ.

425. Ἀμφιπλὴξ] ἡ ἐξ ἀμφοτέρων ἐλασία· ἡ ἑκατέρωθεν πλήττουσα, ἔκ τε πατρὸς καὶ μητρός.

426. Ἐλᾷ πότ' ἐκ γῆς] ἰστέον ὅτι τὸ ποτὲ εἶπε, διὰ τὴν ἐξ ἀρχῆς Οἰδίποδος ἀπέλασιν παρὰ Λαΐου καὶ Ἰοκάστης, ὅτε γεννηθέντα αὐτὸν εἰς Κιθαιρῶνα ἐξέθηκαν πρὸς ἀπώλειαν· τὸ δ' ἐλᾷ, ἐπειδὴ τῶν γονέων ἐκείνου καὶ νῦν ἡ ἀρὰ τοῦτον διώκει, ἣν ἠράσαντο αὐτὸν ἐφθάρθαι. Λέγει οὖν τὴν ἀρὰν ἀμφιπλῆγα, ὡς ἐξ ἀμφοτέρων

Βλέπονθα νῦν μὲν ὀρθ', ἔπειθα δὲ, σκότον·
Βοῆς δὲ τῆς σῆς ποῖος ἐκ ἔσαι λιμήν;
Ποῖος Κιθαιρὼν ἐχὶ σύμφωνος τάχα,
Ὅταν καλαίσθη τὸν ὑμέναιον, ὃν δόμοις
Ἄνορμον εἰσέπλευσας, εὐπλοίας τυχών;
Ἄλλων δὲ πλῆθος ἐκ ἐπαισθάνῃ κακῶν,
Ἃ σ' ἐξισώσει σοί τε καὶ τοῖς σοῖς τέκνοις.
Πρὸς ταῦτα, κ) Κρέοντα κ) τοὐμὸν ςόμα
Προπηλάκιζε· σὲ γὰρ ἐκ ἔςι βροτῶν
Κάκιον, ὅςις ἐκριβήσεταί ποτε.—

ΟΙΔ. Ἦ ταῦτα δῆτ' ἀνεκτὰ πρὸς τούτου κλύειν;
Οὐκ εἰς ὄλεθρον; ἐχὶ θᾶσσον; ἐ πάλιν
Ἄψορρος οἴκων τῶνδ' ἀποσταφεὶς ἄπει;

ΤΕΙ. Οὐδ' ἱκόμην ἔγωγ' ἂν, εἰ σὺ μὴ κάλεις.

ΟΙΔ. Οὐ γάρ τι σ' ἤδειν μῶρα φωνήσοντ'· ἐπεὶ

ξων τῦ τε πατρὸς κ) τῆς μητρὸς γεγονυῖαν. Δεινόπων δὲ, διὰ τὸ κακῶς ἐπέρχεσθαι πρὸς ὃς ἂν συμφθῇ. Τὸ δὲ, ποῖος ἐκ ἔσαι λιμήν, κ) ποῖος Κιθαιρὼν, τῦτο βέλεται, ὅτι εἰ τῆς παρανομίας τῆς σῆς αἴσθησιν λάβοις, ἐδεὶς τόπος ἔσαι ἀνήκοος τῦ καλά σε δράσαντος. Σύμφωνος γὰρ κ) ὁ Κιθαιρὼν κ) συνάδων τῷ ἡμετέρῳ λόγῳ· ἃ γὰρ ἐγὼ νῦν περὶ σε λέγω, ταῦτα ἅπας βεβαιώσει, ἐπειδὰν ἀποφανῇ ὡς κατ' ἀρχὰς ὑπὸ τῶν γονέων εἰς αὐτὸν ἐξετέθης.

Ib. Δεινόπους] ἡ διὰ τῶν παδῶν δέος ποιῦσα.

427. Βλέπονθα νῦν μὲν ὀρθ', ἔπειθα δὲ, σκότον] καινότερον εἶπεν, βλέπονθα σκότον, ὥσπερ εἴ τις εἶπε σιωπὴν λέγοντα.

428. Ποῖος ἐκ ἔσαι λιμήν;] τὸν λιμένα τίθησιν ἀεὶ ἀντὶ τῦ τόπου. Τροπικῶς δὲ ἀντὶ τῦ, πῶ ἐκ ἐλεύσῃ βοῶν;

428, 429. Ποῖος λιμὴν; Ποῖος Κιθαιρὼν] ἐκ ἔσαι σύμφωνος ταχέως τῆς σῆς βοήσεως; συμφωνῶ τῷδε σύμφωνος δέ εἰμι τῦδε. Διὰ τὸ εὑρεῖν σὲ τὸ αἴνιγμα.

430. Ὅταν καλαίσθη] ὅταν αἰσθανθῇς καὶ μάθῃς.

431. Ἄνορμον] ἤγουν, κακαλιμένισον, ὃν ἐδεὶς ὥρμισεν· οὐδεὶς γὰρ τῇ μητρὶ συνήλθεν ἢ σύ.

433. Ἃ σ' ἐξισώσει] τῦτο λέγει, ὅτι ἡ τῆς ἀνομίας τῆς σῆς αἴσθησίς σε ὁμοιώσει σοί τε καὶ τοῖς σοῖς τέκνοις· σοὶ μὲν, ὅτι υἱὸς ὢν Ἰοκάστης τὴν ἀληθείαν, ἀνὴρ αὐτῆς ἀνίσως κ) παρανόμως γέγονας· αὐτῆς ἂν ἡ ἀνισότης εἰς ἰσότητα τότε ἄξει· κ) ὥσπερ τῇ ἀληθείᾳ υἱὸς τυχάνεις, ἕτω κ) τότε τοῖς πᾶσιν ἐπιδειχθήσῃ. Τοῖς δὲ τέκνοις, ὅτι τύτων ὢν νῦν δοκεῖς πατὴρ, ἀδελφὸς ὢν φανήσῃ, ἐξ ἧς αὐτὰ ἐγέννησας, ἐξ αὐτῆς κ) αὐτὸς γεννηθείς.

436. Ἐκτριβήσεται] ἀντὶ τῦ, διατρίψει ἐν τοῖς κακοῖς, ἢ ἀπολεῖται. Ἡ μεταφορὰ ἀπὸ τῶν σμηχομένων ἀργύρων ἢ χαλκῶν, ἢ ἄλλων τοιύτων· ἅπερ ἐν τῷ πλύνεσθαι σφόδρα τριβόμενα ἐλατθένται.

437. Ἡ ταῦτα] ὀργὴ αὖθις Οἰδίποδος καὶ Τειρεσίου.

438, 439. Οὐ πάλιν Ἄψορρος] ἐκ παραλλήλου, ἀντὶ τῦ, ἐκ ὄπισθο μήτρι.

439. Ἄπει] ἄπειμι, ἄπεις, κ) ἐκβολῇ τῦ σ', ἄπει, ὥσπερ καὶ τὸ εἶ.

442. Σχολὴ

Σχολῇ σ' ἂν οἴκους τοὺς ἐμοὺς ἐσειλάμην.
ΤΕΙ. Ἡμεῖς τοιοίδ' ἔφυμεν, ὡς μέν σοι δοκεῖ,
Μῶροι· γονεῦσι δ' οἵ σ' ἔφυσαν, εὔφρονες *.
ΟΙΔ. Ποίοισι; μεῖνον· τίς δέ μ' ἐκφύει βροτῶν; 445
ΤΕΙ. Ἥδ' ἡμέρα φύσει σὲ καὶ διαφθερεῖ.
ΟΙΔ. Ὡς πάντ' ἄγαν γ' αἰνικτὰ κἀσαφῆ λέγεις.
ΤΕΙ. Οὐκοῦν σὺ ταῦτ' ἄριστος εὑρίσκειν ἔφυς.
ΟΙΔ. Τοιαῦτ' ὀνείδιζ' οἷς ἐμὲ εὑρήσεις μέγαν.
ΤΕΙ. Αὕτη γε μέντοι σ' ἡ τύχη διώλεσεν. 450
ΟΙΔ. Ἀλλ' εἰ σῴζειν τήνδ' ἐξέσωσ', ἔ μοι μέλει.
ΤΕΙ. Ἄπειμι τοίνυν· καὶ σύ, παῖ, κόμιζέ με.
ΟΙΔ. Κομιζέτω δῆθ'· ὡς παρὼν τά γ' † ἐμποδὼν
Ὀχλεῖς· συθείς τ' ἂν, ἐκ ἂν ἀλγύναις πλέον.
ΤΕΙ. Εἰπὼν, ἄπειμ', ὧν ἕνεκ' ἦλθον, ἐ τὸ σὸν 455
Οείσας πρόσωπον· ἐ γάρ ἐσθ' ὅπῃ μ' ὀλεῖς.

* Aldus, ἔμφρονες. † Ald. Turn. σύγ'.

442. Σχολῇ σ' ἂν] ἀντὶ τοῦ, βραδέως, οὐδαμῶς.

445. Τίς δὲ μ' ἐκφύει βροτῶν] ἀντὶ τοῦ, ἔφυσε, τέτεχε, ἐγέννησεν· τὴν γέννησίν σε δείξει, δείξει σε ὁθεν ἐγεννήθης.

446. Ἥδ' ἡμέρα φύσει σε] ἀντὶ τοῦ, οἵων εἶ γονέων δείκνυσι.

Ib. Ἥδ' ἡμέρα] ἤγαγεν, ἐν τῇδε τῇ ἡμέρᾳ καὶ ἀποφανεῖς Ἰοκάστης, καὶ ἀπολέσεις τὰς ὀφθαλμὰς, καὶ τἄλλα πείσῃ.

Ib. Διαφθερεῖ] διὰ τὴν πόρωσιν καὶ τὴν λοιπὴν τοῦ βίου ἀναλωτικήν.

447. Αἰνικτὰ] ἀσαφῆ καὶ κεκρυμμένα.

448. Οὐκοῦν ταῦτ' ἄριστος] ὥσπερ εἰρωνευόμενος φησὶν, αἰνιγμά ἐστι· σὺ δὲ πάνυ νοήσεις. ὅτι ταὶ τὸ τῆς Σφιγγὸς αἴνιγμα πρῶτος ἐξεῦρες· ὃ δέχεται εἰς ἔπαινον.

450. Αὕτη γε] ἤγεν, αὕτη ἡ εὐδοκίμησις, ἤγαγεν, τὸ τὰ αἰνίγματα σαφηνίζειν, διολέσει σε· εἰ γὰρ μὴ τὰ τῆς Σφιγγὸς εὗρες αἰνίγματα σαφηνίζειν, ἐκ ἂν εἰς τόδε τύχης ἀφίκου.

451. Ἀλλ' εἰ σῴζειν] τὸ ἐξέσωσα διπλῶς νοητέον, εἰ ἐξέσωσα τὴν πόλιν ἀπὸ τῆς Σφιγγὸς, ἔ μοι μέλει τῆς ἐμῆς σωτηρίας. Ἢ, εἰ ἐξέσωσα τὴν πόλιν ἀπὸ τοῦ νῦν ἐπικειμένου λοιμοῦ, ἔ μοι φροντὶς εἰ αὐτὶς ἀπολοίμην.

453. Ὡς παρὼν τά γ' ἐμποδὼν] τοῦθ' ὕστερον, ὅτι ὀχλεῖς ἡμῖν τὰ ὑπάρχοντα ἐμποδὼν καὶ ἐμπόδιον. Τοῦτ' ἔστι, παρὼν εἰς ὄχλον καὶ ταραχὴν εἰσάγεις ἡμᾶς, καὶ ἐμποδίζεις τὸ προκείμενον ζήτημα· εὕρηται δὲ καὶ, σύ γ' ἐμποδών.

455. Εἰπὼν, ἄπειμ',] Τετρεσίᾳ σαφέστερος ἔλεγχος.

Ib. Εἰπὼν, ἄπειμ'] ἐνταῦθα παῤῥησιαστικώτερον ὅλον τὸ πρᾶγμα παρανίπτεται, ἀμφοτέρων τοῦ ποιητοῦ σοχασαμένου, τοῦ τε τῶν δραμάτων συμφέροντος, ὅπως μὴ ἀνακαλύπτηται ἡ ὑπόθεσις· (διὸ αἰνιγματωδῶς πάντα φησὶ) τοῦ τε τῶν προσώπων πρέποντος. Ἔδει γὰρ εἰπεῖν τὸν μάντιν τὰ μετ' ὀλίγον φαινόμενα.

Ib. Εἰπὼν ἄπειμ'] εἰπὼν ἐκεῖνα ὧν ἕνεκα ἦλθον, ἀπελεύσομαι.

456. Ἔσθ' ὅπῃ] ἔσθ' ὅπῃ καὶ τὰς Ἀτλικάς.

Λέγω δέ σοι τὸν ἄνδρα τοῦτον, ὃν πάλαι
Ζητεῖς, ἀπειλῶν κἀνακηρύσσων φόνον
Τὸν Λαΐειον· οὗτός ἐστιν ἐνθάδε,
Ξένος λόγῳ μέτοικος· εἶτα δ' ἐγγενὴς
Φανήσεται Θηβαῖος· οὐδ' ἡσθήσεται
Τῇ ξυμφορᾷ· τυφλὸς γὰρ ἐκ δεδορκότος,
Καὶ πτωχὸς ἀντὶ πλουσίου, ξένην ἔπι
Σκήπτρῳ προδεικνὺς γαῖαν ἐμπορεύσεται*.
Φανήσεται δὲ παισὶ τοῖς αὑτοῦ ξυνὼν
Ἀδελφὸς αὐτὸς καὶ πατὴρ, κἀξ ἧς ἔφυ
Γυναικὸς, υἱὸς καὶ πόσις, καὶ τοῦ πατρὸς
Ὁμόσπορός τε καὶ φονεύς· καὶ ταῦτ' ἰὼν
Εἴσω, λογίζου· κἂν λάβῃς μ' ἐψευσμένον,
Φάσκειν ἔμ' ἤδη μαντικῇ μηδὲν φρονεῖν.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Τίς, ὅντιν' ἁ θεσπίεπεια
Δελφὶς εἶπε πέτρα
Ἄῤῥητ' ἀῤῥήτων

* Turn. ἐκπορεύσεται.

457. Τὸν ἄνδρα τοῦτον] ὡς περὶ ἑτέρου λέγων, αὐτὸν αἰνίττεται.

458. Ἀπειλῶν κἀνακηρύσσων] μετὰ ἀπειλῆς καὶ ἀνακηρύξεως τοῦ φόνου τοῦ Λαΐου.

460. Ξένος] ἀλλότριος ἀπὸ τῆς χώρας ταύτης. Ἀστὸς ἢ ξένος.

Ib. Ἐγγενὴς] ἀστὸς καὶ ἐγγενὴς ταὐτόν. Ἤγουν, ἀπὸ τῆς χώρας τῶν Θηβαίων ὤν.

462. Τῇ ξυμφορᾷ] τῇ συντυχίᾳ.

464. Σκήπτρῳ προδεικνὺς] τὸ σκῆπτρον δεικνὺς σύμβολον τῆς ἑαυτοῦ εὐγενείας, ὅτι ἐκ βασιλέως πτωχὸς ἐγένετο.

469. Μ' ἐψευσμένον] τὸ ἐψευσμένον Ἀττικὸν, ἐνιψευσάμενον.

471. Τίς, ὅντιν' ἁ θεσπιέπεια] ἀκόλουθά εἰσι τὰ τοῦ χοροῦ πρὸς τὰ προειρημένα. Νῦν δὲ οὐκ ἔστιν αὐτοῖς εὐπρόσωπον ἀναλογίζεσθαι περὶ ὧν εἶπεν ὁ μάντις. Διὸ ἀναλέχει ἐπὶ τὸ μάντευμα τοῦ θεοῦ. Ὁ δὲ νοῦς, τίς ἐστιν οὗτος ὅντινα ἐμφανίζει τὸ μαντεῖον; ἢ οὕτως· τίς ἐστιν οὗτος ὃν καλώπτευσεν ἡ Δελφὶς πέτρα; οἷον, ὁ μὴ λαθὼν τὸ μαντεῖον τοῦ Ἀπόλλωνος.

Ib. Τίς, ὅντιν'] ἐπειδήπερ ὁ Παρνασσὸς ἐν Δελφοῖς, ἐν δὲ τούτῳ τὸ τοῦ Ἀπόλλωνός ἐστι μαντεῖον, διὰ τούτο Δελφὶς πέτρα λέγει, ἀντὶ τοῦ ὁ Ἀπόλλων ἐν Παρνασσῷ οἰκῶν. Ἰστέον δ' ὅτι ὡς ὁ χορὸς πρὸς τοὺς Τειρεσίου λόγους ἀηδῶς διάκειται, τῷ δ' Οἰδίποδι βοηθεῖν διὰ τοῦτο καὶ ἀπορηματικῶς τὸν λόγον ἐκφέρει, τίς ἐστιν ὃν λέγει Ἀπόλλων τελέσαι τὸ ἔργον;

473. Ἄῤῥητ' ἀῤῥήτων] ὑπερβολικῶς, ὡς τὸ δειλαία δειλαίων.

Τελέσαντα φοινίαισι χερσίν;
Ὥρα νιν ἀελλοπόδων ἵππων
Σθεναρώτερον φυγᾷ πόδα νωμᾶν.
Ἔνοπλος γὰρ ἐπ' αὐτὸν ἐπενθρώσκει
Πυρὶ καὶ σκηπαῖσι Διὸς * γενέτας.
Δειναὶ δ' ἅμ' ἕπονται
Κῆρες ἀναπλάκητοι †.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

Ἔλαμψε γὰρ τᾷ νιφόεντος
Ἀρτίως φανεῖσα
Φάμα Παρνασσᾷ,
Τὸν ἄδηλον ἄνδρα πάντ' ἰχνεύειν.
Φοιτᾷ γὰρ ὑπ' ἀγρίαν ‡ ὕλαν,
Ἀνά τ' ἄντρα καὶ πέτρας, ὡς ταῦρος,
Μέλεος μελέᾳ ποδὶ κηρεύων,

* Aldus, σκηπαῖς ὁ Διός. † Aldus, ἀναμπλάκητοι. ‡ Aldus, ὑπ' ἀγρίαν.

475. Ὥρα νιν] Καιρός ἐστι νωμᾶν αὐτόν, ἄγειν, κινεῖν τὸν πόδα σθεναρώτερον, ἀντὶ τοῦ εὐσθενέστερος ἀνέμοις ἰσοταχῶν ἵππων.

478. Γενέτας] ὁ υἱὸς ἐνταῦθα καὶ ὁ παῖδες ἀλλαχοῦ· τῷ Ἀπόλλωνι δηλονότι.

480. Κῆρες ἀναπλάκητοι] αἱ εἰς μηδὲν ἁμαρτάνουσαι, ἀλλὰ πάντων κρατοῦσαι. Κῆρες δὲ, τοῦ τελευτήσαντος λαοί. Ἢ ἔτως, ἄφυκτοι, ἀπλάνητοι, ἀπροσπέλαστοι, ἀφανεῖς, ἃς οὐκ ἔστιν ἀποφυγεῖν.

Ib. Ἀναπλάκητοι] ἔτω χρὴ γράφειν, ἵν' εἴη τὸ μέλεον ἁρμόζον τῷ τῆς ἀνθισταφῆς κώλω. Εὕρηται γὰρ ἔν τινι τῶν παλαιῶν ἔτω βιβλίων. Δειναὶ δὲ κῆρας λέγει, τὰ δύο ἀνομήματα, ἃ Τειρεσίας ἔφη κατ' Οἰδίποδος· λέγω δὴ τὴν τῆς μητρὸς συνέλευσιν, καὶ τὸν τοῦ πατρὸς φόνον. Τὸ δὲ ἅμ' ἕπονται, ἀντὶ τοῦ, σὺν τῷ Ἀπόλλωνι ἔρχονται, οὐχ ὅτι ὁ Ἀπόλλων ἔτως ἐθέσπισεν· (ἐκεῖνος γὰρ ἐξελεῖν τὸ μίασμα μόνον τῆς χώρας εἶπεν) ἀλλὰ διὰ τοῦτο ἅμα αὐτῷ ταύτας ἔπεσθαι λέγει, διὰ τὸ Τειρεσίαν ταύτας ἐκφῆναι ἐπὶ τῇ τοῦ Ἀπόλλωνος μαντείᾳ.

481. Ἔλαμψε γὰρ] ὁ χρησμὸς γὰρ τοῦ Παρνασσοῦ τοῦ χιονώδους ὁ φανεὶς ἀρτίως ἐδήλωσε πάντα Θηβαῖον ζητεῖν τὸν κρυπτόμενον ἄνδρα, ἥγεν, τὸν φονέα.

484. Ἰχνεύειν] Τοῦτο ἐπήγαγε καὶ τὰ ἄλλα ὀνόματα τροπικῶς· ὡς ἐπὶ ἀγρας ταύρων τῶν ὑπὸ πάντων ζητουμένων, καὶ ὥσπερ ἐν ὕλῃ κεκρυμμένων· οἰκεῖα δὲ ταῦτα τὰ ὀνόματα ἄντρα καὶ πέτραι.

485. Φοιτᾷ γὰρ ὑπ' ἀγρίαν ὕλαν] ἐκεῖνος ὁ πεφονευκὼς, πανταχοῦ κρυπτόμενος ὡ βάλεται ἑαυτὸν ἐμφανίσαι.

487. Μελέᾳ ποδὶ κηρεύων] ἀντὶ τοῦ, μηδενὶ γινωσκόμενος, τῇ φυγῇ μονάζων. Ἢ καὶ αὐτὸ οἰκεῖον τῇ θηριώδει διαίτῃ.

488. Τὰ

Τὰ μεσόμφαλα γᾶς ἀπονοσφίζων
Μαντεῖα· τὰ δ' αἰεὶ *
Ζῶντα περιποτᾶται.

ΣΤΡΟΦΗ Β.

Δεινὰ μὲν ὖν, δεινὰ ταράσσει
Σοφὸς οἰωνοθέτας,
Οὔτε δοκοῦντ', οὔτ' ἀποφάσκον-
θ'· ὅ, τι λέξω δ' ἀπορῶ.
Πέτομαι δ' ἐλπίσιν, οὔτ' ἐν-
θάδ' ὁρῶν, οὔτ' ὀπίσω.
Τί γὰρ ἢ Λαβδακίδαις,
Ἢ τῷ Πολύβου νεῖκος ἔκει-
τ', οὔτε πάροιθέν ποτ' ἐγὼ †,

* Aldus, ἀεὶ. † Aldus, ἔγωγε.

488. Τὰ μεσόμφαλα γᾶς ἀπονοσφίζων] ἀντὶ τοῦ, φυγὼν. Τὸν τόπον δὲ εἶπεν ἀντὶ τῶν χρησμῶν. Οἷον, τοὺς χρησμοὺς διαφεύγει μέχρι νῦν ὁ μηνυθεὶς ὑπὸ τοῦ θεοῦ. Ὅτι δὲ ἡ Πυθὼ μεσόμφαλος, δηλοῖ καὶ ἡ περὶ τοὺς ἀετοὺς ἱστορία, καὶ ὅτι χρύσεοι ἀετοὶ διὰ τοῦτο ἀνάκεινται, καὶ ὅτι τοῦτο χάριν ἐκεῖσε ὁ Ζεὺς τὸ μαντεῖον ἱδρύσατο.

Ib. Μεσόμφαλα γᾶς] τὰ ὄντα ἐν τῷ μεσῷ τῆς γῆς· ὀμφαλὸς τὸ μέσον.

Ib. Ἀπονοσφίζων] ἤγουν, ἐκφεύγων τὰ μαντεῖα τὰ μεσόμφαλα τῆς γῆς· ἀντὶ τοὺς χρησμοὺς τοῦ μέσου ὀμφαλοῦ τῆς γῆς· ἐκ παραλλήλου, ἀντὶ τοῦ μέσου τῆς γῆς, τοῦτ' ἔστι του Παρνασσοῦ.

489, 490. Μαντεῖα· τὰ δ' αἰεὶ Ζῶντα] ἀλλ' οὐδὲν ἧττον τὰ μαντεύματα περιποτᾶται ζῶντα, καὶ ἰσχύοντα τῇ ἀληθείᾳ.

491. Δεινὰ μὲν ὖν] μεταβαίνουσιν ἐπὶ τὰ εἰρημένα ὑπὸ Τειρεσίου. Σοφὸν μὲν οὖν αὐτὸν ὁμολογοῦσιν.

Ib. Δεινὰ ταράσσει] τούτῳ ἐχρήσατο, ἐπεὶ ἔδοξε δυσχερῶς ἐνεχθῆναι πρὸς τὸν ἄρχοντα.

492. Σοφὸς οἰωνοθέτας] Τειρεσίας ὁ τὰς πτήσεις τῶν οἰωνῶν διατιθείς.

Ib. Οἰωνοθέτας] ὁ τοῖς οἰωνοῖς τιθέμενος καὶ ἀρεσκόμενος εἰς τὰς μαντείας Τειρεσίας. ἢ ὁ τὰς πτήσεις τῶν οἰωνῶν διατιθεὶς καὶ εὐκρινῶν· τοῦτ' ἔστιν ὁ διδάσκαλος τῆς πτήσεως τῶν οἰωνῶν.

493. Οὔτε δοκοῦντα] οὔτ' ἀρέσκοντά μοι, οὔτ' ἀποφάσκοντα, καὶ ἀπόφασιν καὶ ἀπιστίαν δεχόμενα. Ἤγουν, μὴ οἷά τε ἀπιστεῖσθαι, διὰ τὸ μάντιν εἶναι τὸν εἰπόντα.

495, 496. Οὔτ' ἐνθάδ' ὁρῶν, οὔτ' ὀπίσω] οὔτε κατὰ τὸ παρὸν ἐρείδων τὸν νοῦν, οὔτε κατὰ τὸ παρεληλυθός.

497. Τί γὰρ ἢ] ἀπορήσειεν ἄν τις διὰ τί οἱ δύο διαζευκτικοὶ σύνδεσμοι, τὸ ἢ Λαβδακίδαις, καὶ τὸ ἢ τῷ Πολύβου, κεῖνται, δέον οὕτως εἰπεῖν, τί γὰρ Λαβδακίδαις καὶ τῷ Πολύβου νεῖκος ἔκειτο. Καὶ φαμὲν ὅτι τοῦτο δύνανται οὗτοι οἱ σύνδεσμοι δηλοῦν, ὡς οὔτε τῷ Λαΐῳ διαφορά τις ἦν ἀπὸ τοῦ Οἰδίποδος, οὔτε τῷ Οἰδίποδι ἀπὸ τοῦ Λαΐου.

Ib. Λαβδακίδαις] τῷ Λαΐῳ.

498. Τῷ Πολύβου τῷ Οἰδίπου.

Οὔτε τανῦν πω ἔμαθόν
Τι, πρὸς ὅτȣ δὴ βασάνῳ,
Ἐπὶ τὰν ἐπίδαμον
Φάτιν εἶμ' Οἰδιπόδα,
Λαϐδακίδαις ἐπίκȣρος
Ἀδήλων θανάτων.

ΑΝΤΙΣΤΡΟΦΗ Β.

Ἀλλ' ὁ μεν ȣ̃ν Ζεὺς, ὅ, τ' Ἀπόλλων,
Ξυνετοὶ, ϗ τὰ βροτῶν
Εἰδότες· ἀνδρῶν δ' ὅτι μάντις
Πλέον ἢ 'γὼ φέρεται,
Κρίσις ȣ̓κ ἔςιν ἀληθής·
Σοφίᾳ δ' ἂν σοφίαν
Παραμείψειεν ἀνήρ.
Ἀλλ' ȣ̓ποτ' ἔγωγ' ἂν πρὶν ἴδοι-
μ' ὀρθὸν ἔπος, μεμφομένων

500. Οὔτε τανῦν πω] Οὐπώποτε, ἤγȣν, ȣ̓δαμῶς πότε, ȣ̓τε πρότερον ἔγωγε, ȣ̓τε τανῦν ἤκȣσα.

501. Πρὸς ὅτȣ δὴ βασάνῳ] ἀντὶ τȣ̃, ποίῳ λογισμῷ· τίνος πράγματος κρίσει χρησάμενος τοῖς λεγομένοις πιςεύσω κατὰ τȣ̃ Οἰδίποδος.

Ib. Βασάνῳ] Παρ' ȣ̃ σὺν βασάνῳ ἐλεύσομαι ἐπὶ τὴν ἐπιδημήσασαν μαντείαν τȣ̃ Τειρείσȣ τῷ Οἰδίποδι, ἤγȣν, κατὰ τȣ̃ Οἰδίποδος.

503. Φάτιν εἶμ' Οἰδίποδα] τὴν κατὰ τȣ̃ Οἰδίποδος γιγνομένην παρὰ Τειρεσίȣ.

504. Λαϐδακίδαις ἐπίκȣρος] ἤγȣν, τῷ Λαΐῳ ἕνεκα τῶν ἀδήλων θανάτων.

Ib. Λαϐδακίδαις ἐπίκȣρος] ἰςέον ὅτι διότι μὲν τὸ ἐπίκȣρος δοτικῇ συντάσσεται, τὸ μὲν Λαϐδακίδαις πρὸς τὸ ἐπίκȣρος εἶπεν· ἡ δὲ γενικὴ τὸ ἀδήλων θανάτων, πρὸς τὸ ὄνομ' ἐςὶ τὸ ἐπίκȣρος· ἐπίκȣρος γὰρ τῷ δεῖνι τῶν κακῶν φαμέν.

506. Ἀλλ' ὁ μὲν ȣ̃ν Ζεὺς] θέλȣσιν ἀναλρέψαι τὰ ὑπὸ τȣ̃ Τειρεσίȣ εἰρημένα. Καί φασιν ὅτι οἱ μὲν θεοὶ, συνετοὶ καὶ μόνοι τὰ τῶν ἀνθρώπων εἰδότες· ὅτι δὲ οἱ μάντεις μᾶλλον τῶν λοιπῶν ἀνθρώπων τὶ ἐπίςανται, ȣ̓ φημι, ϗ ȣ̓δὲ ἡ κρίσις αὕτη ἀληθής ἐςι. Γένοιτο μὲν γάρ τις κατὰ σύνεσιν ἕτερος ἑτέρȣ προήκων, ȣ̓ μὴν αὕτη γὲ ἡ ἐπιςήμη ἐκ μαντικῆς ἐςιν, ἀλλ' ἐκ φύσεως ϗ ἐντρεχείας ἑκάςῳ πάρεςιν.

508. Ἀνδρῶν δ' ὅτι μάντις] ȣ̓πω πιςεύω ὅτι οἱ μάντεις πλέον ἐμȣ̃ φρονȣ̃σιν.

511. Σοφίᾳ δ' ἂν σοφίαν] σοφίαν νῦν φησὶ τὸν ςοχασμόν. Ὃ γὰρ λέγει, τȣ̃τό ἐςιν, ὅτι ἐν τῷ ςοχάζεσθαι ἄλλος ἄλλον παρέλθοι ϗ νικήσειεν.

513. Ἀλλ' ȣ̓ποτ' ἔγωγ' ἂν] ἐγὼ δὲ ȣ̓κ ἄν ποτε ἐπαινέσοιμι τȣ̀ς μεμφομένȣς τὸν βασιλέα, ȣ̓δ' ὀρθὸν ἂν αὐτῶν τὸ ἔπος φαίην, πρὶν ἴδοιμι σαφῆ τὰ ἔργα ϗ τὴν ἀπόϐασιν.

515. Φανερὰ

Ἂν καταφαίην· φανερὰ
Γὰρ πτερόεσσ' ἦλθη,
Ποτὲ, καὶ σοφὸς ὤφθη,
Βασάνῳ θ' ἡδύπολις·
Τῷδ' ἀπ' ἐμᾶς φρενὸς ὔπο-
τ' ὀφλήσει κακίαν.

ΙΑΜΒΟΙ.

ΚΡΕ. Ἄνδρες πολῖται, δείν' ἔπη πεπυσμένος
Κατηγορεῖν μου τὸν τύραννον Οἰδίπουν,
Πάρειμ' ἀτλητῶν· εἰ γὰρ ἐν ταῖς ξυμφοραῖς
Ταῖς νῦν νομίζει πρὸς γ' * ἐμοῦ πεπονθέναι,
Λόγοισιν εἴτ' ἔργοισιν εἰς βλάβην φέρον,
Οὔτοι βίου μοι τοῦ μακραίωνος πόθος,
Φέροντι τήνδε βάξιν· οὐ γὰρ εἰς ἁπλοῦν

* Aldus, τ'.

515. Φανερὰ γὰρ] ἃ μὲν ἐγκαλοῦσιν αὐτῷ, ἄδηλα, καὶ οὐ πάντως ἀληθῆ· ἃ δὲ καλώρθωσε, φανερὰ, ὅτε ἐπελθούσης αὐτῷ τῆς Σφιγγὸς ὤφθη σοφός.

Ib. Φανερὰ γὰρ] περισσὸν ἦν ἐνταῦθα, τὸ ἐπ' αὐτῷ, διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ. Οὐ γὰρ ἦν ἴσον τὸ κῶλον πρὸς τὸ τῆς ἀντιστροφῆς.

518. Βασάνῳ θ' ἡδύπολις] κρίσει τε ἡδὺς ὤφθη τῇ πόλει. Ἢ οὕτως· ἀπὸ τῆς βασάνου δὲ τῆς Σφιγγὸς ἡδέως διετέθη ἡ πόλις πρὸς τὸν Οἰδίποδα.

521. Ἄνδρες πολῖται] ἔρχεται ὁ Κρέων ἐπὶ τῇ κατὰ ἑαυτοῦ ὑπονοίᾳ ἀγανακτῶν, καὶ ἀπολογήσασθαι βουλόμενος. Πολίτης δὲ ἐμός ἐστιν ὁ δεῖνα, οὐδέποτε δὲ μετὰ τῆς Συν' ἤγουν, ἀπὸ τῆς αὐτῆς ἐστὶν ἐμοὶ πόλεως. Συμπολιτεύεται δέ μοι τις, μετὰ τῆς Συν' ἤγουν, τὴν αὐτὴν ἐμοὶ πόλιν οἰκεῖ.

522. Κατηγορεῖν] Ἀκηκοὼς κατηγορόν μου τὸν βασιλέα Οἰδίποδα δεινὰ, ἤγουν, χαλεπὰ ἔπη.

523. Πάρειμι] ἀντὶ τοῦ, παραγέγονα.

Ib. Ἀτλητῶν] ἤγουν, δυσανασχετῶν, ἀφορητῶς ἔχων.

Ib. Ἀτλητῶν] μὴ καρτερῶν, μὴ φέρων, δυσανασχετῶν.

Ib. Εἰ γὰρ ἐν ταῖς ξυμφοραῖς] ἐν ταῖς δυστυχίαις ταῖς νῦν νομίζει τὶ πεπονθέναι παρ' ἐμοῦ εἰς βλάβην φέρον, εἴτε διὰ λόγων, εἴτε διὰ ἔργων, οὐδαμῶς ἐστὶν ἐμοὶ ἐπιθυμία τῆς ἐπὶ πολὺν χρόνον παρεκτεινομένης ζωῆς φέροντι τήνδε τὴν κατηγορίαν.

524. Πρὸς γ' ἐμοῦ] εὕρηται, πρός τ' ἐμοῦ πεπονθέναι. Ὅπερ οὐκ ἔστιν ἕτερον ἀλλ' ἢ πρὸς ἐμοῦ τι. Ὥσπερ γὰρ φαμὲν τῶν τὶς ἀνθρώπων, τὸ τὶς διὰ μέσου τιθέντες, οὕτω καὶ τοῦτο· ὅτι δ' ἐστὶ τὶ, καὶ οὐ σύνδεσμος τὲ, ὡς φασί τινες, μαρτυρεῖ τὸ φέρον.

527. Οὐ γὰρ εἰς ἁπλοῦν] τὸ ἁπλοῦν ἐνίοτε δηλοῖ τὸ ἀποίκιλον, οἷον, ἁπλοῦν ἦθος καὶ ἁπλοῦς λόγος. Ἐνίοτε δὲ τὸ ἀσύνθετον· ἐνταῦθα δὲ τὸ ἓν δηλοῖ κατὰ ποιητικὴν ἐξουσίαν. Ἀλλ' εἰς πολλὰ ὀφείλων εἰπεῖν, πρὸς τὸ, οὐ γὰρ εἰς ἁπλοῦν ἡ ζημία μοι τοῦ λόγου τούτου φέρει, ὁ δὲ εἰς μέγιστον

Ἡ ζημία μοι τῦ λόγυ τότυ φέρει,
Ἀλλ' ἐς μέγισον, εἰ κακὸς μὲν ἐν πόλει,
Κακὸς δὲ πρὸς σὲ κ᾽ φίλων κεκλήσομαι. 530
ΧΟΡ. Ἀλλ' ἦλθε μὲν δὴ τῦτο τοὔνειδος τάχ' ἂν
Ὀργῇ βιασθὲν μᾶλλον ἢ γνώμῃ φρενῶν.
ΚΡΕ. Πρός τῦδ' ἐφάνθη, ταῖς ἐμαῖς γνώμαις ὅτι
Πεισθεὶς ὁ μάντις τὰς λόγυς ψευδεῖς λέγει *;
ΧΟΡ. Ηὐδᾶτο μὲν τάδ', οἶδα δ' ἐ γνώμῃ τίνι. 535
ΚΡΕ. Ἐξ ὀμμάτων ὀρθῶν δὲ κἀξ ὀρθῆς φρενὸς
Καληγορεῖτο τἀπίκλημα τῦτό μυ;
ΧΟΡ. Οὐκ οἶδ'· ἃ γὰρ δρῶσ' οἱ κραίνοντες, ἐχ ὁρῶ.
Αὐτὸς δ' ὅδ' ἤδη δωμάτων ἔξω περᾷ.
ΟΙΔ. Οὗτος σὺ, πῶς δεῦρ' ἦλθες; ἢ τοσόνδ' ἔχεις 540
Τόλμης πρόσωπον, ὥσε τὰς ἐμὰς σέγας

* Aldus, λέξοι.

μέγισον ἀποδίδασι, συνάγων τὰ πολλὰ μεῖα ἐπιλάτεως εἰς τὴν τῦ μεγίστυ ὑπερθεσιν.

531. Ἀλλ' ἦλθε μὲν δὴ] ἐπειδὴ τὸ τῦ χορῦ πρόσωπον ἰσόρροπον δεῖ ἐν ταῖς διαίταις εἶναι, διὰ τῦτο καὶ νῦν παραμυθεῖται τὸν Κρέοντα, ὅτι ἴσως κατ' ὀργὴν τῦτο εἶπεν, ἐρεθισθεὶς ὑπὸ τῦ μάντεως.

533. Πρὸς τῦδ' ἐφάνθη] κατ' ἐρώτησιν ὁ λόγος.

534. Ψευδεῖς λέγει] ὡς περὶ τῶν παρόντων λέγει· ὡς γὰρ ὁ Οἰδίπυς ἔφη, οἱ τῦ Τειρεσίυ λόγοι, οὓς κατ' αὐτῦ ἔφη, πρὸς ψεῦδος συντέθειγλαι, κ᾽ ἐκ ἐν ἀληθείᾳ λελεγμένοι εἰσίν.

536. Ἐξ ὀμμάτων ὀρθῶν δὲ] τῦ χορῦ ἐκ ἔχοντος λέγειν τίνι γνώμῃ ταῦτα ἐλέγετο, ἀπὸ τῶν ἔξωθεν συμβάλλειν βελόμενος ὁ Κρέων, περὶ τῦ βλέμματος κ᾽ τῦ σχήματος, ἐν ᾧ ταῦτα ἔλεγεν ὁ Οἰδίπυς, πυνθάνεται.

Ib. Ἐξ ὀμμάτων] ἤγυν, ἀπὸ ἀνθρώπυ σώφρονος κ᾽ ὑγιεῖς φρένας ἔχοντος· ἢ ἀπ' ἀκριβῦς συνειδήσεως, καὶ κρθεςηκυίας γνώμης. Εἰκότως δ' εἶπε τὸ ἐξ ὀρθῶν ὀμμάτων. Οἱ γὰρ σώφρονες καθεςηκὸς ἔχυσι τὸ ὄμμα, οἱ δὲ μαινόμενοι παραλέλεμμένον.

Ib. Ὀμμάτων] ἀπὸ ἀναμφιςόλυ διαθέσεως ὀφθαλμῦ, κ᾽ ἀπὸ ἀναμφιςόλυ διαθέσεως γνώμης.

539. Ἔξω περᾷ] ἴσως ἄν τις ἐνλαῦθ' ἐλθὼν κακίσειε τὴν δευλέραν ἔννοιαν, ἣν περὶν ἔφαμεν, εἰς τὸ, κ᾽ ταῦτ' ἰὼν εἴσω, λογίζυ· ἐλέγομεν γὰρ τὸ εἴσω, ἑνλὸς τῶν οἴκων ἐλθών, ἢ εἰς ἑαυτὸν καὶ καθ' ἡσυχίαν γενόμενος. Ἀμφότερα ἓν ταῦτ' ἔχεται λόγυ, κ᾽ ὐδὲν κωλύει τὸ δεύτερον μὴ εἶναι ἄριςον, εἰ κ᾽ νῦν ὁ χορός φησιν, αὐτὸς δ' ὅδ' ἤδη δωμάτων ἔξω περᾷ. Ὁ γὰρ ἡσυχίας δεόμενος, ἑνλὸς οἴκε ἢ εἰς ἐρημίαν χωρεῖ· ὥςε οἱ περιεσόμενοι ἡμᾶς αἰτιᾶσθαι, σφᾶς αὐτὸς εἰς αἰτίαν ἐμβαλῦσιν, ἐκ εἰδότες ὡς δεῖ τὰ πράγματα λογίζεσθαι.

540. Οὗτος σὺ] ἐπίλημησις Οἰδίποδος καλὰ Κρέοντος κ᾽ καληγορία.

542. Τῦδε

Ἵκȣ, φονεὺς ὢν τȣ̃δε τἀνδρὸς ἐμφανῶς,
Λῃςής τ' ἐναργὴς τῆς ἐμῆς τυραννίδος;
Φέρ' εἰπὲ πρὸς θεῶν, δειλίαν ἢ μωρίαν
Ἰδὼν τίν' ἐν ἐμοὶ, ταῦτ' ἐβȣλεύσω ποιεῖν;
Ἢ τȣ̃ργον ὡς ȣ̓ γνωρίσοιμί σȣ τόδε,
Δόλῳ προσέρπον, κȣ̓κ ἀλεξοίμην μαθών;
Ἆρ' ȣ̓χὶ μῶρόν ἐςι τȣ̓γχείρημά σȣ,
Ἄνευ τε πλήθȣς κ̀ φίλων τυραννίδα
Θηρᾷν, ὃ πλήθει χρήμασίν θ' ἁλίσκεται;
ΚΡΕ. Οἶσθ' ὡς ποιήσων; ἀντὶ τῶν εἰρημένων
Ἴσ' ἀντάκȣσον, κᾆτα κρῖν' αὐτὸς μαθών.
ΟΙΔ. Λέγειν σὺ δεινὸς, μανθάνειν δ' ἐγὼ κακὸς
Σȣ̃ δυσμενῆ γὰρ κ̀ βαρύν σ' εὕρηκ' ἐμοί.
ΚΡΕ. Τȣ̃τ' αὐτὸ νῦν μȣ πρῶτ' ἄκȣσον, ὡς ἐρῶ.
ΟΙΔ. Τȣ̃τ' αὐτὸ μή μοι φράζ', ὅπως ȣ̓κ εἶ κακός.
ΚΡΕ. Εἴτοι νομίζεις κτῆμα τὴν αὐθαδίαν
Εἶναί τι τȣ̃ νȣ̃ χωρὶς, ȣ̓κ ὀρθῶς φρονεῖς.
ΟΙΔ. Εἴτοι νομίζεις ἄνδρα συγγενῆ κακῶς

542. Τȣ̃δε τἀνδρὸς] Δεικτικῶς, ἀντὶ τȣ̃, ἐμȣ̃.

544. Πρὸς θεῶν] συνίζησις.

545. Ἐβȣλεύσω] Ταῦτα ἐβȣλεύσω ποιεῖν ὑπολαβών. Ἢ ἐβȣλεύσω ταῦτα ποιεῖν ὑπολαβὼν ὅτι ȣ̓ γνωρίζοιμι, ἤγȣν, μάθοιμι τὸ ἔργον τόδε ξὺν δόλῳ κινȣ́μενον.

548. Ἆρ' ȣ̓χὶ] γνωμικόν.

550. Ὃ πλήθει] Τὸ ὃ πλήθει πρὸς τὸ πρᾶγμα ἀπέδωκε. Ὑπὸ πλήθȣς ἀνθρώπων κ̀ ὑπὸ χρημάτων.

551. Οἶσθ' ὡς] ἀπολογία Κρέοντος ἐφ' οἷς ἐγκαλεῖται.

Ib. Οἶσθ' ὡς ποιήσων;] ἀντὶ τȣ̃, ποιήσεις· ἔςι δὲ Ἀττικισμός.

Ib. Οἶσθ'] Γινώσκεις ὅπερ μέλλεις ποιήσειν ἕνεκα τῶν εἰρημένων ὑπό σȣ.

553. Λέγειν σὺ δεινὸς] σὺ μὲν δεινὸς εἶ ἐν τῷ λέγειν, ἐγὼ δὲ ȣ̓ μετὰ εὐνοίας σȣ̃ ἀκȣ́ω διὰ τὴν δυσμένειαν.

Ib. Ἐγὼ κακὸς] ἤγȣν, κακὸν ἥγημαι τὸ ἀπὸ σȣ̃ τι μανθάνειν. Μὴ λάβῃς δὲ εἰς τὸ σȣ̃ ἔξωθεν τὸ ἀπὸ. Εἰ κ̀ ἡμεῖς ἐν τῇ συντάξει χάριν σαφηνείας εἰρήκαμεν. Ὥσπερ γάρ φαμεν. κακȣ̃ ἀνδρὸς ἥγημαι τȣ̃το, κ̀ πάλιν, βαρβάρȣ τὴν ὕβριν γινώσκω, ȣ̓τω κ̀ μανθάνω σȣ̃ τόδε.

554. Εὕρηκ' ἐμοί] Περὶ τȣ́τȣ αὐτȣ̃ ȣ̓ λέγει ὅτι εὕρηκάς με δυσμενῆ σαυτῷ τὴν ἀπολογίαν τȣ́τȣ αὐτȣ̃.

Ib. Βαρύν] Βαρὺς ἐπὶ ψυχῆς, ὁ δύσκολος καὶ ἀγανάκτησιν ἔχων· καὶ βαρὺς ἐπὶ σώματος, ὁ βαβαρημένος καὶ δυσκίνητος. Ἐνταῦθα δὲ ȣ̓ τὸν ἔχοντα τὸ βάρος ἐν ἑαυτῷ λέγει κ̀ τὴν ἀγανάκτησιν· ἀλλὰ τὸν γινόμενον ἑτέρῳ τοιȣ̃τον. Ὥςε τὸ βαρὺς ἐνίοτε μὲν τὸν βαρυνόμενον δηλοῖ κ̀ ἐπὶ πάθη λέγεται· ἐνίοτε δὲ, τὸν βαρὺν ὄντα κ̀ ἐνεργείας ἐςὶ δηλωτικόν.

557. Τὴν

Δρῶν, ἐχ ὑφέξειν τὴν δίκην, ἐκ εὖ φρονεῖς.
ΚΡΕ. Ξύμφημί σοι ταῦτ' ἔνδικ' εἰρῆσθαι· τὸ δὲ
Πάθημ' ὁποῖον φῂς παθεῖν, δίδασκέ με.
ΟΙΔ. Ἔπειθες, ἢ ἐκ ἔπειθες; ὡς χρεὶ' ἢ μ' ἐπὶ
Τὸν σεμνόμαντιν ἄνδρα πέμψασθαί τινα.
ΚΡΕ. Καὶ νῦν ἔτ' αὐτός εἰμι τῷ βελεύματι.
ΟΙΔ. Πόσον τίν' ἤδη δῆθ' ὁ Λάϊος χρόνον;
ΚΡΕ. Δέδρακε ποῖον ἔργον; ἐ γὰρ ἐννοῶ.
ΟΙΔ. Ἄφαντος ἔρρει θανασίμῳ χειρώματι.
ΚΡΕ. Μακροὶ παλαιοί τ' ἂν μεθηρθεῖεν χρόνοι.
ΟΙΔ. Τότ' ἔν ὁ μάντις ἦτος ἦν ἐν τῇ τέχνῃ;
ΚΡΕ. Σοφός γ' ὁμοίως, κἀξ ἴσου τιμώμενος.
ΟΙΔ. Ἐμνήσαθ' ἕν ἐμοῦ τι τῷ τότ' ἐν χρόνῳ;
ΚΡΕ. Οὔκουν, ἐμοῦ γ' ἐξῶτος ἐδαμοῦ πέλας.

557. Τὴν αὐθάδειαν] λέγουσι δὲ εἶναι τὴν αὐθάδειαν, ἀπήνειαν ὁμιλίας ἐν λόγοις.

560. Οὐχ ὑφέξειν τὴν δίκην] ἐκ ἐκλίσειν τὴν τιμωρίαν· ὑπέχει τὰ νῶτα ἡ θάλασσα τῷ Διονύσῳ· ἦγεν, ὑποκείμενα ἔχει, καὶ ὑπέχει τις τινὶ δίκην, ἦγεν, ὑποκείμενον ἑαυτὸν ἔχει εἰς δίκην. Ὅπερ ἐνίοτε μὲν τελεσμένην ἔχει τὴν σύλληξιν· οἷον ὑπέχω σοι δίκην· ἐνίοτε δὲ ἀτελῆ, οἷον ὑπέχω δίκην. Ὅτι ἐξ ἀναίκης ἡ δοτικὴ συνυπακούεται.

563. Ἢ ἐκ ἔπειθες;] συνίζησις, ἡ κοινὴ συλλαβὴ τὸ ἤ.

Ib. Ὡς χρεὶ ἤ] χρεῖα ᾗ χρήσιμα, ἦγεν. χρήσιμον ἢ λέγειν· ἐκ τούτων γὰρ σύγκειται ᾗ τὸ χρή. Τὸ δὲ χρεία τριγενές ἐστιν. Ἔστι γὰρ ὁ χρεῖος, ἡ χρεῖα, ᾗ τὸ χρεῖον. Ἔστι δὲ μονογενὲς ἡ χρεία. Ὅτι δὲ ἐνθαῦθα τὸ χρεῖα ἀδέτερόν ἐστι, δηλοῖ τὸ συναλείφεσθαι τὸ ἃ ὅπερ ἐκ ἂν ἐγένετο εἰ μὴ βραχὺ ἦν.

564. Τὸν σεμνόμαντιν] ἐν εἰρωνείᾳ· εὐήθη γὰρ θέλει λέγειν τὸν Τειρεσίαν.

566. Πόσον χρόνον] Τοσοῦτον χρόνον ποιῶ τόδε ἀνὴρ τῦ, ἐπὶ τοσοῦτον, ᾗ πόσον χρόνον δεμνίοις πέπλωχ' ὅδε· ἦγεν, ἐπὶ πόσον χρόνον κεῖται ἐν τοῖς δεμνίοις, ᾗ ἐπὶ τῶν ἄλλων ὁμοίως. Ὅτι δὲ ἡ ἐπὶ πρόθεσις νοεῖται ἐπὶ τότε, δῆλον ἀπὸ τῦ πολλὰ τοιαῦτα ἐνίοτε λέγεσθαι μέλα τῆς ἐπὶ, οἷον, ἐπολίγον, ἐφικανὸν, ἐπιπολύ. Ἐπιπολὺ εἰσήκει ἄφωνος, ἦγεν, ἐπιπολὺ μέρος χρόνε, τυτέσι, πολὺν χρόνον.

567. Δέδρακε ποῖον] τῦτο διὰ μέσε εἶπε.

Ib. Οὐ γὰρ ἐννοῶ] ἐπεὶ καλὰ παράλειψιν εἶπε, λέγει, τί με ἐρωτᾷς ἀγνοῶ.

568. Θανασίμου] Θανατηφόρῳ φόνῳ, τυτέσι, διὰ φόνε θανατηφόρε.

569. Μακροὶ] εἰκότως εἶπε τὸ παλαιοὶ πρὸς τὸ μακροί. Οἱ γὰρ μακροὶ χρόνοι, ᾗ παλαιοί εἰσιν.

570. Μάντις] Ἦγεν, ἦτος ὁ τῦν μάντις ἤδει τότε τὴν μαντικὴν, καὶ ἐγίνετο τότε ἐν τῇ μαντικῇ.

571. Σοφός γ' ὁμοίως] ἦγεν, ὥσπερ νῦν· ᾗ ἐξίσε τιμώμενος, ἦγεν, ᾗ ἦν τιμώμενος καθόσον τιμᾶται νῦν, τυτέσι, ᾗ ἦν σοφὸς ἦτως ὥσπερ νῦν. Καὶ ἐνομίζετο ἦτως ὥσπερ νῦν.

573. Οὔκουν] οὔκουν ἐδαμοῦ διεμνημόνευσεν ἐμοῦ

ΟΙΔ. Ἀλλ' ἐκ ἔρευναν τῦ θανόντος ἔσχες;
ΚΡΕ. Παρέσχομεν· πῶς δ' ἐχί; κἐκ ἠκέσαμεν.
ΟΙΔ. Πῶς ἦν τόθ' ἕτος ὁ σοφὸς ἐκ ἤϋδα τάδε;
ΚΡΕ. Οὐκ οἶδ'· ἐφ' οἷς γὰρ μὴ φρονῶ, σιγᾶν φιλῶ.
ΟΙΔ. Τὸ σὸν δέ γ' οἶσθα· κ' λέγοις ἂν εὖ φρονῶν.
ΚΡΕ. Ποῖον τόδ'; εἰ γὰρ οἶδά γ', ἐκ ἀρνήσομαι.
ΟΙΔ. Ὅθ' ἕνεκ' εἰ μή σοι ξυνῆλθε, τὰς ἐμὰς
Οὐκ ἄν ποτ' εἶπε Λαΐῳ διαφθοράς.
ΚΡΕ. Εἰ μὲν λέγει τάδ', αὐτὸς οἶσθ'· ἐγὼ δέ σε
Μαθεῖν δικαιῶ ταῦθ', ἅπερ κἀμοῦ σὺ νῦν.
ΟΙΔ. Ἐκμάνθαν'· ἐ γὰρ δὴ φονεὺς ἁλώσομαι.
ΚΡΕ. Τί δῆτ' ἀδελφὴν τὴν ἐμὴν γήμας ἔχεις;
ΟΙΔ. Ἄρνησις ἐκ ἔνεσιν ὧν ἀνίσορεῖς.
ΚΡΕ. Ἄρχεις δ' ἐκείνῃ ταὐτὰ, γῆς ἴσον νέμων;
ΟΙΔ. Ἃ ἂν ᾖ θέλουσα, πάντ' ἐμοῦ κομίζεται.
ΚΡΕ. Οὐκοῦν ἴσημαι σφῷν ἐγὼ δυοῖν τρίτος.
ΟΙΔ. Ἐνταῦθα γὰρ δὴ κ' κακὸς φαίνῃ φίλος.

ἐμοῦ ἐς ὥτος· πλησίον, ἤγουν, τοῦτο ὃ λέγει περὶ ἐμοῦ νῦν.

574. Ἀλλ' ἐκ ἔρευναν] ζήτησιν, δοκιμασίαν.

577. Οὐκ οἶδ'] γνωμικόν.

578. Τὸ σὸν δέ] εἰ κ' ἐκεῖνο μὴ οἶδας, ἀλλὰ τὸ σὸν οἶσθα· κ' εἰ καλῶς φρονεῖς, λέγοις ἄν.

580. Ὅθ' ἕνεκ' εἰ μή σοι ξυνῆλθε] ὁ μάντις εἰ μὴ ἐλάλησέ σε κοινωνὸν τῇ βουλεύματος, ἐκ ἂν με ἔφη τῇ Λαΐῳ φονέα.

Ib. Τὰς ἐμὰς] τὸ τὰς πρὸς τὸ διαφθορὰς τινὲς συνάπτουσιν, ἤτοι, ἐκ ἂν ποτε εἶπε τὰς διαφθορὰς τῇ Λαΐῳ ἐμάς. Σύ δ' ἐκείνης ἐάσας, τὸ τὰς πρὸς τὸ ἐμὰς, ὥσπερ συνῆθειαι, σύναπτε, ἤτοι, ἐκ ἂν ποτ' εἶπε τὰς ἐμὰς ὡς αὐτὸς οἴεται διαφθορὰς τῇ Λαΐῳ· πρὸς γὰρ τὴν ἐκείνου ὑπόληψιν τὰς ἐμὰς ὡρισμένως εἶπε, κ' ὃ πρὸς τὴν οἰκείαν· εὑρήσεις δ' ὅμοιον κ' προοίμιον, ὅταν λέγῃ, τὸν ἐναγῆ φίλον πολῖ ἐν αἰτίᾳ σὺν ἀφανεῖ λόγῳ. Ἐκεῖ γὰρ τὸ ἐναγῆ πρὸς τὴν τῇ Οἰδίποδος ὑπόληψιν κεῖται. Τὸ δὲ πᾶν, εἰ μὴ μελὰ σῇ ἐβουλεύσατο, ἐκ ἂν πόλε με φονέα Λαΐου εἶπεν.

582. Εἰ μὲν λέγει] ἤγουν, εἰ μὲν φονέα σὲ τῇ Λαΐῳ ἐκεῖνός φησιν, αὐτὸς οἶσθα· ἐγὼ δὲ παρὰ τῇ βουλοίμην ἂν μαθεῖν, ὥσπερ κ' σὺ παρ' ἐμοῦ νῦν.

585. Γήμας ἔχεις] γαμεῖ τις, ἀμέλαξάτως, ἀντὶ τῇ, γάμον ἔχει, τοῦτ' ἔστι συνημμένος ἐστὶ γυναικί. Ὡς ἐν τῷ, Οὐ γαμέεις; ζῆς ἔτ' ἐλαφρότερος. Καὶ γαμεῖ τις τήνδε, μελαβατικῶς, ἀντὶ τῇ, εἰς γάμον λαμβάνει, ἢ λαβὼν ἔχει· καθ' ὃ λέγεται ἐνταῦθα.

586. Ἄρνησις ἐκ ἔνεσιν] Δυνατὴν ἐκ ἔστιν ἐμοὶ ἡ ἄρνησις· ἤγουν, ἐκ ἔστι μοὶ δυνατὸν ἀρνήσασθαι.

587. Ἄρχεις δ' ἐκείνῃ] ἄρχεις καὶ ταὐτὰ ἐκείνῃ γῆς μέρος ἐπίσης αὐτῇ.

588. Πάντ' ἐμοῦ] μὴ λάβῃς εἰς τὸ ἐμοῦ ἔξωθεν τὸ ἀπὸ, ἀλλ' ὅπερ ἄνω ἔφαμεν λόγον, εἰς τὸ, Μανθάνειν δ' ἐγὼ κακὸς σε, ὁ αὐτὸς ἐστὶ κἀνταῦθα. Πάντα γὰρ λάμβανει ἐμοῦ, τοῦτ' ἔστιν ἡμέτερα ὅλα αὐτὴ δέχεται

ΚΡΕ. Οὔκ· εἰ διδοίης γ', ὡς ἐγὼ σαυτῷ, λόγον.
Σκέψαι δὲ τοῦτο πρῶτον, εἴ τιν' ἂν δοκεῖς
Ἄρχειν ἑλέσθαι ξὺν φόβοισι μᾶλλον, ἢ
Ἄτρεστον εὕδοντ', εἰ τάγ' αὔθ' ἕξει κράτη;
Ἐγὼ μὲν οὖν οὔτ' αὐτὸς ἱμείρων ἔφυν
Τύραννος εἶναι μᾶλλον, ἢ τύραννα δρᾷν,
Οὔτ' ἄλλος ὅστις σωφρονεῖν ἐπίσταται.
Νῦν μὲν γὰρ ἐκ σοῦ πάντ' ἄνευ φόβου φέρω·
Εἰ δ' αὐτὸς ἦρχον, * πολγὰ κἂν ἄκων ἔδρων.
Πῶς δῆτ' ἐμοὶ τυραννὶς ἡδίων ἔχειν
Ἀρχῆς ἀλύπου καὶ δυναστείας ἔφυ;
Οὔπω τοσοῦτον ἠπατημένος κυρῶ,
Ὥς' ἄλλα χρῄζειν ἢ τὰ σὺν κέρδει καλά.
Νῦν πᾶσι χαίρω, νῦν με πᾶς ἀσπάζεται·
Νῦν οἱ σέθεν χρῄζοντες ἐκκαλοῦσί με.

* Aldus, ἤρχων,

591. Οὔκ· εἰ διδοίης γ'] Οὐδαμῶς φαίνομαι κακὸς φίλος, εἰ διδοίης γε σαυτῷ λόγον· ἤγουν, σκέψιν καὶ διαγνωστικὴν κρίσιν, ὡς ἐγὼ ἐμαυτῷ δηλονότι δίδωμι· ἤγουν, σκέψαιο ὡς ἐγὼ σκέπτομαι.

592. Σκέψαι δὲ] λόγισαι δὲ καὶ τοῦτο πρῶτον, εἰ νομίζεις τινὰ, εἰ τὰ αὐτὰ ἕξει κράτη, προκρῖναι ἂν μᾶλλον ἄρχειν σὺν φόβῳ, ἢ ἄρχειν δηλονότι ὑπνώττοντα ἀφόβως.

Ib. Εἴ τιν' ἂν δοκεῖς] τὸ ἂν πρὸς τὸ ἑλέσθαι συναπτέον, καὶ οὐ πρὸς τὸ δοκεῖς· ὥς τινές φασι, γράφοντες κῆς διὰ τοῦ ῆ.

594. Ἄτρεστον εὕδοντ'] εἰκότως εἶπε τὸ εὕδοντα, καὶ οὐ διαλέγοντα. Ὁ γὰρ ἀμερίμνως ζῶν, πρὸς ὕπνον ἐγείρεται. Τὸ δὲ, Εἰ τά γ' αὔθ' ἕξει κράτη, πρὸς τὸ φόβοις συναπτέον. Τὸ δὲ ἢ ἄτρεστον εὕδοντα, διὰ μέσου.

598. Φέρω] ἀποφέρομαι, λαμβάνω.

599. Ἄκων ἔδρων] τοῦτο λέγει ἐπειδὴ ἡ ἀρχὴ καὶ παρὰ τὸ δίκαιον τοὺς αὐτὴν ἔχοντας ἀναγκάζει πολιτεύεσθαι.

600. Πῶς δῆτ' ἐμοὶ] ἡ σύνταξις, πῶς οὖν ἡ τυραννὶς καὶ ἡ βασιλεία ἔφυ καὶ ὑπάρχει ἔχειν ἐμοὶ ἡδίων καὶ ἡδυτέρα ἀρχῆς καὶ δυναστείας ἀλύπου, ἐφ' ἧς νῦν εἰμί.

602. Οὔπω τοσοῦτον] γνωμικόν.

603. Ὥς' ἄλλα χρῄζειν] ἡ γὰρ ἀρχὴ καλόν μέν ἐστιν, ἀλλὰ παρακεκινδυνευμένον καὶ ὕποπτον· ἡ δ' ἐμὴ, καλὸν περισπούδαστον· ἰστέον δὲ ὅτι τὸ χρῄζω οὐ μόνον γενικῇ ἀλλὰ καὶ αἰτιατικῇ συντάσσεται· καὶ ὅτε μὲν γενικῇ συντάσσεται, φυσικὴν ἔχει τὴν σύνταξιν· (χρῄζω γὰρ τὸ χρείαν τινὸς ἔχω) ὅτε δὲ αἰτιατικῇ, πρὸς τὸ σημαινόμενον· οὗ γάρ τις ἔχει χρείαν, θέλων αὐτὸ ἔχει χρείαν.

604. Νῦν πᾶσι χαίρω] ἀντὶ τοῦ, πᾶσιν ἀνθρώποις πληροφοροῦμαι καὶ θαῤῥῶ, καὶ εἰς οὐδένα ὑποψίαν ἔχω· ὃ τυραννίδος ἔξω καθέστηκεν. Ἐκείνη γὰρ καὶ συγγενέσιν αὐτοῖς καὶ φίλοις ἀπιστεῖ. Ἢ τὸ πᾶσι χαίρω, ἀντὶ τοῦ πᾶσι πράγμασιν ἥδομαι, καὶ οὐδεμία φροντὶς καὶ μέριμνα περὶ οὐδενός ἐστί μοι, ἀμβλεῖαν ποιοῦσα τὴν ἡδονήν.

606. Τὸ

Τὸ γὰρ τυχεῖν αὐτοῖς ἅπαντ' ἐνταῦθ' ἔνι.
Πῶς δῆτ' ἐγὼ κεῖν' ἂν λάβοιμ', ἀφεὶς τάδε;
Οὐκ ἂν γένοιο νῷν κακὸς καλῶς φρονῶν.
Ἀλλ' ἔτ' ἐραστὴς τῆσδε τῆς γνώμης ἔφυν,
Οὔτ' ἂν μετ' ἄλλου δρῶντος ἂν τλαίην πολέ.
Καὶ τῶνδ' ἔλεγχον, τῦτο μὲν Πυθὼδ' ἰὼν,
Πεύθου τὰ χρησθέντ' εἰ σαφῶς ἠγγειλά σοι
Ταῦτ'· ἀλλ' ἐάν με τῷ τερασκόπῳ λάβῃς
Κοινῇ τι βεβουλευσάμενον, μή μ' ἁπλῇ κλάνῃς
Ψήφῳ, διπλῇ δὲ, τῇ τ' ἐμῇ καὶ σῇ, λαβών.
Γνώμην δ' ἀδήλῳ μή με χωρὶς αἰτιῶ.

606. Τὸ γὰρ τυχεῖν] ἡ σύλλαξις· ἕνι γὰρ καὶ ὑπάρχει αὐτοῖς ἅπανθ' ἃ βουλοῖμαι ἐνταῦθα, ἤγεν, ἐν ἐμοὶ, τὸ τυχεῖν τέτων. Τῦτ' ἔστι, λογίζονται δι' ἐμοῦ, καὶ δέονταί σε ἀπάντων ὧν χρῄζουσι τεύξεσθαι. Δέον δ' εἰπεῖν ὕτως, τὸ γὰρ τυχεῖν ἁπάντων ἐνταῦθ' αὐτοῖς ἕνι· ὁ δὲ ἅπαντα εἶπε πρὸς τὸ ἧν. Τὸ δὲ τυχεῖν, ἔξωθεν συνλάσσει, τὸ τυχεῖν τέτων δηλονότι.

Ib. Τὸ γὰρ τυχεῖν] ἅπασα γὰρ ἡ ἐλπὶς τῦ τυχεῖν ὧν θέλουσι δηλονότι, ἐνταῦθά ἐστιν αὐτοῖς, ἤγεν, ἐν ἐμοί. ἐξ ἐμοῦ, ἤγεν, ἐνταῦθα ἐν ἐμοὶ πᾶσα ἡ ἐλπὶς τῦ τυχεῖν.

607. Κεῖν' ἂν] Ἤγεν, τὸν φόβον ὃν ἔχει ἡ βασιλεία.

Ib. Πῶς δῆτ' ἐγὼ κεῖν' ἂν] προκαλασκευάσας ὡς ἀμεινόν ἐστιν αὐτὸ τῦ τυραννεῖν τὸ ἀφόβως κοινωνεῖν τῇ τυραννίδι, τῦτο ἐπήνεγκεν. Ὁ γὰρ νῦν, ὁ ταῦτα τὰ συμφέροντα ἐνθυμέμενος, ἐκ ἂν γένοιτο κακὸς, ὥστε ἑτέρῳ τινὶ ἀσυμφόρῳ ἐπιχειρῆσαι.

608. Φρονῶν] ἀνὶ τῦ φρονῦντος. Ἢ ἅπαντες, ὁ καλῶς φρονῶν νῦν, ἐκ ἂν κακὸς γένοιτο.

Ib. Οὐκ ἂν γένοιτο] γνωμικόν.

611. Καὶ τῶνδ' ἔλεγχον, τῦτο μὲν Πυθώδ' ἰὼν] ζήτησον (φησὶν) εἰ τὸν χρησμὸν ὑγιὼς ἀφῖγμαί σοι φέρων· εἶτα εἰ καλεκοινώνησα τῷ μανῖδι τῷ Τειρεσίᾳ.

Ib. Πυθώδ' ἰὼν] ἡ σύλλαξις, καὶ τῦτο μὲν ἰὼν καὶ ἐλθὼν Πυθώδε καὶ εἰς τὴν Πυθίαν, Πεύθου καὶ μάνθανε τὰ χρησθέντα καὶ τὰ μαντευθέντα σοὶ, ἔλεγχον καὶ δοκιμασίαν τῶνδε, εἰ σαφῶς καὶ ἀληθῶς ἤγγειλά σοι ταῦθ' ἃ ἔφην σοί. Οὕτω καὶ τὸ ἔλεγχον λέγε. Καὶ μὴ λάβῃς ἔξωθεν τὸ εἰς, ἀλλ' ὥσπερ φαμὲν, μανθάνω τὸν διδάσκαλον περὶ ἐμὲ εὖνον, ἕτω καὶ τῦτο, μανθάνω τὰ χρησθέντα ἔλεγχον τῶνδε.

612. Σαφῶς] ἐρώτα εἰ σαφῶς ἠγγειλά σοι τὸν θοθέντα χρησμόν.

613. Τερασκόπῳ] τερασκόπος ὁ τῶν τεράτων ἑρμηνεύς.

Ib. Τῷ τερασκόπῳ] ἤγεν, ἐὰν εὕρῃς με κοινῇ τι βεβουλευσάμενον περὶ τύτου Τειρεσίᾳ τῷ τερασκόπῳ καὶ τῶν τὰ τέρατα καὶ σημεῖα τῆς μαντείας σκοπῦντι καὶ σαφηνίζοντι, κόλασόν με.

Ib. Κοινῇ τῷ τερασκόπῳ] ἤγεν, σὺν τῷ τερασκόπῳ.

614. Κοινῇ] ἤγεν, κοινωνήσαντα βουλῆς τῷ μάντει.

615. Διπλῇ δὲ, τῇ τ' ἐμῇ καὶ σῇ] ὅτι, καὶ αὐτὸς τὸν ἐμαυτῦ καταψηφίζομαι Θάνατον.

Ib. Τῇ τ' ἐμῇ καὶ σῇ] τῦτο λέγει, καὶ τῇ ἐμοὶ προσηκούσῃ, ἤγεν, ἣν ἄξιός εἰμι παθεῖν, κακὸς φανεὶς καὶ τῇ σοὶ προσηκούσῃ, ἤγεν, ἣν ἄξιον βασιλέα ποιεῖσθαι κατὰ τῶν ἐπιβεβουλευκότων αὐτῷ. Ἢ, ἣν καὶ ἐγὼ κατ' ἐμῦ, καὶ αὐτὸς ψηφίσαιο κατ' ἐμῦ.

616. Γνώμην δ' ἀδήλῳ] ἐπὶ λογισμῷ ἀμφιβολίαν ἔχοντι.

" Οὐ γὰρ δίκαιον ἔστε τὸς κακὸς μάτην
" Χρηστὸς νομίζειν, ἔστε τὸς χρηστὸς, κακούς.
" Φίλον γὰρ ἐσθλὸν ἐκβαλεῖν, ἴσον λέγω,
" Καὶ τὸν παρ' αὐτῷ * βίοτον, ὃν πλεῖστον φιλεῖ."
Ἀλλ' ἐν χρόνῳ γνώσῃ τάδ' ἀσφαλῶς· ἐπεὶ
" Χρόνος δίκαιον ἄνδρα δείκνυσιν μόνος·
" Κακὸν δὲ κἂν ἐν ἡμέρᾳ γνοίης μιᾷ."

ΧΟΡ. Καλῶς ἔλεξεν εὐλαβουμένῳ πεσεῖν,
Ἄναξ· " φρονεῖν γὰρ οἱ ταχεῖς, ἐκ ἀσφαλεῖς."

ΟΙΔ. Ὅταν ταχὺς τις δυπιβουλεύων λάθρα
Χωρῇ, ταχυὶ δεῖ κἀμὲ βουλεύειν πάλιν.
Εἰ δ' ἡσυχάζων προσμενῶ, τὰ τἄδε μὲν

* Ald. Turn. αὐτῷς

618, 619. Οὔτε τὸς κακὸς χρηστὸς] ἀνὶ τοῦ, ἀγαθός. Τῷ χρηστῷ γὰρ κυρίως, ἐναντίον ὁ φαῦλος. Ἐςὶ δὲ χρηστὸς ἕ ἡ ὁμιλία ὠφέλειαν ἐμποιεῖ. Φαῦλος δὲ, ἕ ὁ βίος ἄτακτος ἢ ἀκόλαςος, ὡς ἢ ἄλλες βλάπτεσθαι ἀπὸ τῆς αὐτῷ ὁμιλίας. Τῷ ἀγαθῷ δὲ ἐναντίον ὁ κακὸς, τῷ καλῷ δὲ ὁ αἰσχρὸς ἢ ὁ δυσειδής. Σοὶ τῷ Οἰδίποδι εὐλαβουμένῳ πεσεῖν ἢ ἐπιβουλευθῆσεσθαι παρ' αὐτῷ καλῶς ἔλεξεν ὁ Κρέων. "Οτι ἐν χρόνῳ τάδε γνώσῃ ἀσφαλῶς ὁποίως εἶμι περὶ σέ· ὁ γὰρ ταχὰ βουλευόμενος, μὴ βασανίζων τὴν γνώμην σφάλλεται· πρὸς ὃ ὁ Οἰδίπους φησὶ, ὅτι πρὸς τὰς ταχείας ἐπιβουλείας δεῖ ταχεῖαν εἶναι τὴν ἄμυναν.

619. Χρηστὸς νομίζειν] ἀγαθός· τῷ χρηστῷ ἐναντίον ὁ φαῦλος. Ἐςὶ δὲ χρηστὸς ἕ ἡ ὁμιλία ὠφέλειαν ἐμποιεῖ· φαῦλος δὲ, ἕ ὁ βίος ἄτακτος ἢ ἀκόλαςος, ὡς ἢ ἄλλες βλάπτεσθαι ἀπὸ τῆς αὐτῷ ὁμιλίας. Τῷ ἀγαθῷ δὲ ἐναντίον ὁ κακὸς, τῷ καλῷ δὲ ὁ αἰσχρὸς ἢ ὁ δυσειδής.

619. Φίλον γὰρ ἐσθλὸν ἐκβαλεῖν] ἴσον γάρ ἐςι κακὸν, ἀπωθήσασθαι φίλον, ἢ τὸν ἑαυτῷ βίον.

Ib. Φίλον γὰρ] γνωμικόν.

622. Χρόνος δίκαιον ἄνδρα] γνωμικόν.

624. Καλῶς ἔλεξεν] σοὶ εὐλαβουμένῳ πεσεῖν ἢ ἐπιβουλευθῆσεσθαι παρ' αὐτῷ, καλῶς ἔλεξεν ὁ Κρέων ὅτι ἐν χρόνῳ γνώσῃ τάδ' ἀσφαλῶς, ὁποῖός εἰμι περὶ σέ. Ὁ γὰρ ταχὺ βουλευόμενος, ἢ μὴ πολλάκις βασανίζων τὴν γνώμην, σφάλλεται. Πρὸς ὃ ὁ Οἰδίπους φησὶν, ὅτι πρὸς τὰς ταχείας ἐπιβουλὰς δεῖ ταχεῖαν ἢ τὴν ἄμυναν εἶναι.

Ib Εὐλαβουμένῳ πεσεῖν] ἤγουν, φοβουμένῳ σοὶ πεσεῖν τῆς ἀρχῆς καλῶς ἔλεξε Κρέων, ὡς ἐκ τοῦ εὐθέος δίκαιον καίπερ ψηφίζεσθαι ὃς ἂν κατὰ σοῦ ὑπονοήσῃς, ἀλλὰ πρῶτον ἐξελάζειν παυλὶ τρόπῳ περὶ αὐτῶν, ἢ καὶ δίκης αὐτὸς εὐρόντα, τότε κολάζειν. Οἱ γὰρ ταχεῖς φρονεῖν (ἤγουν, οἱ ταχέως ἢ μὴ μελὰ σκέψεως ποιοῦντές τι) ἐκ ἀσφαλεῖς, ἀλλ' ἀβέβαιοι, ἢ πρὸς κίνδυνον ἔσθ' ὅτε πίπτουσιν. Ἰσέον δ' ὅτι ἡ μερικὸν τὸ εὐλαβουμένου νοεῖ διὰ τὸν Οἰδίποδα, ἢ καθόλου διὰ πάντα φοβούμενον.

625. " Φρονεῖν γὰρ οἱ—] γναμικόν.

626. "Οταν ταχὺς] ἢ ἐπιῤῥήματον ἔχει σημασίαν ἐνταῦθα τὸ ταχὺς, ἐπεὶ μένοι ἔχει προφορὰν ὀνόματος, ἢ τὸ τὶς οἰκείως ἔχει μεθ' ἑαυτῦ.

628. Τὰ τἄδε μὲν] τὰ τῷ Κρέοντι τῷ ἐμοὶ ἐπιβουλευσαμένῳ.

629. Πεπραγμέν'—

Πεπραγμέν' ἔσαι, τἀμὰ δ' ἡμαρ]ημένα.

ΚΡΕ. Τί δῆτα χρῄζεις, ἢ με γῆς ἔξω βαλεῖν; 630

ΟΙΔ. Ἧκισα· θνήσκειν, ἀ φυγεῖν σε βέλομαι.

ΚΡΕ. Ὅταν προδείξῃς οἷόν ἐσι τὸ φθονεῖν.

ΟΙΔ. Ὡς ἐχ ὑπείξων, ἠδὲ πισεύσων, λέγεις;

ΚΡΕ. Οὐ γὰρ φρονεῖλά σ' εὖ βλέπω.

ΟΙΔ. Τὸ γᾶν ἐμόν. 635

ΚΡΕ. Ἀλλ' ἐξ ἴσα δεῖ κἀμόν.

ΟΙΔ. Ἀλλ' ἔφυς κακός.

ΚΡΕ. Εἰ δὲ ξυνίης * μηδέν;

ΟΙΔ. Ἀρκέον γ' ὅμως.

ΚΡΕ. Οὔτοι κακῶς γ' ἄρχοντος. 640

ΟΙΔ. Ὦ πόλις, πόλις.

ΚΡΕ. Κἀμοὶ πόλεως μέτεσι † τῆσδ', ἀ σοὶ μόνῳ.

* Aldus, ξυνίεις. † Turn. in margine, μέτεσιν ἐχὶ σοι.

629. Πεπραγμέν'——] Ἡ ἐμὴ δὲ ἐσφαλμένη· ἐπλαισμένη.

630. Ἔξω βαλεῖν] ἀντὶ τοῦ, ἐκβαλεῖν ἀπώσασθαι, ἐξόρισον ποιῆσαι.

Ib. Ἢ με γῆς ἔξω βαλεῖν] τὸ ἢ, εἰ μὲν καθ' ὑποσιγμὴν ἐρεῖς τὸ ἐξῆς, ἀντὶ τοῦ ὅλως ἄρα νοήσεις· εἰ δὲ καὶ ἀποφαντικὴν ἐρώτησιν τὸ ἐξῆς εἴποις, ἀντὶ τοῦ διαξευκλικῶς συνδέσμου νοήσεις, οἷον ἢ ἐν ἀμφοτέροις εἰς τὸ χρῄζεις. Ἰσέον δ' ὅτι ποτὲ μὲν καθ' ὑποσιγμὴν τὴν ἐρώτησιν ποιούμεθα, ὡς τὸ, Οὐ σῖγ' ἀνέξῃ, μηδὲ δειλίαν ἀρεῖς; ἢ τὸ, Μεμηνότ' ἄνδρα περιφανῶς ὀκνεῖς ἰδεῖν; πόλιν δὲ κατ' ἀπόφασιν, ὡς τὸ, Πρὶν ἄν τι δράσῃς, ἤ τι κερδανῇς πλέον;

632. Ὅταν προδείξῃς] ὅταν ἀποδείξῃς ὃ λέγεις δηλονότι τότε τεθνήξομαι. Εἶτα ἐτάγει σχεδιάζων οἷόν ἐσι τὸ φρονεῖν.

633. Ὡς ἐχ ὑπείξων] ἵνα λέγεις ὡς μὴ πεισθησόμενός μοι, ἀλλ' ἀνιλιξων τῇ κελεύσει.

635. Τὸ γᾶν ἐμόν] ὅσον ἦκεν εἰς ἐμὲ, καλῶς βουλεύομαι· ἢ ἵνα· τὸ γᾶν ἐμαυτῷ σύμφορον ποιῶ. Πρὸς ὃ φησιν ὁ Κρέων, ὅτι χ τὸ ἐμὸν συμφέρον δεῖ σε σκοπεῖν, ὅτι ὲ δεῖ με ἀκαίρως ὑποτοεῖσθαι.

638. Εἰ δὲ ξυνίης μηδέν] ἤγων, ἐγὼ μὲν ὲ κακός εἰμι· εἰ δὲ ξυνίης μηδὲν, ἤγων, ψευδῶς τοῦτο νοεῖς, τί λοιπόν; πρὸς ὃ ὁ Οἰδίπους ἀποκρίνεται, ἀρκέον γ' ὅμως χ εἰ ἵνα ἔχεις. Τοῦτ' ἐσι, χ εἰ ἵνα ἔχεις ἔχειν, ὅμως ἀρκέον χ κυριεύέον ἐμοί σε. Πρὸς ὃ πάλιν ὁ Κρέων, ὅτι κακῶς ἄρξεις, ἐμοῦ ἄρχοντος, ὥσπερ χ σύ. Ὅπερ πάλιν ἀπειθὲς δοκῶν εἰς Θυμὸν ἐξάγει Οἰδίποδα.

642. Κἀμοὶ πόλεως] τοῦτο διπλῶς νοητέον, ἢ χ ἐμοὶ μέτεσι τῆς πόλεως, ἤγων, τῷ βοᾶν, ὦ πόλις, πόλις, ὥσπερ σοὶ· ἢ, κἀμοὶ μέτεσι τῆς πόλεως, ἀνὶ τοῦ, ὲ τῶν ἰδιωτῶν εἰς εἰμι, ἀλλὰ τῶν τὰ μεγάλα δυναμένων· ὥς' ἐχ ἧσσον ἐμοὶ ἢ σοὶ ὑπακοῦσαι.

643. Καιρίαν

ΧΟΡ. Παύσασθ' ἄνακτες· καιρίαν δ' ἡμῖν * ὁρῶ
Τήνδ' ἐκ δόμων ςείχουσαν Ἰοκάςην, μεθ' ἧς
Τό νῦν παρεςὼς νεῖκος εὖ θέσθαι χρεών.
ΙΟΚ. Τί τὴν ἄβουλον, ὦ ταλαίπωροι, ςάσιν
Γλώσσης ἐπήρατ', οὐδ' ἐπαισχύνεσθε, γῆς
Οὕτω νοσούσης, ἴδια κινοῦντες κακά;
Οὐκ εἶ σύ τ' εἰς οἶκους, σύ τε, Κρέων, ςέγας †,
Καὶ μὴ τὸ μηδὲν ἄλγος εἰς μέγ' οἴςετε;
ΚΡΕ. Ὄμαιμε, δεινά μ' Οἰδίπους ὁ σὸς πόσις
Δρᾶσαι δικαιοῖ, δυοῖν ἀποκρίνας κακοῖν,
Ἢ γῆς ἀπῶσαι πατρίδος, ἢ κλεῖναι λαβών.
ΟΙΔ. Ξύμφημι· δρῶντα γάρ νιν, ὦ γύναι, κακῶς
Εἵληφα τἀμὸν σῶμα σὺν τέχνῃ κακῇ.
ΚΡΕ. Μὴ νῦν ὀναίμην, ἀλλ' ἀραῖος, εἴ σέ τι
Δέδρακ', ὀλοίμην, ὧν ἐπαιτιᾷ με δρᾶν.
ΙΟΚ. Ὦ πρὸς θεῶν πίςευσον, Οἰδίπους, τάδε,
Μάλιςα μὲν τόνδ' ὅρκον αἰδεσθεὶς θεῶν,
Ἔπειτα, κἀμὲ, τέςδε θ', οἳ πάρεισί σοι.

ΠΕΡΙΚΟΜΜΑΤΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Πιθοῦ θελήσας φρονήσας
Τ', ἄναξ, λίσσομαι.

* Ald. Turn. ὑμῖν. † Aldus, κατὰ ςέγας.

643. Καιρίαν] ὡς, ἐπιῤῥῆμα.
645. Εὖ θέσθαι] καλαςῆσαι πρέπον· τὸ α ςέρεσιν ἐνλαῦθα.
648. Ἰδιὰ κινοῦντες κακὰ] Φιλονεικοῦντες.
649. Οὐκ εἶ σύ τ' οἶκους] ἀνὶ τοῦ, ἐκ ἐλεύςῃ. Καλῶς δὲ, ὁ συνθάνεσθαι τὴν αἰτίαν τῆς ἔριδος, ἐκ παντὸς ἀπαλλαγῆναι αὐτὸς βουλόμενος, ἅμα δὲ ἵνα μὴ διλογία ᾖ.
652. Δυοῖν ἀποκρίνας] ἐκ τῶν δύο ποιήσας. Ib. Κρίνας ἀπὸ τῶν δύο κακῶν ἕν.
653. Γῆς ἀπῶσαι] ψεύδεται Κρέων ἐνλαῦθα· Οἰδίπους γὰρ ἂν εἶπεν ἀποκλεῖναι αὐτὸν ἢ ἐκ ἐξελάσαι τῆς χώρας.
656. Μὴ νῦν ὀναίμην] Ὠφελείας ἀπολαύσαιμι.
657. Ὀλοίμην] μέσος, ὀλόμην, ἢ τὸ εὐκτικὸν παθητικὸν, ὀλοίμην.
659. Τὸν δ' ὅρκον] ἦγεν, ὃν αὐτὸς ὤμοσε· λέγει δὲ τοῦτο, διότι πρόσθεν εἶπε τὸ, μὴ νῦν ὀναίμην, ἢ τὸ ἀραῖος ὀλοίμην.
660. Οἳ πάρεισί σοι.
661, 662. Πιθοῦ θελήσας φρονήσας τ', ἄναξ] οἷον, μὴ τῇ ὀργῇ κλῶν, ἀλλὰ τὰ δέοντα διασκεψάμενος· καλῶς τὸ θελήσας. Πολλάκις γὰρ ἐπὶ ταῖς ὀργαῖς μέμψονταί τις ὀφείλων, αἰδέμενος ἐμμένει τοῖς ἁμαρτήμασι.

ΟΙΔ. Τί σοι θέλεις δῆτ' εἰκάθω;
ΧΟΡ. Τὸν ἔτε * πρὶν νήπιον,
Νῦν τ' ἐν ὅρκῳ μέγαν,
Καθαίδεσαι.

ΣΤΣΤΗΜΑ Α.

ΟΙΔ. Οἶσθ' ἔν ἃ χρῄζεις;
ΧΟΡ. Οἶδα.
ΟΙΔ. Φράζε δὴ τί φῄς.
ΧΟΡ. Τὸν ἐναγῆ φίλον μήποτ' ἐν αἰτίᾳ
Σύνγ' ἀφανεῖ † λόγῳ ἄτιμον θαλεῖν ‡.
ΟΙΔ. Εὖ νῦν ἐπίσω, ταῦθ' ὅταν ζητῇς, ἐμοὶ
Ζητῶν ὄλεθρον ἢ φυγὴν ἐκ τῆσδε γῆς.

ΣΤΡΟΦΗ Β.

ΧΟΡ. Οὐ, τὸν πάντων θεῶν
Θεὸν πρόμον Ἅλιον.
Ἐπεὶ ἄθεος, ἄφιλος,

* Aldus, ἔποτε. † Aldus, Σὺν ἀφανεῖ. ‡ Aldus, ἐκθαλεῖν.

664. Τὸν ἔποτε πρὶν νήπιον] ἢ, τὸν ἐν τῷ πρὶν χρόνῳ, ἢ τὸν ἐν τῷ εἰρημένῳ λόγῳ· (ἀπελογήσατο γὰρ) νῦν δὲ μεγάλην πίστιν ἐπαγόμενον ἀπὸ τῦ ὅρκυ, αἰδέσθητι.

670. Τὸν ἐναγῆ φίλον] γράφεται φίλον ἐναγῆ. Ἐναγὲς δὲ, τὸ σεβάσμιον ἢ ἁγνόν. Ἅγος γὰρ τὸ ἱερὸν σέβας. Ὅθεν ἢ τὸ, ἅγη μ' ἔχει. Καὶ ὡς σε, γύναι, ἅγαμαι. Κατ' εὐφημισμὸν δὲ ἢ τὰ μιάσματα ἅγη λέγεται, ἢ οἱ μιαροὶ ἐναγεῖς καλῦνται. Ὁ δὲ νὺς, τὸν μηδέποτε ὑπὸ φίλων ἐν ἀφανεῖ αἰτίᾳ γενόμενον, ἀλλὰ καθαρὸν ὄντα, δεόμεθα μὴ λόγον ἄτιμον ἐκθαλεῖν, ἀλλὰ προδέξασθαι αὐτῦ τὴν ἀπολογίαν. Ἡ ἐναγὴ, τὸν ἐνεχόμενον μίσει. Οὕτως, δεόμεθα τῦ μηδέποτε ἐναγὴς γενομένυ εἰς φίλυς, μὴ ἐν ἀφανεῖ αἰτίᾳ ἄτιμον ποιήσης τὸν λόγον. Ἡ τὸν ἐναγῆ, τὸν σὲ νομιζόμενον ἐναγῆ.

672. Εὖ νῦν ἐπίσω] γίγνωσκε ὅτι τύτω συνηγορᾶν ἐμὲ ἀδικεῖς. Οὐδὲν γὰρ ἄλλο ἢ ὄλεθρόν μοί ἐπάγεις, εἰ παραψόμαι τὸν ἐπιζεθλευκότα.

674. Οὐ τῶν πάντων θεῶν] ἐπὶ ὅρκον καταπέφευγεν, ἐξ ὦ μάλιστα ἐδόκει πεῖσαι τὸν βασιλέα. Ἥλιον δὲ ὄμνυσιν ὅτι πάντα ἐωρακῶς αὐτὸς συνήδει τὸ πᾶν.

Ib. Οὐ τῶν πάντων θεῶν] πάντων θεῶν πρόμαχον λέγει τὸν ἥλιον, ὥσπερ ἰόντα τὸν ὑρανὸν ἔνθ' ὕτοί εἰσι, ἢ ὥσπερ φύλακος τάξιν ἔχοντα. Εἰ δὲ τὸ πρῶτον τὸ θεὸν μικρογραφήσεις, ὥσπερ τὸ δεύτερον, ἐκ παραλλήλυ εἴποις· ἢ τὸ πάντων, ἀντὶ τῦ, ἀνθρώπων νοήσεις. Ὁμνύει δὲ ὁ χορὸς τὸν ἥλιον, ὡς ἕφορον πάντων τῶν ἀνθρωπίνων ἢ τῶν κρυπτῶν γνώσην ἢ ἐκφάνορα.

676. Ἄθεος, ἄφιλος] ἦγεν, πρότερον ὑπὸ τῶν θεῶν τιμωρηθεὶς, καὶ ὑπὸ τῶν φίλων μισηθεὶς

Ὅ,τι πύματον ὀλοίμαν,
Φρόνησιν εἰ τάνδ' ἔχω·
Ἀλλά μοι δυσμόρῳ
Γᾶ φθίνουσα τρύχει
Ψσχάν· καὶ τάδ' εἰ κακοῖς
Κακὰ προσψαύσει *
Τοῖς πάλαι τὰ πρὸς σφῷν.

ΣΥΣΤΗΜΑ Β.

ΟΙΔ. Ὅδ' οὖν ἴτω, κεἰ χρή με παντελῶς θανεῖν,
Ἢ γῆς ἄτιμον τῆσδ' ἀπωσθῆναι βίᾳ.
Τὸ γὰρ σὸν, οὐ τὸ τοῦδ' ἐποικτείρω στόμα
Ἐλεεινόν· οὗτος δ' ἔνθ' ἂν ᾖ, στυγήσεται.
ΚΡΕ. Στυγνὸς μὲν εἴκων, δῆλος εἶ· βαρὺς δ', ὅταν
Θυμοῦ περάσῃς· αἱ δὲ τοιαῦται φύσεις
Αὑταῖς δικαίως εἰσὶν ἄλγισται φέρειν.

* Aldus, προσάψει.

θεὶς λίαν. Τοῦτο γάρ ἐστι τὸ ὅτι ὕστερον ἀπολοίμην. Ἢ τὸ ἄθεος, ἄφιλος, ἀντὶ τοῦ, ἀσεβὴς καὶ μὴ περὶ τοὺς φίλους εὐγνώμων.

677. Ὅ,τι πύματον ὀλοίμαν] ἀντὶ τοῦ, ἔσχατος ἀπολοίμην.

Ib. Ὀλοίμαν] Φθαρείην ὅπερ ἔσχατον. Ἤγουν, ἀπώλειαν ἥτις ἐσχάτη, τουτέστι φθαρείην ἐσχάτην ἀπώλειαν.

679. Ἀλλά μοι] Ἀλλά μου τοῦ δυστυχοῦς λυπεῖ τὴν ψυχὴν ἡ γῆ φθειρομένη. Καὶ τάδε λυπεῖ δηλονότι τὴν ψυχήν μου. Λέγω, εἰ τοῖς κακοῖς τοῖς πάλαι, ἤγουν, εἰ ταῖς προτέραις δυστυχίαις συναφθήσεται τὰ παρ' ὑμῶν κακὰ, ἤγουν, αἱ παρ' ὑμῶν δυστυχίαι· ἀπελθέτω, ἔστω ἐλεύθερος, ἀπολελύσθω.

683. Τὰ πρὸς] τὰ παρ' ὑμῶν· ἤγουν, ἵνα μὴ κορυφωθείη ἡ τῆς πόλεως δυστυχία τὰ ὑμέτερα προσλαβοῦσα κακὰ, προνοούμενος ἐγὼ τὴν ἱκετείαν ταύτην, ἀνήνεγκά σοι. Γράφειν δὲ χρὴ, κακὰ προσψαύσει, ἵν' εἴη τὸ κῶλον ὅμοιον τῷ τῆς ἀντιστροφῆς.

684. Ὅδ' οὖν ἴτω] τὸ φιλόκοινον αὐτοῦ κἀνταῦθα δείκνυσιν, ὡς οὐ δι' ἑαυτὸν παρακεχωρηκότος, ἀλλὰ διὰ τὴν πόλιν, κἂν δέῃ αὐτὸν πεισθέντα κινδυνεῦσαι.

686. Τὸ γὰρ σὸν ἐλεεινὸν στόμα] ἀντὶ τοῦ, τοὺς γὰρ ἐλέους ἀξίους σοὺς λόγους οἰκτείρω, οὐ τοὺς τοῦδε λόγους δηλονότι. Τό μὲν λόγους συνυπακούεται ἀπὸ κοινοῦ, οὐ μὴν καὶ τὸ ἐλεεινούς· Στυγηθήσεται, ἐμοὶ μισηθήσεται.

688. Στυγνὸς μὲν εἴκων] δῆλος εἶ ἀηδῶς εἴκων· ὅταν δὲ ἐπὶ τὸ πέρας ἔλθῃς τῆς ὀργῆς, τότε βαρέως οἴσεις τὸ πρᾶγμα, οἷον, μετανοήσεις, καὶ ἄδικα ἐνθυμηθήσῃ. Ἔτι δὲ ἐμμένει ὁ Κρέων τῇ αὐτῇ παῤῥησίᾳ, ἐπιστάμενος ὡς οὐδὲν ἐσκαιώρησεν.

Ib. Στυγνὸς μὲν] ἤγουν, σκυθρωπός τις τυγχάνεις, εἴκων καὶ ὑποτασσόμενός τινι, ὅταν δεήσηται σου ἣν ἔχεις ὀργὴν παῦσαι.

Ib. Στυγνὸς] δύσκολος καὶ ἀγανάκτησιν ἔχων.

689. Αἱ δὲ τοιαῦται φύσεις] Ἤγουν, ὁ ἔχων ἄνθρωπος, αὐτὸς ἑαυτὸν μισεῖ, καὶ οὐ δύναται φέρειν, ὅτι τοιοῦτός ἐστι. Τὸ δὲ δικαίως εἶπε,

ΟΙΔ. Οὔκουν μ' ἐάσεις, κἀκτός εἶ;
ΚΡΕ. Πορεύσομαι,
Σοῦ μὲν τυχὼν ἀγνῶτος· ἐν δὲ τοῖσδ', ἴσος.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

ΧΟΡ. Γύναι, τί μέλλεις κομίζειν
Δόμων τόνδ' ἔσω;
ΙΟΚ. Μαθοῦσά γ' ἥτις ἡ τύχη.
ΧΟΡ. Δόκησις ἀγνὼς λόγων
Ἦλθε, δάπτει δὲ καὶ
Τὸ μὴ ἔνδικον.

ΑΝΤΙΣΥΣΤΗΜΑ Α.

ΙΟΚ. Ἀμφοῖν ἀπ' αὐτοῖν;
ΧΟΡ. Ναιχί.
ΙΟΚ. Καὶ τίς ἦν λόγος *;

* Aldus, ὑλόγος.

εἶπε, διότι δίκαιόν ἐςι τὰς κακὰς μὴ μόνον ὑπὸ τῶν ἄλλων, ἀλλὰ καὶ ὑφ' ἑαυτῶν μισεῖσθαι.

690. Ἄλγιςαι φέρειν] Λυπηρόταταί εἰσι δικαίως ἑαυταῖς εἰς τὸ φέρειν.

693. Σοῦ μὲν τυχὼν ἀγνῶτος] σοῦ μὲν μὴ ἐπιςαμένου τὴν ἐμὴν προαίρεσιν, οἷον ἠγνοηκότος μέ. Παρὰ δὲ τούτοις τῆς ὁμοίας δόξης ἣν καὶ πρώην εἶχον περὶ ἐμέ.

Ib. Σοῦ μὲν τυχὼν ἀγνῶτος] ἤγουν, ἀναισθήτου τῶν ἐμῶν, καὶ ἕτερον ἢ προσῆκεν ὑπολαμβάνοντος· ἰςέον δ' ὅτι τὸ ἀγνὼς καὶ ἀντὶ τοῦ, μὴ γιγνωσκόμενος εὕρηται, καὶ ἀντὶ τοῦ, μὴ γινώσκων.

694. Γύναι, τί μέλλεις] ὡς καλέγνωκεν ὁ χορὸς τοῦ Οἰδίποδος, παρακελεύεται τῇ γυναικὶ εἰσάγειν αὐτόν.

696. Μαθοῦσά γ' ἥτις ἡ τύχη] πιθανῶς, μετὰ τὸ διηλλάχθαι αὐτοὺς, ἐπιζητεῖ τὴν αἰτίαν· ἅμα δὲ καὶ ἵνα ἀρχὴ γένηται τοῦ ἀναγνωρισμοῦ.

Ib. Μαθοῦσα] ἤγουν, ἐπειδὴ τὸ συμβεβηκὸς ἔγνων ὅπερ ἐςὶ, ποιήσω τοῦτο καὶ κομίσω δηλαδή. Ἔγνων γὰρ τίς ἐςιν ἡ καλέχουσ' αὐτοὺς τύχη· ἤγουν, ἡ μάχη.

697. Δόκησις ἀγνὼς λόγων] ὁ χορὸς ὑπὲρ ἀμφοτέρων ἀπολογεῖται· ὑπὲρ μὲν τοῦ Κρέοντος, ὅτι ἐπ' ἀδήλοις ἐγκέκληται· ὑπὲρ δὲ τοῦ Οἰδίποδος, ὅτι εἰκότως ὠργίσθη ἐπὶ τοιούτοις διαβληθείς.

Ib. Δόκησις ἀγνὼς λόγων ἦλθε] τοῦτο καὶ εἰς τὸν Οἰδίποδα καὶ εἰς τὸν Κρέοντα νόεις· εἰς μὲν τὸν Οἰδίποδα, διὰ τὰς τοῦ Τειρεσίου ἐπ' αὐτῷ μαντείας, ἃς οὐκ ἀληθεῖς ὁ χορὸς ἐνόμιζεν· εἰς δὲ τὸν Κρέοντα, διὰ τὴν ἐξ Οἰδίποδος πρὸς αὐτὸν τοῦτον ψευδῆ ὑπόληψιν, ὡς ὑποβάλλοντα κατ' αὐτοῦ τὸν μάντιν τοιαῦτα λέγειν· τὸ δὲ, δάπτει δὲ τὸ μὴ ἔνδικον, τοῦτο λέγει ὅτι οὐ μόνον ματαία ὑπόληψις αὐτοὺς λυπεῖ, ἀλλ' ὅτι καὶ ἀδικός ἐςιν.

700. Ἀμφοῖν ἀπ' αὐτοῖν] οἷον, ἀμφότεροι τῆς διαφορᾶς αἴτιοί εἰσιν.

ΧΟΡ. Ἅλις ἔμοιγ' ἅλις γᾶς προπονουμένας
Φαίνεται, ἔνθ' ἔληξεν, αὐτοῦ μένειν.
ΟΙΔ. Ὁρᾷς ἵν' ἥκεις ἀγαθὸς ὢν γνώμην ἀνὴρ,
Τοὐμὸν παριεὶς καὶ καταμβλύνων κέαρ;

ΑΝΤΙΣΤΡΟΦΗ Β.

ΧΟΡ. Ἄναξ, εἶπον μὲν οὐχ
Ἅπαξ μόνον, ἴσθι δὲ
Παραφρόνιμον, ἄπορον
Ἐπὶ φρόνιμα πεφάνθαι
Μ' ἂν, εἴ σε νοσφίζομαι,
Ὅσγ' ἐμὰν * γᾶν φίλαν
Ἐν πόνοις ἀλύου-
σαν, κατ' ὀρθὸν οὔρησας.
Τανῦν δ' εὔπομπος †,
Εἰ δύναιο, γίνου ‡.

* Aldus, τ' ἐμάν. † Ald. τ' εὔπομπος. ‡ Ald. γενοῦ.

703. Ἅλις ἔμοιγ' ἅλις] ἅλις καὶ αὐτάρκως φαίνεται ὁ λόγος ἐμοὶ μένειν αὐτοῦ καὶ ἐκεῖ ἔνθα καὶ ὅπου ἔληξε, προπονουμένης καὶ προπασχούσης ὑπὸ τοῦ λοιμοῦ τῆς γῆς· τοῦτ' ἔστιν, ἐπειδήπερ ἡ γῆ δυςυχεῖ, πρὸς ἑαυτὴν ἕλκει τὸν νοῦν μου, καὶ οὐκ ἐᾷ ἀναξαίνειν τὰ τούτοις ξυμβάντα. Ἀρκεῖ γὰρ ὅτι λεχθέντα πέπαυται, καὶ οὐ δεῖ αὖθις λέγειν.

Ib. Ἅλις ἔμοιγ' ἅλις φαίνεται] ἤγουν ἀρκούντως ἔχειν τὸ πρᾶγμα φαίνεται ἐμοὶ· ἔνθα ἔληξεν, ἤγουν, ἐπαύσατο ἡ φιλονεικία αὐτοῦ, ἀντὶ τοῦ, ἐκεῖ μένειν· τῆς γῆς προπονουμένας, ἀντὶ τοῦ, πονουμένης τουτέστι κακουμένης. Ἅλις αὔταρκές ἐμοι φαίνεται ςῆσαι τὸν λόγον ἔνθα ἔληξεν· ἀντὶ τοῦ ἱκανὰ λελέχθαι, καὶ αὐτάρκη εἶναι· ἀρκούντως ἔχειν φαίνεται τὸ πρᾶγμα.

705. Ὁρᾷς ἵν' ἥκεις ἀγαθὸς] τοῦτό φησιν ὁ Οἰδίπους ἀγανακτοῦν· διὰ τί πρὸς ἕτερον ἀποφεύγεις, καίτοι ἀγαθὸς ὢν ἀνὴρ, καὶ οὐχ ὁμολογεῖς τὰ λυπήσαντά με τῇ Ἰοκάςῃ· διὰ τί οὖν οὐ συνοργίζῃ μοι, ἀλλὰ πραΰνεις με ὑπὲρ τοῦ Κρέοντος;

707, 708. Εἶπον μὲν οὐχ ἅπαξ μόνον] πολλάκις (φησὶ) τὰ ἐπελθόντα κατὰ τὴν ἐμὴν διάνοιαν εἶπόν σοι· οἷα καὶ ἐν τοῖς ἀνωτέρω ὤμνυεν.

708, 709. Ἴσθι δὲ παραφρόνιμον] ἴσθι πεφάνθαι με παραφρόνιμον, ἀντὶ τοῦ, παράφρονα καὶ ἀνόητον, καὶ ἄπορον ἐπὶ τὰ φρόνιμα. Δὶς δὲ τὸ αὐτὸ εἶπεν, ἀντὶ τοῦ, μωρὸν κατὰ διάνοιαν καὶ ἄπορον.

Ib. Ἴσθι δὲ πεφάνθαι ἐμὲ] ἤγουν, δεδεῖχθαι παράφρονα.

709. Ἄπορον] ἐπὶ τὰ φρόνιμα εἴ σε παραλογίζομαι ὅς τοι τὴν ἐμὴν φίλην γῆς ἐν πόνοις ἀμηχανούσαν κατ' ὀρθὸν οὔρησας, ἀντὶ τοῦ, εὐώδωσας.

711. Εἴ σε νοσφίζομαι] εἰ ἀλλότριόν σε καὶ οὐκ οἰκεῖον νενόμικα. Ἢ οὕτως· εἴ σε ἀποκρύπτομαι, ἢ ἐκτρέπομαι, καὶ οὐ συγγίνομαί σοι. Ἢ οὕτως· εἰ βούλομαί σε ἐκβαλεῖν τὸν τοσαῦτα ἡμᾶς εὐεργετήσαντα.

714. Κατ' ὀρθὸν οὔρησας] ἔςησας, ἔσωσας.

715. Τανῦν δ' εὔπομπος] καὶ κατὰ τὰ παρόντα

ΑΝΤΙΣΤΣΤΗΜΑ Β.

ΙΟΚ. Πρὸς θεῶν, δίδαξον κἄμ', ἄναξ, ὅτῳ πόλὲ
Μῆνιν τοσήνδε πράγματος σήσας ἔχεις.
ΟΙΔ. Ἐρῶ (σὲ γὰρ τῶνδ' ἐς πλέον, γύναι, σέβω)
Κρέοντος, οἷά μοι βεβουλευκὼς ἔχει.
ΙΟΚ. Λέγ', εἰ σαφῶς τὸ νεῖκος ἐγκαλῶν ἐρεῖς·
ΟΙΔ. Φονέα με φησὶ Λαΐου καθεσάναι.
ΙΟΚ. Αὐτὸς ξυνειδὼς ἢ μαθὼν ἄλλου πάρα;
ΟΙΔ. Μάντιν μὲν ἔν κακοῦργον εἰσπέμψας· ἐπεὶ
Τόγ' εἰς ἐαυτὸν, πᾶν ἐλευθεροῖ στόμα.

ΙΑΜΒΟΙ.

ΙΟΚ. Σὺ νῦν ἀφεὶς σεαυτὸν, ὧν λέγεις πέρι,
Ἐμοῦ πάκουσον, κἀμάθ' ἕνεκ' ἐσί σοι
Βρότειον οὐδὲν μαντικῆς ἔχον τέχνης.
Φανῶ δέ σοι σημεῖα τῶνδε σύντομα.
Χρησμὸς γὰρ ἦλθε Λαΐῳ πότ', (οὐκ ἐρῶ
Φοίβου γ' ἀπ' αὐτοῦ, τῶν δ' ὑπηρετῶν ἄπο)

ρούλα ἀγαθὸς ὁδηγός· κυβερνήτης εἰ δύναιο γενοῦ αὐτῆς δηλονότι, ἤγουν, αὐτῆς γῆς.

717. Πρὸς θεῶν] ἄφιξις Ἰοκάστης μελλούσης διαλλάξαι Οἰδίποδα καὶ Κρέοντα. Πρὸς θεῶν, συνίζησις.

Ib. Δίδαξον] ἢ τινος ἕνεκα περίγμαλος μανσικακίαν τοσαύτην ἐγήριξας ἐν τῇ μνήμῃ, δηλονότι, ὥσπερ ἄγαλμα.

Ib. Ὅτῳ πόλὲ] μὴ λάβῃς εἰς το ὅτῳ ἔξωθέν τὸ ἕνεκα, ἀλλὰ πρὸς τὸ μῆνιν ἐχεῖν.

719, 720. Ἐρῶ—Κρέοντος, οἷά μοι] καθαρῶς ἢ ὑ βοηθῶν σαυτῷ. Ἐρῶ ἕνεκα τοῦ Κρέοντος οἷά μοι ἐπιβεβούλευκε, σὲ γὰρ, ὦ γύναι, τιμῶ ἐπιπλέον τῶν ὧδε.

724. Μάντιν μὲν ἔν] τὸ μὲν ἕν, ἀντὶ τοῦ, δέ. Νοεῖται δὲ ἀπὸ τούτου, ὅτι ὁ λέγει αὐτὸς, εἰσπέμψας δέ. Εἰ μὲν ἕν ςίξεις εἰς τὸ τόγ' εἰς ἑαυτὸν, οὕτως ἐρεῖς, ἐπεὶ ἐλευθεροῖ πᾶν τὸ ςόμα τούτου τοῦ λόγου τοῦ λέγειν, ὅτι ἐγὼ φονεύς εἰμι Λαΐου, τόγ' εἰς ἑαυτὸν, ἤγουν, ὅσον τὸ καθ' αὐτόν. Αὐτὸς γὰρ περὶ τούτου καθάπαξ σιγᾷ. Εἰ δ' ὁμοῦ τὸ πᾶν ἐρεῖς ςόμα πρὸς τὸ τόγ' εἰς ἑαυτὸν, ἔσαι οὕτως, ἐπεὶ τόγ' εἰς ἑαυτὸν, ἤγουν, τὸ οἰκεῖον πᾶν ςόμα ἐλευθεροῖ ἢ ἀφίςησι τούτου τοῦ λόγου.

Ib. Εἰσπέμψας] ἀντὶ τοῦ, ὑποβαλὼν ὑποπέμψας.

725. Τόγ' εἰς ἑαυτὸν] ὅσον καὶ τὸ εἰς ἑαυτὸν ἦκον μέρος, ὁ μάντις πάντα λόγον ἀκριβῶς λέγει, πᾶσαν κακουργίαν λόγων ἀκριβῶς κινεῖ.

Ib. Τόγ' εἰς ἑαυτὸν] ὅσον καὶ τὸ εἰς ἑαυτὸν ἦκον μέρος· ἤγουν, καὶ τὴν ἑαυτοῦ δύναμιν.

726. Ἀφεὶς—ὧν λέγεις] ἀπολύσας τὰς σὰς λογισμοὺς ὧς ἔχεις εἰς ἐκεῖνα δηλονότι περὶ ὧν λέγεις.

728. Βρότειον οὐδὲν] Ὅτι οὐδὲν βρότειον ἐςί σοι μαντικῆς ἐχόμενον τέχνης.

729. Φανῶ δέ σοι σημεῖα] εὖ τὸ ἅμα πα-

Ὡς αὐτὸν ἥξει μοῖρα πρὸς παιδὸς θανεῖν
Ὅςις γένοιτ' ἐμοῦ τε κἀκείνου πάρα.
Καὶ τὸν μὲν, ὥσπέρ γ' ἡ φάτις, ξένοι ποτὲ
Λῃςαὶ φονεύουσ' ἐν τριπλαῖς ἁμαξιτοῖς.
Παιδὸς δὲ βλάςας οὐ διέσχον ἡμέραι
Τρεῖς, καί νιν ἄρθρα κεῖνος ἐνζεύξας ποδοῖν,
Ἔρριψεν ἄλλων χερσὶν εἰς ἄβατον ὄρος.
Κἀνταῦθ' Ἀπόλλων οὔτ' ἐκεῖνον ἤνυσε
Φονέα γενέσθαι πατρὸς, οὔτε Λάϊον,
Τὸ δεινὸν ὃ ὐφοβεῖτο, πρὸς παιδὸς θανεῖν.
Τοιαῦτα φῆμαι μαντικαὶ διώρισαν·
Ὧν ἐντρέπου σὺ μηδέν. Ὧν γὰρ ἂν θεὸς
Κρείαν ἐρευνᾷ, ῥᾳδίως αὐτὸς φανεῖ.
ΟΙΔ. Οἷόν μ' ἀκούσαντ' ἀρτίως ἔχει, γύναι,
Ψυχῆς πλάνημα, κἀνακίνησις φρενῶν;
ΙΟΚ. Ποίας μερίμνης τοῦθ' ὑποςραφεὶς λέγεις;
ΟΙΔ. Ἔδοξ' ἀκοῦσαι σοῦ τόδ', ὡς ὁ Λάϊος
Κατασφαγείη πρὸς τριπλαῖς ἁμαξιτοῖς.

ρακαλοῦσαν ἐκτίθεσθαι τὰ εἰς τὴν ὑπόνοιαν αὐτὸν ἐμβαλοῦντα.

736. Παιδὸς δὲ βλάςας] καλῶς τὸν τόπον προσέθηκεν, ἵνα εἰς ὑπόμνησιν ἀγάγῃ τὸν Οἰδίποδα.

737. Καί νιν] ἤγουν, αὐτὸν ἔρριψεν ἐκεῖνος, ἤγουν, ὁ Λάϊος εἰς ἄβατον ὄρος χερσὶν ἄλλων, τὰ ἄρθρα τῶν ποδῶν, τουτέςι, τὰ σφυρὰ περόνῃ συνάψας. Παιδὸς βλάςας εἰπὼν ἀποδίδωσι καί νιν, ἤγουν, αὐτὸν πρὸς τὸ σημαινόμενον· τὸ γὰρ παιδὸς βλάςας τὸν γεννηθέντα παῖδα δηλοῖ.

739. Οὔτ' ἐκεῖνον ἤνυσε] ἀπορητέον πῶς ἄνω μὴ τὰς περὶ τούτων μαντείας Ἀπόλλωνα θεσπίσαι φάσκουσα Ἰοκάςη, ἀλλὰ τοὺς ὑπηρέτας αὐτοῦ, νῦν φησὶν ἐνταῦθα, "Οὔτ' Ἀπόλλων "ἤνυσε." Καὶ φαμὲν ὅτι τοῦτο λέγει, οὐκ ἐναντιουμένη τῷ λόγῳ αὐτῆς, ἀλλὰ κατὰ τὴν τῶν ἄλλων ὑπόληψιν.

Ib. Ἤνυσε] ἀπὸ κοινοῦ, ἀντὶ τοῦ, εἰς τέλος ἔδειξεν ἀγαγόντα τὸ θανεῖν παρὰ τοῦ παιδός. Λέγω τὸ δεινὸν, ἤγουν, τὸ χαλεπὸν ὃ ἐφοβεῖτο.

742. Τοιαῦτα φῆμαι] Διαςέλλων λέγει φῆμαι μαντικαὶ· ἐπεὶ λέγεται φήμη καὶ ἐπὶ τῆς ἀνθρωπίνης διαλαλήσεως· ἐντρέπομαι τὸ φροντίζω γενικῇ συντάσσεται. Ἤγουν, ἃ γὰρ ἂν ὁ Θεὸς ζητῇ πρέποντα, κρίνας ζητεῖσθα ῥᾳδίως, ἤγουν, εὐκόλως αὐτὸς δείξει.

745. Οἷον μ' ἀκούσαντ'] δυσφορεῖ Οἰδίπους ἀκούσας τὸ παρὰ τῆς Ἰοκάςης.

Ib. Οἷόν] Φεῦ οἷον πλάνημα, ἤγουν, οἷα φροντὶς καὶ ςροφὴ ψυχῆς καὶ ἀνακίνησις φρενῶν, ἤγουν, ταραχὴ λογισμῶν ἔχει με, ὦ γύναι, ἀρτίως ἀκούσαντα.

750. Ηὐδᾶτ

ΙΟΚ. Ηὐδᾶτο γὰρ ταῦτ', οὐδέπω λήξαντ' ἔχει.
ΟΙΔ. Καὶ πῦ 'σθ' ὁ χῶρος οὗτος, οὗ τόδ' ἦν πάθος;
ΙΟΚ. Φωκὶς μὲν ἡ γῆ κλῄζεται· σχιστὴ δ' ὁδὸς
Ἐς ταὐτὸ Δελφῶν κἀπὸ Δαυλίας ἄγει.
ΟΙΔ. Καὶ τίς χρόνος τοῖσδ' ἐστὶν οὐξεληλυθώς;
ΙΟΚ. Σχεδόν τι πρόσθεν ἢ σὺ τῆσδ' ἔχων χθονὸς
Ἀρχὴν ἐφαίνου, ταῦτ' ἐκηρύχθη πόλει.
ΟΙΔ. Ὦ Ζεῦ, τί μου δρᾶσαι βεβούλευσαι πέρι;
ΙΟΚ. Τί δ' ἐστί σοι τοῦτ', Οἰδίπους, ἐνθύμιον;
ΟΙΔ. Μήπω μ' ἐρώτα· τὸν δὲ Λάϊον, φύσιν
Τίν' εἶχε, φράζε· τίνα δ' ἀκμὴν ἥβης ἔχων.
ΙΟΚ. Μέγας, χνοάζων ἄρτι λευκανθὲς κάρα·
Μορφῆς δὲ τῆς σῆς οὐκ ἀπεστάτει πολύ.
ΟΙΔ. Οἴμοι τάλας· ἔοικ' ἐμαυτὸν εἰς ἀρὰς
Δεινὰς προβάλλων ἀρτίως οὐκ εἰδέναι.
ΙΟΚ. Πῶς φῄς; ὀκνῶ τοι πρός σ' ἀποσκοποῦσ' *, ἄναξ.

* Aldus, πρόσ' ἀποσκοποῦσ'.

750. Ηὐδᾶτο γὰρ] Ἤκουσας δηλονότι· ηὐδᾶτο γὰρ, ἤγουν, ἐλέγετο ταῦτα. Οὔπω δὲ λήξαντ' ἔχει, ἀντὶ τοῦ, ἔληξεν·

751. Οὗ τόδ' ἦν πάθος] Ἤγουν, τὸ συμβεβηκὸς πρᾶγμα· ὥσπερ λέγεται λῆμμα καὶ δῶρον ἐπὶ τοῦ αὐτοῦ, ἀπὸ μὲν τοῦ διδόντος δῶρον· ἀπὸ δὲ τοῦ λαμβάνοντος λῆμμα. Οὕτω λέγεται καὶ πάθος καὶ πρᾶγμα ἐνίοτε ἐπὶ τοῦ αὐτοῦ· ἀπὸ μὲν τοῦ ποιοῦντος πρᾶγμα· ἀπὸ δὲ τοῦ πάσχοντος πάθος· οἷον, ὁ φόνος λέγεται καὶ πρᾶγμα ἀπὸ τοῦ ποιοῦντος, λέγεται δὲ πάθος ἀπὸ τοῦ πάσχοντος. Καὶ ἡ στρέβλωσις ὁμοίως καὶ ἡ πληγὴ καὶ ὅσα τοιαῦτα.

752. Φωκὶς μὲν ἡ γῆ κλῄζεται· σχιστὴ δ' ὁδὸς] περὶ Αὐλίδα, φησὶ, τὴν σχιστὴν ὁδόν. Ὁ δὲ Αἰσχύλος περὶ Πυτνίας, οὕτως· "ἐπήειμεν "τῆς ὁδοῦ τροχήλατον, Σχιστῆς κελεύθου τρίοδον, "ἔνθα συμβολὰς Τριῶν κέλευθον Πυτνιάδων "ἠμείβομεν." Τινὲς δὲ τὴν Δαυλίδα ἀνακρίδα λέγουσιν οὕτως· "Κρίσσαντε ζαθέην, καὶ ανα-"κρίδα, καὶ πανοπῆα."

Ib. Φωκὶς μὲν ἡ γῆ κλῄζεται] ἀντὶ τοῦ, καλεῖται. Σχιστὴ δ' ὁδὸς ἄγει, ἤγουν, ἀποκαθιστᾷ εἰς ταὐτὸ ἀπὸ Δελφῶν καὶ ἀπὸ Δαυλίας.

757. Ὦ Ζεῦ, τί μου δρᾶσαι] ἀναμιμνήσκεται ὁ Οἰδίπους καὶ τοῦ χρόνου καὶ τοῦ τόπου· καὶ πρὸς τὸν Δία φησὶ, τί μοι ποιήσεις;

760. Τίνα δ' ἀκμὴν ἥβης] ἡλικίας. Κυρίως δὲ ἡ ἀκμὴ τῆς ἡλικίας.

Ib. Ἀκμὴν ἥβης] Ἀντὶ τοῦ κατάστασιν ἡλικίας· ἥβη ἡ ἀκμὴ τῆς ἡλικίας κυρίως· ἐνταῦθα δὲ ἐπὶ τῆς ἁπλῶς ἡλικίας λαμβάνεται τοὔνομα.

761. Μέγας, χνοάζων] εὖ τὰ πρὸ φωνῆς ταῦτα σημεῖα εἶπεν.

Ib. Χνοάζων] ἀνθῶν, ὥσπερ ὑπὸ χνοὸς περικεχυμένην ἔχων τὴν κεφαλήν. Αἱ γὰρ περὶ αὐτὰς δεξάμεναι χοῦν τρίχες, οὔτε λευκαί εἰσιν οὔτε μέλαιναι, ἀλλ' εἶδος ἕτερον μεταξὺ τούτων ἐκφαίνουσι.

Ib. Χνοάζων] ανθῶν ἄρτι λευκοβαφὲς κάρα ἀντὶ τοῦ ἄρτι λευκαινόμενος.

765. Ὀκνῶ] δέδοικα. Καὶ Ὅμηρος, "ὀκνείω "δ' ἵππων ἐπιβαινέμεν."

766. Μὴ

ΟΙΔ. Δεινῶς ἀθυμῶ μὴ βλέπων ὁ μάντις ἦ.
Δείξεις δὲ μᾶλλον, ἢν ἓν ἐξείπῃς ἔτι.
ΙΟΚ. Καὶ μὴν ὀκνῶ μέν· ἃ δ' ἂν ἔρῃ, μαθὼν ἐρῶ.
ΟΙΔ. Πότερον ἐχώρει βαιὸς, ἢ πολλὰς ἔχων
Ἄνδρας λοχίτας, οἵ' ἀνὴρ ἀρχηγέτης;
ΙΟΚ. Πέντ' ἦσαν οἱ ξύμπαντες, ἐν δ' αὐτοῖσιν ἦν
Κῆρυξ· ἀπήνη δ' ἦγε Λάϊον μία.
ΟΙΔ. Αἴ, αἰ· τάδ' ἤδη διαφανῆ· τίς ἦν ποτὲ
Ὁ τόσδε λέξας τὰς λόγους ὑμῖν, γύναι;
ΙΟΚ. Οἰκεύς τις, ὅσπερ ἵκετ' ἐκσωθεὶς μόνος.
ΟΙΔ. Ἦ κἀν δόμοισι τυγχάνει τανῦν παρών;
ΙΟΚ. Οὐ δῆτ'· ἀφ' ἧς γὰρ κεῖθεν ἦλθε, κἀκράτη
Σέ τ' εἶδ' ἔχοντα, Λάϊόν τ' ὀλωλότα,
Ἐξικέτευσε, τῆς ἐμῆς χειρὸς θιγών,
Ἀγρούς σφε πέμψαι καπὶ ποιμνίων νομὰς,
Ὡς πλεῖστον εἴη τῆσδ' ἄποπτος ἄστεος.
Κἄπεμψ' ἐγώ νιν· ἄξιος γὰρ ὦδ' ἀνὴρ
Δοῦλος φέρειν ἦν τῆσδε κἀμείζω χάριν.
ΟΙΔ. Πῶς ἂν μόλοι δῦθ' ἡμῖν ἐν τάχει πάλιν;
ΙΟΚ. Πάρεσιν· ἀλλὰ πρὸς τί τοῦτ' ἐφίεσαι;

766. Μὴ βλέπων] ἤγουν, δέδοικα μή πως ὁ τυφλὸς, ἀλλὰ βλέπων κἀληθεύων ὁ μάντις ᾖ. Παρ' ὅσον ὁ τὴν ἀλήθειαν λέγων, βλέπει· ὁ δὲ τὰ ψευδῆ, τυφλώττων ἐστί.

769. Βαιὸς] ὁ μικρός· ἐνταῦθα δὲ ὡς ἐπίρρημα. Ἀντὶ τοῦ, μικροπρεπῶς, εὐτελῶς, ἤγουν, μετ' ὀλίγων.

770. Ἀρχηγέτης] ἀρχηγὸς τῆς τάξεως, βασιλεὺς.

772. Κῆρυξ] Ἡγεμὼν ὁδοῦ, ὁ κοινῶς προεύδων.

Ib. Μία] λέγει ἐκ ὅτι διὰ πλείονων ἁπηνῶν ὧν δυναῖτο αὐτὸν φέρεσθαι· ἀλλὰ θέλει δηλῶν ὁ λόγος, ὅτι κ ἁπήνη ἦγεν αὐτόν. Καὶ οὕτω μόνη ἦτις ἦγεν αὐτὸν κ ἑτέρα ἐκ εἰπέλο.

775. Οἰκεύς τις] οἰκέτης. Ἐκ τοῦ αὐτοῦ οἶκος ὤν.

776. Τυγχάνει παρών] ἤγουν, πάρεσιν.

780. Ἀγρούς σφε] Ἐπὶ τοὺς ἀγροὺς· ἢ ἐπὶ ἀπὸ κοινοῦ. Καὶ ἐπὶ τὸ νέμειν προβάλα. Ποίμνια αἱ ἀγέλαι τῶν προβάτων.

781. Ἄστεος] ἔξω τῆς θέας τοῦδε τοῦ ἄστεος, ἤγουν, ταύτης τῆς πόλεως.

782. Ἄξιος γὰρ ὦδ' ἀνὴρ] οἷον, τὸ αἴτημα ἐκ ὑπερέβαλε δῦλον.

Ib. Ἄξιος] ἄξιος γὰρ δοῦλον ἦν ὅδε ὁ ἀνὴρ ἀποφέρεσθαι κ μείζω χάριν τῆσδε.

785. Πάρεσιν] οἷον, νόμιζε αὐτὸν παρεῖναι.

Ib. Τοῦτ' ἐφίεσαι] ἐνιέλλη, ἐπιθυμεῖς. Καὶ γενικῆ γὰρ κ αἰτιαλικῆ συνλάβεσαι τὸ ἐφίεμαι, ὥσπερ κ τὸ ἐπιθυμῶ.

Ib. Πά-

ΟΙΔ. Δέδοικ' ἐμαυτὸν, ὦ γύναι, μὴ πόλλ' ἄγαν
Εἰρημέν' ᾖ μοι, δι' ἃ νιν εἰσιδεῖν θέλω.
ΙΟΚ. Ἀλλ' ἵξεται μὲν, ἀξία δέ πω μαθεῖν
Καὐγὼ τάδ' * ἐν σοὶ δυσφόρως ἔχοντ', ἄναξ.
ΟΙΔ. Κἀ μὴ ςερηθῇς γ' ἐς τοσοῦτον ἐλπίδων
Ἐμοῦ βεβῶτος· τῷ γὰρ ἂν κ᾽ μείζονι
Λέξαιμ' ἂν, ἤ σοι, διὰ τύχης τοιᾶσδ' ἰών;
Ἐμοὶ πατὴρ μὲν Πόλυβος ἦν Κορίνθιος,
Μήτηρ δὲ, Μερόπη Δωρίς· ἡγόμην δ' ἀνὴρ
Ἀςῶν μέγιςος τῶν ἐκεῖ, πρίν μοι τύχη
Τοιάδ' ἐπέςη, θαυμάσαι μὲν ἀξία,
Σπουδῆς γε μέντοι τῆς ἐμῆς οὐκ ἀξία.
Ἀνὴρ γὰρ ἐν δείπνοις μ' ὑπερπλησθεὶς μέθης,
Καλεῖ παρ' οἴνῳ πλαςὸς ὡς εἴην πατρί.
Κἀγὼ βαρυνθεὶς, τὴν μὲν οὖσαν ἡμέραν
Μόλις κατέσχον, τῇ δ' ἐπιούσῃ πατρὶ
Καὶ μητρὶ προσῆα, καὶ ἔλεγχον ἠνεγκάμην.
Ἤχθοντο μὲν τοῖς τοῦ λέγοντος ἐμπεσοῦσι,
Τοῖς γονεῦσι δ' ἐπῆρε τὸ θράσος τοῦτο.
Ἐγὼ δὲ τοῦτο μὲν πρὸς τοὺς γονεῖς ἔχον
Ἐθαύμαζον· ἐπεὶ δ' ἐπῆλθε μοι πολὺς χρόνος,
Ἔλαθον ἐμαυτὸν ἐκ λόγου τινὸς τρέφων
Ἐν θυμῷ· καὶ γὰρ οὐκ ἔμελλον ἐν πατρὸς
Μνήμασι καὶ τάφοις ἐλθὼν ἐπόψεσθαι.
Ἐκ τούτων ἐγὼ
Ἐλθὼν ἐς Δελφοὺς ἐπύθομην ἃ μὴ τυχεῖν
Ἔμελλον, ἀλλὰ πρὸς κακοῖς ἄλλ' ἐξέπλην
Ἐγὼ τάλας, ἃ μὴ τύχοιμι τῶν λόγων.
Ἐπὶ γὰρ τὸν ἀςέρωπον οἶμον ἐλθὼν ἐνθάδε,
Ἔνθ' ἐμὲ φάσκεις τὸν τύραννον ὀλέσθαι,
Ἐλθοῦσαν ἐς τοῦτ' ἔρχομαι σοὶ, γύναι, λόγον.
Καὶ σοὶ τάδ' ἐρῶ· ἐπεὶ γὰρ ἐξέβην τῆσδε γῆς
Ἄγων ἀκόλουθον πομπὸν καὶ τινα τυφλὸν
Ἀνδρῶν ἀκούσας, ἐνθάδ' ἐλθὼν ἐνθάδε
Ἐγὼ τάλας, ἃ μὴ τύχοιμι τῶν λόγων.
Ἐπὶ γὰρ τὸν ἀςέρωπον οἶμον ἐλθὼν ἐνθάδε,
Ἔνθ' ἐμὲ φάσκεις τὸν τύραννον ὀλέσθαι,
Ἐλθοῦσαν ἐς τοῦτ' ἔρχομαι σοὶ, γύναι, λόγον.
Καὶ σοὶ τάδ' ἐρῶ· ἐπεὶ γὰρ ἐξέβην τῆσδε γῆς
Ἄγων ἀκόλουθον πομπὸν καὶ τινα τυφλὸν
Ἀνδρῶν ἀκούσας, ἐνθάδ' ἐλθὼν ἐνθάδε

* Aldus, τάγ'.

Ib. Πάρεσιν] Ὡς παρόντα νόμιζε αὐτὸν· ἔτως ἔχει εὐκόλως ἀφίξεσθαι.

790. Κοὐ μὴ] Ἡ πρὸς τὸ ςερηθῇς ὑπόςιξον, ἔτως, ᾗ ἐ μὴ ςερηθῇς ὧν ζητεῖς, βεβῶτος ἐμοῦ ἐς τοσοῦτον ἐλπίδων, ἤγουν, τοσαύτην ἐλπίδα ἔχοντος ὥςε τὸν ἀγρότην μόνον ἰδεῖν, ᾗ παρ' ἐκείνῳ ἀκοῦσαί τι· καὶ πάντα γὰρ τὰ ἄλλα ἀπήλπισα· ἢ πρὸς τὸ ἐλπίδων, ἔτως, ἐμοῦ βεβῶτος, ἤγουν, ζῶντος, ἐ μὴ ςερηθῇς τῶν ἐλπίδων ἐς τοσοῦτον, ἤγουν, ἅπερ ἐλπίζεις μαθεῖν παρ' ἐμοῦ, ἐ μὴ ἀπόλυχνις τύτων ἐς τοσοῦτον, ὥςε μὴ μαθεῖν αὐτά. Κρεῖττον δ' ἐςὶ τὸ πρῶτον. Μαρίριον δέ. Προϊὼν γὰρ λέγει, Καὶ μὴν τοσοῦτον ἔςη μοι τῆς ἐλπίδος, Τὸν ἄνδρα τὸν βοΐπρα προσμεῖναι μόνον.

Ib. Τοσοῦτον] μέχρι τοσύτου, ἤγουν, μέχρι τοῦ μὴ ἀξιωθῆναι ἀκοῦσαι τὸ ἐν ἐμοὶ βάρος.

791. Τῶ γὰρ ἂν] Καὶ τίνι γαρ ἂν ἄλλω δηλονότι μείζονι ἀπὶ τοῦ, ἀξίῳ μᾶλλον, πρεσβυτέρῳ λέξαιμ' ἂν ἢ σοι.

793. Ἐμοὶ πατὴρ μὲν] ἤγουν, ἐγχώριος, ἐγγενής.

Ib. Ἐμοὶ πατὴρ] διήγησις Οἰδίποδος, περὶ τῆς ἀναιρέσεως αὐτοῦ ὑ τὸ φόνε Λαΐε.

794. Μήτηρ δὲ, Μερόπη] Φερεκύδης φησὶ Μέδουσαν εἶναι τὴν Πολύβε γυναῖκα, Συγαλέρα δὲ Ὀρσιλόχυ τοῦ ἀδελφιδοῦ. Οἱ δὲ, Ἀγλιοχίδα τὴν Χάδκανος.

Ib. Δωρίς] Πελοποννησιακή.

Ib. Δωρίς] Δωρὶς διάλεκτος ἡ τῶν Δωριέων. Καὶ Δωρὶς γυνὴ ὥσπερ Ἑλληνὶς, ἡ ἀπὸ γένες τῶν Δωριέων.

796. Θαυμάσαι μὲν ἀξία] ἔδει γὰρ πρὸς τὸ ὀξὺ μὲν, ἀκύσαντα ὡς εἰη νόθος, Θαυμάζειν, ἐ μὴν τοσοῦτον φρονῆσαι τοῦ πεφάλματος.

Ib. Θαυμάσαι] ἀξία μὲν Θαυμάσαι αὐτὸν τινά. Ἤγουν, ἀξία μὲν Θαύματος ᾗ ἀπορίας, καίπερ ἀσεώς γε μέντοι τῆς ἐμοῦ ἐκ ἀξίας. Ἤγουν, ᾗ ἀξία Θαύματος ᾗ ἐκ ἀξία τῆς ἐμῆς καίπερ ἀσεώς.

797. Σπουδῆς γε μέντοι] τῆς ἀρετῆς.

799. Πλαςὸς] προσποιητὸς, ἀλλότριος, νόθος.

Ib. Πλαςὸς] πεπλασμένος υἱὸς, δηλονότι, ἤγουν, ὑποβολιμαῖος.

800. Τὴν μὲν οὖσαν ἡμέραν] καὶ τὴν παροῦσαν τότε ἡμέραν.

Ib. Βαρυνθεὶς

Μόλις κατέσχον· θατέρᾳ δ' ἰὼν πέλας
Μητρὸς πατρός τ', ἤλεγχον· οἱ δὲ δυσφόρως
Τὐνειδος ἦγον τῷ μεθέντι τὸν λόγον.
Κἀγὼ τὰ μὲν κείνοιν ἐτερπόμην, ὅμως
Δ' ἔκνιζέ μ' αἰεὶ τοῦθ'· ὑφεῖρπε γὰρ πολύ.
Λάθρα δὲ μητρὸς καὶ πατρὸς πορεύομαι
Πυθώδε· καί μ' ὁ Φοῖβος ὧν μὲν ἱκόμην,
Ἄτιμον ἐξέπεμψεν, ἄλλα δ' ἄθλια
Καὶ δεινὰ καὶ δύςηνα προὐφάνη λέγων,
Ὡς μητρὶ μὲν χρεί' ᾖ με μιχθῆναι, γένος
Δ' ἄτλητον ἀνθρώποισι δηλώσοιμ' ὁρᾷν·
Φονεύς δ' ἐσοίμην τοῦ φευτεύσαντος πατρός.
Κἀγὼ 'πακούσας ταῦτα, τὴν Κορινθίαν
Ἄςροις τὸ λοιπὸν ἐκμετρούμενος χθόνα,
Ἔφευγον, ἔνθα μήποτ' ὀψοίμην κακῶν
Χρησμῶν ὀνείδη * τῶν ἐμῶν τελούμενα.
Στείχων δ', ἱκνοῦμαι τούσδε τοὺς χώρους, ἐν οἷς
Σὺ τὸν τύραννον τοῦτον ὄλλυσθαι λέγεις.
Καί σοι, γύναι, τἀληθὲς ἐξερῶ· τριπλῆς
Ὅτ' ἦν κελεύθου τῆσδ' ὁδοιπορῶν πέλας,

* Aldus, γ' ὀνείδη.

Ib. Βαρυνθεὶς] ἐπὶ λύπης. Βαρηθεὶς ἐπὶ σώματος, ὡς βεβαρημένων τῶν ὀφθαλμῶν μοῦ.

805. Ἔκνιζε] ἐλύπει· κυρίως δὲ, ἐρωτικῶς λυπεῖν. Ἐνταῦθα δὲ ἔκνιζεν ἁπλῶς, ἀντὶ τοῦ, ἐλύπει.

808. Ἄτιμον] ἀνήκουςον. Περὶ ὧν γὰρ ἀπῆλθεν οὐκ εἶπεν.

811. Ἄτλητον ὁρᾷν] τὸ μὴ δυνάμενον ὑπὸ ἀνθρώπων ὁρᾶσθαι.

813. Κἀγὼ 'πακούσας] Κἀγὼ ἀκούσας ταῦτα τὴν Κορινθίαν γῆν κατὰ τὸ ἐπίλοιπον δι' ἄςρων μετρούμενος· ἤγουν, μακρόθεν βλέπων καὶ δι' ἄςρων συμβάλλων αὐτὸν, ἀπεδήμουν ἐκεῖσε δηλονότι· ἔνθα μήποτε ὀψοίμην πληρούμενα ὀνείδη τῶν εἰς ἐμὲ δυσφήμων χρησμῶν, ἤγουν, τὰ ἐμὰ ὀνείδη, ἃ προεδήλουν οἱ πρὸς ἐμὲ δύσφημοι χρησμοί.

814. Ἄςροις τὸ λοιπὸν ἐκμετρούμενος] χρόνον τινὰ φησὶν, ἐπεὶ πρὸς τοὺς ἀςέρας ἠρίθμουν τὸν χρόνον. Ἢ οὕτως, ἐπὶ τὰ ἄςρα ἐπορευόμην. Ἡ δὲ μεταφορὰ ἀπὸ τῶν τὰ πελάγη μετρούντων, ὡς ἂν δι' ἄςρων τεκμαιρομένων τὸν πλοῦν.

Ib. Ἄςροις τὸ] παροιμία ἐπὶ τῶν μακρὰν ὁδὸν καὶ ἔρημον πορευομένων. Οἱ γὰρ φεύγοντες ἀειφυγίαν, τοῖς ἄςροις ἐσημειοῦντο τὴν ἑαυτῶν πατρίδα.

821. Κἀπ.

Ἐνταῦθά μοι κήρυξ τε, κἀπὶ πωλικῆς
Ἀνὴρ ἀπήνης ἐμβεβὼς, οἷον σὺ φῄς,
Συνηντίαζον· κἀξ ὁδοῦ μ' ὅ,θ' ἡγεμὼν
Αὐτός θ' ὁ πρέσβυς πρὸς βίαν ἠλαυνέτην.
Κἀγὼ τὸν ἐκτρέποντα τὸν τροχηλάτην
Παίω δι' ὀργῆς· καί μ' ὁ πρέσβυς ὡς ὁρᾷ
Ὄχου παραστείχοντα, τηρήσας μέσον
Κάρα, διπλοῖς κέντροισί μου καθίκετο.
Οὐ μὴν ἴσηνγ' ἔτισεν· ἀλλὰ συντόμως
Σκήπτρῳ τυπεὶς ἐκ τῆσδε χειρὸς, ὕπτιος
Μέσης ἀπήνης εὐθὺς ἐκκυλίνδεται.
Κτείνω δὲ τοὺς ξύμπαντας· εἰ δὲ τῷ ξένῳ
Τούτῳ προσήκει Λάϊῳ τὶ συγγενὲς,
Τίς τοῦδέγ' ἀνδρός ἐστιν ἀθλιώτερος;
Τίς ἐχθροδαίμων μᾶλλον ἂν γένοιτ' ἀνήρ;
Ὧι μὴ ξένων ἔξεστι μήδ' ἀστῶν τινὰ

821. Κἀπὶ πωλικῆς] ὑπὸ πώλων ἐζευγμένης.

824. Πρέσβυς] πρέσβυς πρεσβύτου ἑτερόκλιτον·

825. Κἀγὼ τὸν ἐκτρέποντα τὸν τροχηλάτην] τὸν ἔμπροσθεν τῶν τροχῶν πορευόμενον.

827. Ὄχου] ἅρματος.

Ib. Παραστείχοντα] ἡ παρὰ ὡς ἐπίῤῥημα, ἀντὶ τοῦ, πλησίον, ὡς ἐν τῷ ἑρκέων ἐγκεκλεισμένον· ἡ ἐν ὡς ἐπίῤῥημα, ἀντὶ τοῦ, ἐντὸς τῶν ἑρκέων.

828. Διπλοῖς κέντροισί] πληγαῖς. Δὶς ἔπαισέ με τοῖς κέντροις, οἷς ἐκέντριζε τοὺς ἵππους· οὐκ ἐπίσης δὲ καὶ παρ' ἐμοῦ ἔλαβεν.

Ib. Διπλοῖς κέντροισί μου] τοῦτο διπλῶς νοητέον, ἢ δύο πληγαῖς, ἢ μάστιγι δύο κέντρα ἐχούσῃ. Τὸ δ' ἔτισεν, ἀντὶ τοῦ, ἀπέδωκε, παρ' ὅσον οἱ κολαζόμενοι διά τινα προϋπάρξασαν ὑπ' αὐτῶν αἰτίαν, δίκας τῆς ἁμαρτίας ἀποδιδόασιν ὀφειλομένας.

832. Εἰ δὲ τῷ ξένῳ] τοῦ ὑπ' ἐμοῦ φονευθέντος εἰ ἦν τις πρὸς Λάϊον συγγένεια. Ἢ οὕτως, εἰ δὲ οὗτος ὁ ξένος, ὃν ἀπέκτεινα, Λάϊός ἐστιν· οὔπω γὰρ οἶδεν εἰ αὐτός ἐστι.

833. Προσήκει] τῷ δεῖνι. Καὶ προσήκοντες οἱ συγγενεῖς. Συγγένειά τίς ἐστι προσήκουσα τῷ Λαΐῳ, ἤγουν, εἰ ἐκεῖνος ἦν ὁ Λάϊος.

834. Τίς τοῦδέγ' ἀνδρὸς] ἀντὶ τοῦ, ἐμοῦ.

835. Ἐχθροδαίμων.] Μισητὸς παρὰ τῶν θεῶν, ἐχθρὸς τοῖς δαίμοσιν, ἤγουν, τοῖς θεοῖς. Ὧι τινι, ἤγουν, ἐμοὶ οὐκ ἐκδεδομένον ἐστὶ δεχεσθαί τινα ἐμὲ δηλονότι ἐν τοῖς δόμοις, οὔτε ἀπὸ τῶν ἀστῶν, οὔτε ἀπὸ τῶν ξένων. Καὶ ταῦτα ὡς ἐπίῤῥημα ἐναντιωματικῶς.

836. Ὧι μὴ ξένων] ἤγουν, ὧτινι οὐκ ἔστιν ἐκδεδομένον δέχεσθαί τινα, ἐμὲ δηλονότι ἐν τοῖς δόμοις, οὔτε τῶν ἀστῶν, οὔτε τῶν ξένων. Ἔστι δὲ ἡ τοιαύτη δοτικὴ τὸ ᾧ, ἢ πρὸς τὸ ἔξεστιν, ἢ πρὸς τὸ προσφωνεῖν. Ὥσπερ γάρ φαμεν, μέλεῖχον καὶ ἐχρώμην τῆς δόξης, οὗ πρὸς τὸ ἐχρώμην (ὅπερ ἐστὶ σύνεγγυς οὔσης τῆς γενικῆς) ἀλλὰ πρὸς τὸ μέλεῖχον, διὰ μέσου ὄντος τοῦ ἐχρώμην· οὕτω καὶ τοῦτο τὸ ᾧ πρὸς τὸ προσφωνεῖν ἔχει τὴν δύναμιν. Τὸ δὲ τάδε καὶ τάσδε ἀρὰς, ταὐτόν ἐστιν. Αἱ γὰρ ἀραὶ, ἃς ἠράσατο τῷ Λαΐῳ φονεῖ, οὐκ ἄλλό τι ἦσαν ἢ μὴ προσδέχεσθαι

Δόμοις δέχεσθαι, μηδὲ προσφωνεῖν τινά·
Ὠθεῖν δ' ἀπ' οἴκων· καὶ τάδ', ὅτις αλλος ἦν
Ἢ 'γὼ 'π' ἐμαυτῷ τάσθ' ἁρὰς ὁ προσιθείς.
Λέχη δὲ τῆ θανόντος ἐν χεροῖν ἐμαῖν
Χραίνω, δι' ὅνπερ ὤλετ'· ἆρ' ἔφυν κακός;
Ἆρ' ἐχὶ πᾶς ἄναγνος; εἴ με χρὴ φυγεῖν,
Καί μοι φυγόντι, μήτε τὰς ἐμὰς ἰδεῖν,
Μήτ' ἐμβαλεύειν πατρίδος· ἢ γάμοις με δεῖ
Μητρὸς ζυγῆναι, καὶ πατέρα καλακτανεῖν
Πόλυβον, ὃς ἐξέφυσε κἀξέθρεψέ με.
Ἆρ' ἐκ ἀπ' ὠμῆ ταῦτα δαίμονος τὶς ἂν
Κρίνων ἐπ' ἀνδρὶ τῷδ' ἀνορθοίη λόγον;
Μὴ δῆτα, μὴ δῆτ', ὦ θεῶν ἁγνὸν σέβας,
Ἴδοιμι ταύτην ἡμέραν· ἀλλ' ἐκ βροτῶν
Βαίην ἄφαυλος πρόσθεν ἢ τοιάνδ' ἰδεῖν
Κηλῖδ' ἐμαυτῷ συμφορᾶς ἀφιγμένην.

ΧΟΡ. Ἡμῖν μὲν, ὦ ναξ, ταῦτ' οκνήρ'· ἕως δ' ἂν ἧν
Πρὸς τῆ παρόντος ἐκμάθης, ἔχ' ἐλπίδα.

ΟΙΔ. Καὶ μὴν τοσοῦτόν γ' ἐσί μοι τῆς ἐλπίδος,

θαι αὐτὸν τὰς πολίτας, μηδὲ προσφωνεῖν. Καὶ ὅτις ἄλλος ἦν ὁ προσιθεὶς ἐπ' ἐμαυτῷ ταῦτα, ἢ ἐγὼ ὁ τάσδε τὰς ἁρὰς προσιθεὶς, κατὰ συγκδοχὴν λαμβανομένῃ τῆ προσιθείς.

841. Δι' ὅνπερ ὤλετ'] ὧν χειρῶν.

Ib. Ἔφυν] τὸ ἔφυν καὶ τὸ ἔχὶ ἀπὸ κοινῆ, ἦγεν, ἆρα ἐκ ἔφυν κἀς, ἀντὶ τῆ, ὅλος ἀναίνος, ἦ ἦν, ἀκάθαρτος. Ἐν τῷ πρότερῳ κώλῳ ἀποδίδοιαι σύνταξις πρὸς τὸ ἀπαρέμφατον, καὶ προφέρεται κατ' αἰτιατικήν· ἐν δὲ τῷ δευτέρῳ ἀποδίδοιαι πρὸς τὸ χρὴ, καὶ λέγεται καλὰ δοϊκὴν· ἦγεν, εἰ χρὴ φυγεῖν ἐμὲ, καὶ εἰ χρὴ ἐμοὶ φυγάδι μήτε τὰς ἐμὰς ἰδεῖν, μήτε ἐμβαίνειν πατρίδος, ἀντὶ τῆ, ἐπιβαίνειν.

842. Ἄναγνος] ἀνῖλ τῆ, μιαρός.

844. Ἐμβαλεύειν] ἐπιβαίνειν.

847. Ἆρ' ἐκ ἀπ' ὠμῆ] ἆρα ἐκ ἀπὸ σκληρᾶς τύχης ταῦτα ἐπ' ἐμοὶ τὶς κρίνων ἀνορθοίη ἂν λόγον, ἀντὶ τῆ, ἀποφαίνοιτο· ἀνορθοίη ἦγεν, ἀποφαίνοιτο ἀπὸ τῶν δύο.

848. Ἀνορθοίη λόγον] ἦγεν, ἔξω αἰτίας θήσει. Τὸ γὰρ ἀνορθοίη λόγον, ἐχ ἕτερόν ἐςιν ἀλλ' ἢ κειμένην καὶ μὴ ὄσαν τὴν ὑπὲρ ἐκείνε ἀπολογίαν ἀνορθώσει, καὶ δείξει δι' ὧν ἀπολογήσεται.

849. Ὦ θεῶν ἁγνὸν σέβας] ἀντὶ τῆ, ὦ θεοὶ, ἐν ἁγνείᾳ καὶ καθαρότητι τιμώμενοι, πορευθεὶς γενοίμην ἄφαυλος πρότερον.

852. Κηλῖδ' ἐμαυτῷ] κηλῖδα συμφορᾶς, ἀντὶ τῆ, συμφορὰν (ἦγεν, συνίυχίαν) κηλῖδος, ἦγεν, μολυσμὸ.

854. Ἔχ' ἐλπίδα] ἀντὶ τῆ, μὴ ἀθύμει πρὶν ἂν τὸ ἀληθὲς καθαμάθης.

855. Τοσοῦτόν γ' ἐσί μοι τῆς ἐλπίδος] ἀντὶ τῆ τοσαύτη μοί ἐςιν ἡ ἐλπίς.

Τὸν ἄνδρα τὸν βοῆρα προσμεῖναι μόνον.
ΙΟΚ. Πεφασμένα δὲ, τίς ποθ' ἡ προθυμία;
ΟΙΔ. Ἐγὼ διδάξω σ'· ἦν γὰρ εὑρεθῇ λέγων
Σοὶ ταῦτ', ἔγωγ' ἂν ἐκπεφευγοίην πάθος.
ΙΟΚ. Ποῖον δέ μ' περισσὸν ἤκουσας λόγον;
ΟΙΔ. Λῃσὰς ἔφασκες αὐτὸν ἄνδρας ἐννέπειν,
Ὡς νιν καλακλείναιεν· εἰ μὲν ἔν ἔτι
Λέξει τὸν αὐτὸν ἀριθμὸν, ἐκ ἐγὼ κλανον·
(Οὐ γὰρ γένοιτ' ἂν εἷς γε τοῖς πολλοῖς ἴσος)
Εἰ δ' ἄνδρ' ἕν' οἰόζωνον αὐδήσει, σαφῶς
Τῦτ' ἔσιν ἤδη τἔργον εἰς ἡμᾶς ῥέπον.
ΙΟΚ. Ἀλλ' ὡς φανένγε τἔπος ὧδ' ἐπίσασο·
Κἐκ ἔσιν αὐτῷ τῦτό γ' ἐκβαλεῖν πάλιν.
Πόλις γὰρ ἤκουσ', ἐκ ἐγὼ μόνη, τάδε.
Εἰ δ' ἔν τι κἀκλρέποιλο τἔ πρόσθεν λόγε,
Οὗτοι ποτ', ὦ 'ναξ, τόνγε Λαΐε φόνον
Φανεῖ δικαίως ὀρθὸν, ὄνγε Λοξίας
Διεῖπε, χρῆναι παιδὸς ἐξ ἐμἔ θανεῖν.
Καί τοι νιν ἐ κεῖνός γ' ὁ δύσηνός ποτε
Καλέκλαν', ἀλλ' αὐτὸς πάροιθεν ὤλεο.
Ὡς' ἐχὶ μανλείας γ' ἂν, ἔτε τῇδ' ἐγὼ

857. Πεφασμένα] φανερῦ γενομένα καὶ ἐλεβόλος τῦ ποιμένος, τίνα ἔξεις γνώμην;
859. Σοὶ ταῦτ'] ταύτα εἰς τὸ ταῦ ὀξεῖαν· ἐ γὰρ ἐπ' οἰκείας συλλαβῆς ὁ τόνος κεῖται, ἀλλ' ἀπὸ πάθης ἀνεδάθη.
Ib. Σοὶ ταῦτ'] σοὶ ὅμοια καὶ τὰ αὐτά.
861. Ἔφασκες αὐτὸν] τὸν βοῆρα.
865. Οἰόζωνον] μονόζωνον, μόνον.
866. Εἰς ἡμᾶς ῥέπον] εἰς ἡμᾶς γράφε, μὴ εἰς ἐμέ· ἐ γὰρ ἁρμόζει ἔτως τὸ μέτρον. Εἰ δὲ πληθυντικὸν ἀνλὶ τῦ ἑνικῦ τέθειται, ἐδὲν ἀπεικός· πολλὰ γὰρ εὑρίσκεται ὅμοια.
868. Τῦτό γ' ἐκβαλεῖν πάλιν] ἀποκρύπτεσθαι, ἢ ἀποχρέψαι. Τυτέχιν, ἐ δύναται ἁρμῦσθαι ὁ βεκόλος.
870. Κἀκλρέποιλο] Τὸ ἐκλρέπεσθαι κυρίως ἐπὶ ὁδῦ λέγεται, ὅταν τὴν ἣν βαδίζει τὶς ὁδὸν καλαλιπὼν, ἑτέραν βαδίση. Καὶ ἀπὸ τύτε ἁπλῶς ἐπὶ τῶν ἀπό τινος εἴ τι μελαπιπτόντων.
871. Τόνγε Λαΐε φόνον φανεῖ] αὐτὸς ὁ θεράπων.
876. Ὡς' ἐχὶ μανλείας] ἴσθι ἐγὼ χάριν τῆς μανλείας, ἔτε ἐπ' ἐκεῖνα τὰ ῥήματα, ἔτε ταῦτα βλέψαιμι· ἔτε ἑκαλέροις πιςεύσαιμι, ἀλλ' ἀπορῶ.
Ib. Ὡς' ἐχὶ μανλείας] ἆσθ' ἕνεκα τῆς μαντείας τῦ Ἀπόλλωνος, ἔτε βλέψαιμι ἂν τῇδε καὶ ἐνλαῦθα, ὅτι ὑπὸ τῦ παιδὸς ἀπόλωλε. Πρόσθεν γὰρ ὁ παῖς ἀπηνέχθη τῦ ζῆν. Οὔτε

Βλέψαιμ' ἂν οὕνεκ', οὔτε τῇδ' ἂν ὕςερον.
ΟΙΔ. Καλῶς νομίζεις· ἀλλ' ὅμως τὸν ἐργάτην
Πέμψον τινὰ ςελοῦντα· μηδὲ τοῦτ' ἀφῇς.
ΙΟΚ. Πέμψω ταχύνασ'· ἀλλ' ἴωμεν ἐς δόμους.
Οὐδὲν γὰρ ἂν πράξαιμ' ἂν ὧν οὐ σοὶ φίλον.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Εἴ μοι ξυνείη φέροντι ποῖρα τὰν
Εὔσεπτον ἁγνείαν λόγων
Ἔργων τε πάντων, ὧν νόμοι πρόκεινται
Ὑψίποδες γ' οὐρανίαν δι' αἰθέρα
Τεκνωθέντες· ὧν Ὄλυμπος

τῇδε καὶ ἐνταῦθα ὕςερον, ὅτι ὑπὸ σοῦ πεφόνευται· ὑπὸ τοῦ παιδὸς γὰρ ὁ Ἀπόλλων ἐθέσπισε. Ταῦτα δὲ λέγει ἀποροῦσα περὶ τοῦ φόνου, πῶς ἄρα καὶ γέγονεν.

882. Εἴ μοι ξυνείη φέροντι] εἴθε μοι ξυνοικοίη τὴν ἄχραντον καὶ σεβασμίαν ἀλήθειαν διασώζοντι. Οἷον, εἴθε μοι συνείη εὐτυχία, καὶ λόγων καὶ πραγμάτων ἁγνείαν φυλάττοντι. Μοῖρα δὲ ἡ εὐτυχία. Οἷον, εἰ ἀληθεύω, γένοιτό μοι καὶ εὐτυχεῖν τὸ ἀληθὲς διασώζοντι. Ταῦτα δέ φησι τὴν Ἰοκάςην αἰτιώμενος, ὅτι ἀσεβῶς ἔφη ἔψευσθαι τὸν Ἀπόλλωνα. Φέροντι οὖν τὴν εὔσεπτον ἁγνείαν τῶν λόγων καὶ τῶν ἔργων τῶν περὶ τῶν θεῶν, περὶ ὧν νόμοι πρόκεινται ἔργων καὶ λόγων, τὴν περὶ τούτων λέγοντες ἀκρίβειαν, καὶ τῶν μαντειῶν, ὅτι οὐδὲν αὐτοῖς ὑγιές ἐςιν.

Ib. Εἴ μοι ξυνείη] καταγινώσκων ὁ χορὸς τῆς Ἰοκάςης, καὶ ὡς μὴ δεχομένης τὰς τοῦ Ἀπόλλωνος μαντείας, φησὶν, ἐμοὶ φέροντι τὴν εὔσεπτον ἁγνείαν, (ἤγουν, τὸ πάνσεπτον σέβας τῶν λόγων καὶ τῶν ἔργων πάντων, τοῦτ' ἔςιν, ἐμοὶ σεβομένῳ τὸν λόγον καὶ τὰ ἔργα) εἴθε ξυνείη καὶ συν υπάρχοι μοῖρα καὶ εὐτυχία. Εἰπὼν δ' ἀορίςως τὸ λόγων καὶ τὸ ἔργων, νῦν ὁρίζεται, λέγων, ὧν πρόκεινται νόμοι μεγάλοι, τεκνωθέντες καὶ γεννηθέντες διὰ τὴν οὐρανίαν αἰθέρα, ἤγουν, ἐξ οὐρανοῦ. Δείκνυσι δ' ἐντεῦθεν ὅτι λόγων καὶ ἔργων λέγει τῶν θείων, ὧν ἡ τιμὴ ἐξ οὐρανοῦ νενομοθέτηται, ὡντινῶν νόμων μόνος ὁ Ὄλυμπος πατήρ ἐςιν· ἔςι δὲ ὅμοιον τῷ οὐρανίαν δι' αἰθέρα τεκνωθέντες. Οὐδ' ἔτικτε οὐδ' εξεῦρεν αὐτοὺς τοὺς νόμους ἡ θνητὴ φύσις τῶν ἀνθρώπων, οὐδὲ κατακοιμίσει καὶ καταβαλεῖ αὐτοὺς, καὶ ἀφανίσει λήθη. Τοῦτ' ἔςιν, ἐπεὶ οἱ ἄνθρωποι οὐχ εὗρον τοὺς περὶ τῆς τιμῆς τῶν θεῶν νόμους, ἀλλ' οὐρανόθεν ἦλθον ἡμῖν, οὐδ' ὑπὸ λήθης ἀνθρώπων ἂν κατασβεσθεῖεν. Μέγας ἐν τούτοις θεὸς ὑπάρχει ἡ ἀλήθεια, οὐδὲ γηράσκει· τοῦτ' ἔςιν, ὡς ἀληθεῖς ὄντες οἱ νόμοι ἀεὶ ἔσονται καὶ οὐκ ἀφανισθήσονται. Ἰςέον δὲ ὅτι τινὲς ἀγνοοῦντες, οὐρανίας αἰθέρος λέγουσι διὰ τὸ διά. Τὸ δ' ἐστὶν ὅμοιον τῷ παρ' Αἰσχύλῳ, "Ἱππικῶν τ' ἀΰπνων πηδαλίων διὰ ςόμα." Ἔφαμεν δ' ἐκεῖ τὸν περὶ τούτου λόγον.

Ib. Εἴ μοι ξυνείη] Τὸ τοῦ χοροῦ πᾶν δυσχεραίνοντός ἐστι κατὰ τῆς Ἰοκάστης ὡς παρ' οὐδὲν τιθεμένης τοὺς χρησμοὺς τῶν θεῶν. Εἴθε μοι οὖν, φησὶν, εὐτυχία συνείη ἁγνότητα καὶ λόγων καὶ ἔργων φέροντι, ὧν οἱ νόμοι οὐρανόθεν ἐγεννήθησαν, τουτέςι, οὔτε κατὰ θεῶν βλασφημοῦντι, οὔτε μὴν ἄλλο τι κατ' αὐτῶν ποιοῦντι. Εἴθε συνείη μοι εὐτυχία σώζοντι τὴν διὰ λόγων καὶ ἔργων πάντων εὐσεβῆ καθαρότητα· ὑπὲρ ὧν, ἤγουν, τῶν εὐσεβῶν λόγων καὶ ἔργων, νόμοι πρόκεινται ὑψηλοὶ καὶ ἔντιμοι δι' αἰθέρος γεννηθέντες, ἤγουν οὐρανόθεν· ὧν νόμων δηλονότι μόνος πατὴρ ὁ Ὄλυμπος, οὐδὲ θνητὴ φύσις ἀνδρῶν ἐγέννησεν αὐτούς. Οὐδὲ μήν ποτε λήθη κατακοιμάσει, ἀντὶ τοῦ, κατακοιμίσει, ἀφανίσει· μέγας ἐν τούτοις θεὸς οὐδὲ γηράσκει, ἤγουν, μεγάλη θεοῦ δύναμις ἐν τούτοις ἐςὶν ἀτελεύτητος.

885. Οὐρανίαν δι' αἰθέρα] ἀντὶ τοῦ, ἐν οὐρανῷ τεχθέντες.

886. Ὧν Ὄλυμπος] ὧν νόμων τῶν ὀρθῶς ἐχόντων.

887. Οὐδὲ

Πατὴρ μόνος, οὐδέ νιν θνατὰ
Φύσις ἀνέρων ἔτικτεν, οὐδὲ
Μήν ποτε λάθα κατακοιμάσει.
Μέγας ἐν τούτοις θεὸς,
Οὐδὲ γηράσκει.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

Ὕβρις φυτεύει τύραννον· ὕβρις, ἢν *
Πολλῶν ὑπερπλησθῇ μάταν,
Ἃ μὴ ἐπίκαιρα μηδὲ συμφέροντα
Ἀκροτάταν εἰσαναβᾶσ' ἀπότομον,
Ἀνώρουσεν εἰς ἀνάγκαν·

* Aldus, εἰ.

887. Οὐδέ νιν θνατὰ φύσις] οὔτε ὑπὸ ἀνθρώπων εὕρηται ὁ περὶ θεῶν λόγος.

890. Μέγας ἐν τούτοις θεὸς] ἐν τοῖς νόμοις μέγας ἐςὶν ὁ θεός. Τουτέςι, θεία δύναμις καὶ μεγάλη τοῖς νόμοις ἔνεςι.

892. Ὕβρις φυτεύει] ὁ νοῦς. Ἡ ἀδικία εἰς μέγιςον κακὸν ἐνέβαλε τοὺς χρωμένους· τουτέςιν, ἡ ἀδικία ἰσχυροποιεῖ τὸν τύραννον. Ὅταν δὲ πολλῶν ὑπερπλησθῇ μάτην μὴ ἁρμοδίων μηδὲ συμφερόντων εἰς μεγίςην ἀνάγκην ἐμπίπτει. Ὅταν πολλὰ διαπράξηται ὑβριςικὰ εἰς μεγίςην ἀνάγκην ἐμπίπτει.

Ib. Ὕβρις φυτεύει τύραννον.] διὰ τῆς ὕβρεως φύεται καὶ ἀνανεοῦται ὁ τύραννος. Ὅταν (φησὶ) πολλὰ διαπράξηται, τότε εἰς μεγάλα ἐμπίπτει διὰ τῆς ὕβρεως ἐπαρθείς. Ταῦτα μέν φησι περὶ τῆς Ἰοκάςης, ὅτι ἀνεπιτήδεια λέγει περὶ τῶν θείων νόμων. Τὸν δὲ λόγον ποιοῦσι περὶ τῆς τυραννίδος, ἵνα μὴ δόξωσιν ἐμφανῶς αὐτὴν διελέγχειν. Ὁ δὲ νοῦς, ὕβρις φυτεύει τύραννον, ὁπόταν πολλῶν ὑπερπλησθῇ μάτην, ἃ ἐςι μηδὲ ἐπίκαιρα, μηδὲ ἑαυτῷ ἐκείνῳ συμφέροντα. Ἀσυνδέτως δὲ εἶπεν. Ὕβρις (φησὶ) μηδὲν καίριον διαπατιομένη, εἰς δύσβατον ἀκρώρειαν ἀναβιβάσασα τοὺς χρωμένους αὐτῇ, κατεκρήμνισεν. ἢ οὕτως, ἀπότομον ὤρουσεν εἰς ἀνάγκην, ἥλατο εἰς τοῦτο ὥςε αὐτὸν εἰς ἀνάγκην γενέσθαι, ὑφ' ἑτέρων κρατηθῆναι.

Ib. Ὕβρις φυτεύει] ἤγουν, ἡ ὑπεροψία ποιεῖ τύραννον. Τοῦτ' ἔςιν, ἡ ὑπεροψία κακοὺς καὶ ἀνόμους (τοιοῦτοι γὰρ οἱ τύραννοι) ἐργάζεται τοὺς αὐτὴν ἔχοντας, ὥςε καὶ Ἰοκάςη ἐξ ὑπεροψίας τοῦ Ἀπόλλωνος ἠτίμασε λόγον. Ἐὰν ὑπερπλησθῇ ἡ ὕβρις μάτην πολλῶν, ἃ οὐκ ἔςιν ἐπίκαιρα καὶ πρέποντα μηδὲ συμφέροντα τῷ αὐτὴν ἔχοντι, εἰς ἀκροτάτην ἀπότομον καὶ τραχεῖαν εἰσαναβᾶσα, ἤγουν, εἰς ἄκρον κακίας ἐλάσασα καὶ κορυφωθεῖσα, ἀνώρουσε καὶ ὥρμησε καὶ πέπτωκεν εἰς ἀνάγκην, ὅθι καὶ ὅπου οὐ χρῆται ποδὶ χρησίμῳ. Τοῦτ' ἔςιν, ὑβριςαὶ καὶ ἄνομοι, ὁποία ἡ Ἰοκάςη, αὐξηθέντες εἰς ἄκρον, ἔπειτα εἰς τὴν τοιαύτην ἀνάγκην πίπτουσιν ὡς δυςυχῶς καὶ αθέως τὸν αἰῶνα διάγειν. Εἰρηται δ' ἐκ μεταφορᾶς τῶν ἐκ κρημνοῦ πιπτόντων καὶ συντριβόντων τοὺς πόδας, ὡς μὴ δύνασθαι πορεύεσθαι.

Ib. Ὕβρις φυτεύει] ἤγουν, καταφρόνησις καὶ ὑπερηφανία αὐξάνει βασιλέα ἐν ἑαυτῇ. Δηλονότι, ὕβρις εἴποτε ὁ τύρανιος δηλονότι πολλῶν ὑπὲρ τὸ μέτρον πληρωθῇ ματαίως ἐκείνων ἃ μὴ εὔκαιρα μηδὲ συμφέροντα αὐτῷ. Δηλονότι, ἀναβάσασα εἰς ἀκρότατον ἀποῤῥῶγα ἔῤῥιψεν ἐκεῖθεν εἰς δυςυχίαν, ἔνθα οὐ πορείᾳ συμφεροῦσῃ καὶ ὠφελίμῳ χρῆται.

897. Ὅθ'

Ὅθ' ἐ ποδὶ χρησίμῳ χρῆται.
Τὸ καλῶς δ' ἔχον πόλει πάλαισμα
Μήπ[ο]ε λῦσαι θεὸν αἰτῶμαι.
Θεὸν ἐ λήξω ποτὲ
Προσάταν ἴσχων.

ΣΤΡΟΦΗ Β.

Εἰ δέ τις ὑπέροπλα χερσὶν
Ἢ λόγῳ πορεύ[ε]αι
Δίκας ἀφόβη[ο]ς, ἀδὲ
Δαιμόναν ἕδη σέβων,
Κακά γιν ἕλοι[ο] μοῖρα,
Δυσπότμε χάριν χλιδᾶς,
Εἰ μὴ τὸ κέρδος κερδανεῖ δικαίως,
Καὶ τῶν ἀσέπ[τ]ων ἔρξ[ε]αι,

897. Ὅθ' ἐ ποδὶ χρησίμῳ] ἀντὶ τῦ, ἀχρήσας τὰς πορείας ποιεῖται· καὶ εἰ μὲν ἐπὶ τῦ ὑπὸ ὕβρεως δυσσεβοῦς, ἔσαι ἔτως, ἐ βαδίζει ὀρθὴν ὁδόν, ἀδὲ χρῆται τοῖς ποσὶ δεόντως· εἰ δὲ ἐπὶ τῦ ὑπὸ ἀνάγκης βιαζομένε, ἐ χρῆται τοῖς αὐτοῖς ποσίν.

898. Πάλαισμα] ζήτησιν τῦ φόνε τῦ Λαΐε.

899. Μήπ[ο]ε λῦσαι θεὸν αἰτῶμαι] ἀξιῶ τὸν Θεὸν μὴ λῦσαι τὸ συμφέρον τῇ πόλει, ἐξ ἧ κρα[ε]ῖ τῶν ἀνλιπάλων.

902. Εἰ δέ τις ὑπέροπλα χερσὶν] εἰ δέ τις πορεύ[ε]ιαι καὶ διάγει ὑπέροπλα, καὶ σοβαρῶς καὶ ἐν χερσὶ καὶ ἐν λόγῳ, (τῦτ' ἔζι καὶ οἷς πράτ[ε]ι καὶ οἷς λέγει) ἀφόβη[ο]ς τῆς Θείας δίκης, ἀδὲ σέβων καὶ τιμῶν τὰ ἕδη καὶ εἰδώλα τῶν δαιμόνων, ἤτοι, τὰς Θεὰς, ἕλοι[ο] καὶ λάβοι νὴν καὶ αὐτὸν κακὴ μοῖρα καὶ τύχη, χάριν καὶ ἕνεκα τῆς τρυφῆς, καὶ τῆς ὑπερο[ε]ίας ἣν πρὸς τὰς Θεὰς ἔχει, τῆς δυσπότμε καὶ δυσυχῦς. Μέγιστον γὰρ ἀτύχημα ἡ ἀσέβεια. Εἰ μὴ κερδανεῖ δικαίως τὸ κέρδος. Ἤγεν, ἐὰν μὴ τὰ τῆς ὑπερο[ε]ίας ἄθλα δικαίως λάβῃ τιμωρηθείς. Καὶ ἔρξ[ε]αι καὶ κωλυθῇ τῶν ἀσεπ[τ]ων καὶ ἀσεβῶν ἐγχειρημάτων. Ἢ ἔρξ[ε]αι καὶ κωλυθῇ πάλιν τῶν ἀθίκτων καὶ ἀπροσ[ε]αύκων, καὶ ὧν ἀδεὶς ἅπ[τ]εται ἀσεβῶν ἐγχειρημάτων, μαλάζων καὶ μαλαιοποιῶν. Τίς ἄρα ἀνὴρ ἔτι καὶ εἰς τὸ ἑξῆς, ἐν τοῖσδε, ἤγεν, ἐν τῷ μὴ τιμωρεῖσθαι τὰς κακὰς, ἔρξ[ε]αι καὶ κωλυθήσ[ε]αι τῆς κακίας, δηλονότι τῷ Θυμῷ, ἤγεν, οἰκοθεν, ὥσ[ε] ἀμύνειν καὶ ἀποσοβεῖν δι' εὐχῶν καὶ Θυσιῶν τὰ βέλη τῆς ψυχῆς, ἤγεν, τὰ ἁμαρτήματα; ἤγεν, ἀδεὶς τὰς κακὰς ὁρῶν ἀπαθεῖς, ἐπισροφὴν ποιήσ[ε]αι τῶν οἰκείων πλημμεληθμάτων, καὶ πρὸς τὰς Θεὰς καλαφεύξ[ε]αι.

904. Δίκας ἀφόβη[ο]ς] τὴν δίκην μὴ δεδοικώς.

Ib. Ἀφόβη[ο]ς] Καὶ ἀδεὴς διδασκάλε λέγεις καὶ τὸν ἄνθρωπον, καὶ ἄφοβος διδασκάλε, τὴν δίκην μὴ δεδοικώς. Ἔξω τῦ φόβε τῆς δίκης.

907. Δυσπότμε χάριν χλιδᾶς] ἕνεκα (φησὶ) τῆς ἀνσίε τρυφῆς καὶ ὑπερηφανίας. Ὑπὸ τρυφῆς γὰρ καὶ ἐπὶ τὰ αὐτὰ οἱ τύραννοι παραγίγονλαι.

909. Καὶ τῶν ἀσεπ[τ]ων] ὁ τοιῦτος ἐν καμῇ εἴη μοίρᾳ, ὃς μὴ ἀφεξ[ε]ίαι τῶν ἀσεπ[τ]ων, ἢ ἔξ[ε]αι

Ἢ τῶν ἀθίκτων ἕξεται μαλάζων.
Τίς ἔτι πότ' ἐν τούτοις * ἀνὴρ
Θυμῷ βέλη ἔρξεται
Ψυχᾶς ἀμύνειν; εἰ γὰρ αἱ
Τοιαίδε πράξεις τίμιαι,
Τί δεῖ με χορεύειν;

ΑΝΤΙΣΤΡΟΦΗ Β.

Οὐκέτι τὸν ἄθικτον εἶμι
Γᾶς ἐπ' ὀμφαλὸν σέβων,
Οὐδ' εἰς τὸν Ἀβαῖσι ναὸν,

* Aldus, τοῖσδ'.

ἢ ἕξεται τῶν ἀθίκτων. Ὅ ἐςιν ὧν ὐ χρὴ ἔχεσθαι.

Ib. Ἔρξεται] παύσεται, ἔκτος ἔςαι. Ἕξεται δὲ, ἀντὶ τοῦ, ἐπιθυμήσει τῶν ἀσέπτων καὶ ἀθίκτων.

910. Μαλάζων] μαλαιοφρονῶν.

Ib. Μαλάζων] Τὸ ἀξίωμα τῆς βασιλείας ὁ τύραννος. Τὸ καὶ, ἀντὶ τῆς ἀλλά. Τοιαῦτα μάταια ποιῶν, μαλαιάζων.

911. Τίς ἔτι ποτ'] Τίς ἔτι τῶν ἀδίκων ἀφέξεται, τῷ θυμῷ αὐτοῦ τὰς τῆς ψυχῆς κακίας ἀπελαύνων; ἢ, ὅτις ἂν ἀπελάσειεν αὐτοῦ τὴν τιμωρίαν τοιαῦτα πράττων.

913, 914. Εἰ γὰρ αἱ τοιαίδε πράξεις] ἤγουν, εἰ αἱ κακαὶ πράξεις τίμιαι καὶ καλαὶ, τί δεῖ με χορεύειν καὶ πανηγύρεις ἱςάναι τοῖς θεοῖς, αἰτούμενον τὰ λυσιτελῆ, ἐὰν μὴ ἁρμόσῃ πᾶσι τοῖς βροτοῖς τάδε χειρόδεικτα καὶ φανερά; τοῦτ' ἔςιν, εἰ μὴ ἑνὶ ἑκάςῳ ἁρμοδίως παρέσται ἐκ τῶν θεῶν τὰ τῆς προαιρέσεως ἔπαθλα, τῷ μὲν κακῷ κακὰ, τῷ δ' ἀγαθῷ ἀγαθά· ἀλλὰ πάντες ἐπίσης μετέχοιεν τῶν θεῶν, ὐκέτι εἶμι καὶ πορεύσομαι ἐπὶ τὸν ἄθικτον καὶ σεβάσμιον ὀμφαλὸν τῆς γῆς, ἤγουν, εἰς τὸν Ἀπόλλωνα, σέβων καὶ τιμῶν αὐτόν. Οὐδὲ εἰς τὸν Ἀπόλλωνος ναὸν τὸν ἐν Ἀβαῖσι καὶ ἐν Λυκίᾳ· (Ἀβαὶ γὰρ τόπος Λυκίας) ὐδ' εἰς τὴν Ὀλυμπίαν, ἤτοι τὸν Δία. Ἀλλ', ὦ Ζεῦ, ὁ κρατῶν καὶ ἐξουσιάζων πάντα καὶ ἀνάσσων, εἴπερ ὄρθως, Ζεῦ, ἀκούεις καὶ ὀνομάζῃ, ὥσπερ ἂν εἶ, μήτε σε, μήτε τὴν σὴν ἀθάνατον αἰὲν ἀρχὴν λάθῃ τοῦτο, τὸ τοὺς κακοὺς τετιμωρῆσθαι· ἀλλὰ μέχρις ἂν ἡ σὴ ἀρχὴ ἐπέχοι, κολάζοιντο οἱ κακοί. Ἐξαίρουσι γὰρ καὶ ἐκβάλλουσι καὶ ἀτιμάζουσιν ἤδη καὶ νῦν, φθίνοντα καὶ ἀτιμαζόμενα τὰ παλαιὰ θέσφατα καὶ μαντεύματα τοῦ Λαΐου. Τοῦτ' ἔςι, τὸν πάλαι δοθέντα παρ' Ἀπόλλωνος τῷ Λαΐῳ χρησμὸν, ὡς ὑπὸ παιδὸς τεθνήξεται, Ἰοκάστη νῦν ἀτιμάζει, καὶ ψευδῆ οἴεται, καὶ ὐδαμῶς ὁ Ἀπόλλων ἐμφανὴς ὑπάρχει ἐν ταῖς τιμαῖς, ἀλλ' εἰς ὐδὲν τὰ ἐκείνου λογίζεται καὶ ἀτιμάζεται. Ἔρρει δὲ καὶ ἐφθάρη καὶ καταπεφρόνηται τὰ θεῖα. Ἰστέον δ' ὅτι τὸ τῆς ἀντιστροφῆς δέκατον κῶλον, τὸ φθίνοντα δ', ὡς ἐμοὶ δοκεῖ, ἐλλιπὲς ἦν πρὸς τὸ τῆς στροφῆς· διὸ καὶ προσετέθη παρ' ἐμοῦ, τὸ, ὡς ἐμοὶ δοκεῖ· ὅπως ὁλόκληρον καὶ τοῦτο γένηται. Καὶ οἶμαι ὡς καλῶς προσετέθη· εἰ δέ τις βέλτιόν τι νοήσει, τοῦτο τεθήτω.

916. Οὐκέτι τὸν ἄθικτον εἶμι] ὐκ ἔτι ἄπειμι πρὸς τὸν Ἀπόλλωνα, ὐδὲ πρὸς τὸν ἄχραντον καὶ ἀπροσπέλαστον αὐτοῦ νεών.

918. Ἀβαῖσι ναὸν] Ἄβαι, τόπος Λυκίας, ἔνθα ἱερόν ἐστιν Ἀπόλλωνος· ἢ διὰ τῶν Σαμίων, ὅτι καὶ ἐκεῖ μαντεύονται· ὡς καὶ Πίνδαρος. Ἢ ἐπὶ τῶν πανηγύρεων· ὅτι καὶ τῶν τοιούτων ἀφέξομαι, εἰ μὴ ταῦτα φανερωθῶσιν.

920. Εἰ

Οὐδὲ τὰν Ὀλυμπίαν,
Εἰ μὴ τάδε χειρόδεικτα
Πᾶσιν ἁρμόσει βροτοῖς.
Ἀλλ', ὦ κραίπνων, εἴπερ ὀρθ' ἀκούεις,
Ζεῦ, πάντ' ἀνάσσων, μὴ λάθῃ
Σε τάν τε σὰν ἀθάνατον αἰὲν ἀρχάν.
Φθίνοντα δ' *, ὡς ἐμοὶ δοκεῖ,
Τὰ Λαΐου θέσφατ' † ἐξ-
αίρεσιν ἤδη, κἀδαμῆ
Τιμαῖς Ἀπόλλων ἐμφανής·
Ἔρρει δὲ τὰ θεῖα.

IAMBOI.

ΙΟΚ. Χώρας ἄνακτες, δόξα μοι παρεσάθη
Ναὸς ἱκέσθαι δαιμόνων, τάδ' ἐν χεροῖν
Στέφη λαβόσῃ κἀπιθυμιάματα.
Ὑψοῦ γὰρ αἴρει θυμὸν Οἰδίπους ἄγαν ‡
Λύπαισι παντοίαισιν· ἐδ' ὁποῖ' ἀνὴρ

* Aldus, γὰρ. † Aldus, παλαιὰ θέσφατ'. ‡ Turn. in marg. ἀναξ.

920. Εἰ μὴ τάδε] εἰ μὴ ταῦτα τῶν χρησμῶν τὰ λεχθέντα ὑπὸ Ἰοκάστης, φανερὰ καὶ καθάπλα γένηται, ἐκ ἔτι τιμήσω θεούς.

922. Ὀρθ'] ἀντὶ τοῦ, ὀρθῶς, ἀσφαλῶς. Οἱ παλαιοὶ χρησμοὶ οἱ δοθέντες τῷ Λαΐῳ.

925. Φθίνοντα] ἀντὶ τοῦ, παλαιὰ, παρελληλυθότα. Γράφεται φθίναν· ἵν' ᾖ, μὴ λάθοι σε ὁ Λάϊος φθίνων, ἀλλὰ δείξαις αὐτῷ τὸν θάνατον. Τὰ γὰρ περὶ Λαΐου μανθεύματα ἐκβάλλησι· καὶ ἃ παραδέχονται τὰ παρὰ τῶν θεῶν εἰρημένα, ὡς ἀληθῆ.

926. Τὰ Λαΐου] ἀντὶ τοῦ, καὶ ἐν ὀδενὶ φαίνεται ὁ Ἀπόλλων τιμώμενος.

927. Ἐξαίρεσιν] ἀφανίζουσι. Τὰ γὰρ ἐπὶ Λαΐῳ θεσπισθέντα ἐκφαυλίζεται ὑπὸ Ἰοκάστης, καὶ παραγράφεται, καὶ ψευδῆ νομίζεται.

930. Χώρας ἄνακτες] ἀνακτὰς φησι τὰς τοῦ χωροῦ, οἷον, βασιλικὰς καὶ ἐνδίμους.

Ib. Χώρας ἄνακτες] ἐξέλευσις Ἰοκάστης θυσίαν ποιησομένης ἐπὶ τοῖς συμβᾶσιν Οἰδίποδος.

932. Κἀπιθυμιάματα] ἀντὶ τοῦ, θυμιάματα, ὡς ἐπιθέτου ὁ ἀνήρ.

933. Ὑψοῦ γὰρ αἴρει] ἀντὶ τοῦ, μεθεωρίζεται τὴν ψυχὴν, καὶ ὑπερβαλλόντως ἀχθεται, πάντα λογιζόμενος, αὐτὸν τὸν φόνον, τὸ τὴν γυναῖκα ἔχειν τοῦ ἀγρηκότος, τὴν προσδοκωμένην φυγὴν, τὸ μὴ δύνασθαι ἀναστρέψαι πρὸς τὴν οἰκείαν, τὸ δέος τῶν χρησμῶν.

Ib. Αἴρει θυμὸν] ἐκ ὀργὴ, ἀλλὰ λύπη.

934, 935. Οὐδ' ὁποῖ' ἀνὴρ ἔννους] ἐχ ὡς συνετὸς ἀνὴρ διὰ τῶν φθασάντων τὰ παρόντα γινώσκει. Εἰ γὰρ ὁ ὑπὸ Ἀπόλλωνος δοθεὶς τῷ Λαΐῳ χρησμὸς ἠκύρωται, δῆλον ὅτι καὶ ἃ νῦν ἐμανθεύσατο ὁ Τειρεσίας, ψευδῆ ἐστίν.

935. Τὰ

Ἔννυς, τὰ καινὰ τοῖς πάλαι τεκμαίρεται.
Ἀλλ' ἔςι τῦ λέγοντος, εἰ * φόβυς λέγοι †.
Ὅτ' ὦν παραινῦσ' ὐδὲν ἐς πλέον ποιῶ,
Πρός σ', ὦ Λύκει' Ἄπολλον, (ἄγχιςος γάρ εἶ)
Ἱκέτις ἀφῖγμαι τοῖσδε σὺν κατεύγμασιν,
Ὅπως λύσιν τιν' ἡμῖν εὐαγῆ πόροις ‡.
Ὡς νῦν ὀκνῦμεν πάντες, ἐκπεπληγμένον
Κεῖνον βλέποντες ὡς κυβερνήτην νεώς.

ΑΓΓ. Ἆρ' ἂν παρ' ὑμῶν, ὦ ξένοι, μάθοιμ' ὅπυ
Τὰ τῦ τυράννυ δώματ' ἐςὶν Οἰδίπυ;
Μάλιςα δ' αὐτὸν εἴπατ', εἰ κάτισθ' ὅπυ.

ΧΟΡ. Στέγαι μὲν αἵδε· καὐτὸς ἔνδον, ὦ ξένε.
Γυνὴ δὲ μήτηρ ἥδε τῶν κείνυ τέκνων.

ΑΓΓ. Ἀλλ' ὀλβία τε καὶ ξὺν ὀλβίοις ἀεὶ
Γένοιτ' ἐκείνυγ' ὦσα παντελὴς δάμαρ.

* Aldus, ἦν. † Aldus, λέγη. ‡ Ald. Turn. πόρῃς.

935. Ἔννυς] τὰς νεὺς χρησμὰς τεκμαίρεται, ἤγυν, συμβάλλει διὰ τῶν πάλαι, ἤγυν, πρὸμακρῦ χρησμῶν.

Ib. Τὰ καινὰ τοῖς πάλαι] ἤγυν, τὺς νῦν χρησμὺς διὰ τῶν παλαιῶν συμβάλλει, τῶν εἰρηκότων ὅτι Λάϊος ὑπὸ παιδὸς τεθνήξεται.

936. Ἀλλ' ἔςι τῦ λέγοντος] μόνοις προσέχει τοῖς τὰ δεινὰ καὶ φοβερὰ ἀπαγγέλλυσι. Τῶν δὲ παραμυθυμένων ὐκ ανέχεται.

938. Πρός σ', ὦ Λυκει' Ἄπολλον] Λύκειον, γυμνάσιόν ἐςιν Ἀθήνῃσιν ἔνθα Ἀπόλλων τιμᾶται. Καὶ Καλλίμαχος·

"Ἐγὼ δ' ἤνθησα Λυκείυ
"Καλὸν ἀεὶ λιπόωνία
"Κατὰ δρόμον Ἀπόλλωνος."

Ἄγχιςος ὦν, καθὸ ὐ πόῤῥω τῆς Ἀτικῆς αἱ Θῆβαι. Ἢ καὶ ἐν Θήβαις ὁμώνυμον ἦν γυμνάσιον Λυκείυ Ἀπόλλωνος. Νῦν ὦν, ὦ τὸν ἐν Λυκίᾳ, ἀλλ' ἢ τὸν ἐν Θήβαις ἢ ταῖς πλησιοχώροις Ἀθήναις τιμώμενον.

939. Σὺν κατεύγμασιν] ἤγυν, τοῖς κινῦσι κατάνευσιν τῶν εὐχῶν· ἤγυν, τοῖς θυμιάμασι καὶ ἀναθήμασιν.

940. Εὐαγῆ πόροις] ἤγυν, ἵνα λύσιν εὐαγῆ τῆς παρύσης ἀνάγκης τῦ Οἰδίποδος παράσχης, ἤγυν, ἁγνὴν καὶ ἱεράν· ἐναντίον δὲ τῷ εὐαγεῖ τὸ ἐναγές.

943. Ἆρ' ἂν παρ' ὑμῶν] ἔρχεται ἄγγελος ἀπὸ Κορίνθυ, ἀπαγγέλλων τὸν θάνατον Πολύβυ, καὶ ἀντ' αὐτῦ τύραννον τὸν Οἰδίποδα αἱρεῖσθαι. Οὗτος δέ ἐςιν ὁ ἐκτεθέντα τὸν Οἰδίποδα εὑρὼν, καὶ δὺς Πολύβῳ.

Ib. Ἆρ' ἂν παρ'] ἄφιξις ἀγγέλυ τινὸς ἐκ Κορίνθυ, ἀπαγγέλλοντος τὸν θάνατον Πολύβυ, καὶ μετακαλυμένυ Οἰδίποδα, ὥςε ἄρχειν τῆς χώρας.

947. Γυνὴ δὲ μήτηρ] κἀνταῦθα ἔθηκε τὸ ἀμφίβολον, ὃ τέρπει τὸν ἀκροατήν.

949. Ἐκείνυγ' ὦσα παντελὴς δάμαρ] Τῦτο πρὸς τὸ, γυνή τε μήτηρ τε τῶν κείνυ τέκνων. Τῦτο γὰρ τέλειον ἐν γάμῳ. Ὅθεν καὶ ἐκ τῦ ἐναντίυ Ὅμηρός φησι·

"Καὶ δόμος ἡμιτελής."

Ib. Παντελὴς δάμαρ] τελεία, νόμιμος· ὕτως, εἰ πρὸς τὸ δάμαρ συνάψεις· εἰ δὲ πρὸς τὸ ὀλβία, τελεία μόνον.

ΙΟΚ. Αὕτως δὲ καὶ σύγ', ὦ ξέν'· ἄξιος γὰρ εἶ
Τῆς εὐεπείας ὕνεκ'· ἀλλὰ φράζ' ὅτȣ
Χρῄζων ἀφῖξαι, χῷ, τι σημῆναι θέλων.
ΑΓΓ. Ἀγαθὰ δόμοις τε καὶ πόσει τῷ σῷ, γύναι.
ΙΟΚ. Τὰ ποῖα ταῦτα; πρὸς * τίνος δ' ἀφιγμένος;
ΑΓΓ. Ἐκ τῆς Κορίνθȣ· τὸ δ' ἔπος ὃ ἐξερῶ † τάχα,
Ἥδοιο μέν· πῶς δ' ȣ̓κ ἄν; ἀσχάλλοις δ' ἴσως,
ΙΟΚ. Τίδ' ἔςι; ποίαν δύναμιν ὧδ' ἔχει διπλῆν;
ΑΓΓ. Τύραννον αὐτὸν ȣ̓ 'πιχώριοι χθονὸς
Τῆς Ἰσθμίας ςήσȣσιν, ὡς ηὐδᾶτ' ἐκεῖ·
ΙΟΚ. Τίδ' ȣ̓χ ὁ πρέσβυς Πόλυβος ἐγκρατὴς ἔτι;
ΑΓΓ. Οὐ δῆτ'· ἐπεί νιν θάνατος ἐν τάφοις ἔχει.
ΙΟΚ. Πῶς εἶπας; ἦ τέθνηκέ πȣ Πόλυβος γέρων;
ΑΓΓ. Εἰ μὴ λέγω τἀληθὲς, ἀξιῶ θανεῖν.
ΙΟΚ. Ὦ πρόσπολ', ȣ̓χὶ δεσπότῃ τάδ' ὡς τάχος
Μολȣ̃σα λέξεις; ὦ θεῶν μαντεύματα,
Ἵν' ἐςέ; τȣ̃τον Οἰδίπȣς πάλαι τρέμων
Τὸν ἄνδρ' ἔφευγε μὴ κτάνῃ· καὶ νυν ὅδε
Πρὸς τῆς τύχης ὄλωλεν, ȣ̓δὲ τȣ̃δ' ὕπο.

* Aldus, παρὰ. † Ald. ȣ̓ξερω.

956. Ἥδοιο μὲν] διὰ μὲν τὸ εὖ πράσσειν, καὶ ἑτέρας ἀρχῆς ἀντιλαβέσθαι, ἡσθήσεσθαί φησιν αὐτήν· ἀσχαλεῖν δὲ δὴ τῷ ἀπιέναι Οἰδίπȣν ἐπὶ τὰ οἰκεῖα.

Ib. Ἥδοιο μὲν] εὐφρανθείης μὲν διότι ὁ σὸς πόσις καὶ ἑτέρας βασιλείας ἐγκρατὴς μέλλει γενήσεθαι· λυπηθείης δὲ εἰ τὸν τȣ̃ σȣ̃ κηδεςȣ̃ θάνατον ἀκȣ́σαις.

958. Τύραννον αὐτὸν] πιθανῶς ὁ ἄγγελος τὰ ἡδέα πρῶτον ἀπαγγέλλει, πρὶν εἰπεῖν τὰ περὶ θανάτȣ.

Ib. Οὐ 'πιχώριοι] τὸ ο καὶ ε, εἰς τὴν ȣ διαφθείρεται ἐκβολῇ τȣ̃ ι.

959. Τῆς Ἰσθμίας] τῆς Κορινθίας, τῆς ἐν τῷ ἰσθμῷ τῆς Πελοποννήσȣ κειμένης.

Ib. Στήσȣσιν] καταλάξȣσι· καταςήσȣσιν.

960. Ἐγκρατὴς] ȣ̓κέτι ἐςὶν ἐγκρατὴς ὁ γηραιὸς Πόλυβος.

961. Οὐ δῆτ'] ȣ̓δαμῶς· ȣ̓κ ἔςι.

962. Ἦ τεθνηκε] ἆρα καὶ ἦ, ἀντὶ τȣ̃, ὄντως.

964. Ὦ πρόσπολ'] θεραπαινίδι κελεύει τȣ̃το ἡ Ἰοκάςη· ἀσμένως γὰρ ἀκήκοε τὰ περὶ τȣ̃ θανάτȣ, ἵνα πᾶλιν ἀναλρέψῃ τὰ μαντεύματα· οἶδε γὰρ τὸν Οἰδίποδα τȣ̃τον δεδοικότα.

966. Ἵν' ἐςέ] ὅπȣ ἐςὲ· καὶ ἔγκειται παιδευτικόν τι τῷ δράματι, ὡς ȣ̓ δεῖ καταφρονεῖν τῶν θείων. Οἱ γὰρ τοιαῦτα φθεγξάμενοι, μετ' ὀλίγον φανήσονται οἷοί εἰσι.

Ib. Πάλαι

ΟΙΔ. Ὦ φίλταλον γυναικὸς Ἰοκάστης κάρα,
Τί μ' ἐξεπέμψω δεῦρο τῶνδε δωμάτων;
ΙΟΚ. Ἄκουε τἀνδρὸς τῆδε, καὶ σκόπει κλύων
Τὰ σέμν' ἵν' ἥκει τῇ θεῇ μαντεύματα.
ΟΙΔ. Οὗτος δὲ τίς ποτ' ἐστί, καὶ τί μοι λέγει;
ΙΟΚ. Ἐκ τῆς Κορίνθου, πατέρα τὸν σὸν ἀγγελῶν *
Ὡς ἐκέτ' ὄντα Πόλυβον, ἀλλ' ὀλωλότα.
ΟΙΔ. Τί φῄς, ξέν'; αὐτός μοι σὺ σημάντωρ γένου †.
ΑΓΓ. Εἰ τοῦτο πρῶτον δεῖ μ' ἀπαγγεῖλαι σαφῶς,
Εὖ ἴσθ' ἐκεῖνον θανάσιμον βεβηκότα.
ΟΙΔ. Πότερα δόλοισιν, ἢ νόσου ξυναλλαγῇ;
ΑΓΓ. Σμικρὰ παλαιὰ σώματ' εὐνάζει ῥοπή.
ΟΙΔ. Νόσοις ὁ τλήμων, ὡς ἔοικεν, ἔφθιτο.
ΑΓΓ. Καὶ τῷ μακρῷ γε συμμετρήσαντι χρόνῳ.
ΟΙΔ. Φεῦ, φεῦ, τί δῆτ' ἄν, ὦ γύναι, σκοποῖτό τις
Τὴν πυθόμαντιν ἑστίαν, ἢ τοὺς ἄνω
Κλάζοντας ὄρνις; ὧν ὑφηγητῶν, ἐγὼ
Κτανεῖν ἔμελλον πατέρα τὸν ἐμόν· ὁ δὲ θανὼν
Κεύθει κάτω δὴ γῆς· ἐγὼ δ' ὁδ' ἐνθάδε,

* Ald. Turn. in marg. ἀγγελῶν. † Ald. γενοῦ.

Ib. Πάλαι πρεμών] ἐκ μακροῦ φοβούμενος. Τοῦτον τὸν ἄνδρα φοβούμενος ὁ Οἰδίπους ἐκ μακροῦ, ἵνα μὴ κλάνῃ, ἔφευγεν, ἤγεν, ἀπεδήμει ἐξόριστος ἐγίνετο.

969. Ὦ φίλταλον Ἰοκάστης κάρα] ἀντὶ τοῦ, ὦ φιλτάτη Ἰοκάστη.

971. Σκόπει κλύων] δοκίμαζε.

977. Εἰ τοῦτο πρῶτον δεῖ μ' ἀπαγγέλλειν] ἠθικῶς ὁ ἄγγελος ἐχ ὡς ἀπὸ τούτων θέλων ἄρξασθαι, ἀλλ' ἀπὸ τῶν ἡδέων.

979. Ξυναλλαγῇ] κοινωνίᾳ νόσου, ἀντὶ τοῦ, ὑπὸ νόσου.

980. Σμικρὰ παλαιὰ] ἡ τυχοῦσα πρόφασις ἐξαρκεῖ ὥστε τὸ παλαιὸν σῶμα ἐξευνοῦσθαι τῇ βίᾳ.

Ib. Σμικρὰ—ῥοπὴ] ἤγουν, βάρος εὐνάζει, ἤγουν, καλαστρέφει παλαια σώματα, τουτέστι, πολυχρόνια. Καλαστρέφει, καλακωμίζει.

Ib. Εὐνάζει] καλακωμίζει.

982. Καὶ τῷ μακρῷ γε] τοῦτο ὁ ἄγγελός φησιν ὡς παραμυθούμενος, ὅτι μακραίων ἀπέθανε, καὶ ὃ δεῖ ἐπ' αὐτῷ ἀπολοφύρεσθαι.

983. Φεῦ, φεῦ] εὐθυμία Οἰδίποδος ἀκέσαντος φυσικῷ θανάτῳ τεθνηκέναι τὸν Πόλυβον. Καὶ ἀναζήτησις τῆ οἰκείᾳ γένους.

985. Ὧν ὑφηγητῶν] ὑφ' ὧν μαντείαν δεχόμενος, τῶν ὀρνεοσκόπων καὶ μάντεων.

987. Κεύθει κάτω δὴ γῆς] ἀντὶ τοῦ, κεύθεται, κρύπτεται· καὶ ἐν Ἀντιγόνῃ, Μηδὲς δ' ἐν ᾅδου καὶ παλαιὸς κεκευθότων.

Ἄψαυστος ἔγχυς, εἴ τι μὴ τῷ᾽ μῷ πόθῳ
Καλέφθιθ᾽· ἕτω δ᾽ ἂν θανὼν εἴη ᾽ξ ἐμοῦ.
Τάδ᾽ ἓν παρόντα συλλαβὼν θεσπίσματα,
Κεῖται παρ᾽ ἁδὴ Πόλυβος, ἄξι᾽ * ὑδενός.
ΙΟΚ. Οὔκουν ἐγώ σοι ταῦτα προὔλεγον πάλαι;
ΟΙΔ. Ὕδας· ἐγὼ δὲ τῷ φοβῷ παρηγόμην.
ΙΟΚ. Μὴ νῦν ἔτ᾽ αὐτῶν μηδὲν ἐς θυμὸν βάλῃς.
ΟΙΔ. Καὶ πῶς τὸ μητρὸς λέκτρον οὐκ ὀκνεῖν με δεῖ;
ΙΟΚ. "Τίδ᾽ ἂν φοβοῖτ᾽ ἄνθρωπος, ᾧ τὰ τῆς τύχης
"Κρατεῖ; προνοια δ᾽ ἐστὶν ὑδενὸς σαφής.
"Εἰκῇ κράτιστον ζῆν, ὅπως δύναιό τις."
Σὺ δ᾽ εἰς τὰ μητρὸς μὴ φοβοῦ νυμφεύματα.
Πολλοὶ γὰρ ἤδη κἀν ὀνείρασι βροτῶν
Μητρὶ ξυνευνάσθησαν· ἀλλὰ ταῦθ᾽ ὅτῳ
Παρ᾽ ὐδὲν ἐστι, ῥᾷστα τὸν βίον φέρει.
ΟΙΔ. Καλῶς ἅπαντα ταῦτ᾽ ἂν ἐξειρηκότος σοι,
Εἰ μὴ ᾽κύρει ζῶσ᾽ ἡ τεκοῦσα· νῦν δ᾽ ἐπεὶ

* Aldus, ἄξιος.

Ib. Ἐγὼ δ᾽ ὅδ᾽ ἐνθάδε] ἐγὼ ὁ ἐνλαῦθα ὤν, ἐνλαῦθα διδομένης χρησμὸς μεθ᾽ ἑαυτῆ λαβὼν ὁ Πόλυβος ἀξίως ὑδενός, κεῖται παρὰ τῷ ἅδῃ, ἤγουν, ἐν τῷ ἅδῃ.

988. Ἄψαυστος ἔγχυς] κυρίως ὁ μὴ δυνάμενος ψαύεσθαι ὑπό τινος ἢ ἀψάμενος ἔγχυς ἐπ᾽ αὐτῶ· Ἄψαυστος ὁ μὴ δυνάμενος ψαύεσθαι, ἐνλαῦθα δὲ ἄψαυστος, ὁ μὴ ἁψάμενος ἐπὶ ἐνεργείας. Ἀπὸ τῆ παρὸς ἐμὲ πόθω, ἐξαιλίας ἐμοῦ. Τὰς ἐνλαῦθα διδομένας χρησμὰς· Ἄλλως δὲ τὰ παρόντα θεσπίσματα, ἤγουν τὰς ἐνλαῦθα διδομένας χρησμὰς συλλαβὼν ὁ Πόλυβος, ἤγουν, μεθ᾽ ἑαυτῆ λαβὼν ἀξίως ὑδενὸς κεῖται παρὰ τῷ ἅδῃ· ἤγουν, ἐν τῷ ἅδῃ.

989. Οὕτω δ᾽ ἂν θανὼν] τοῦτο ὡς ἐπιμωκώμενος φησί. Δῆλον δὲ ἐκ τῶν ἑξῆς. Ὁ γὰρ Πόλυβος τὰ παλαιὰ θεσπίσματα (φησὶ) παραλαβὼν μηδενὸς ἄξια, κεῖται παρὰ τῷ ἅδῃ.

990. Τὰ δ᾽ ἓν παρόντα] ἤγουν, ἀλλὰ τὰς

Ib. Δεῖ] καὶ καλά τινα τρόπον δεῖ. Ἤγουν, πρέπων ἐστίν.

996, 997. ᾧ τὰ τῆς τύχης Κρατεῖ] ᾧ ἡ τύχη δεξιῶς ἔχει· ἀντὶ τοῦ, τῆς ἀγαθῆς τύχης ἐπικρατούσης.

997. Πρόνοια] πρόγνωσις.

998. Εἰκῇ κράτιστον] καλὸν τὸ ζῆν ἀλόγως.

Ib. Εἰκῇ κράτιστον ζῆν] ἤγουν, ἁπλῶς καὶ ἀφρονλίτως, καὶ μὴ πρὸς μαθείας ὁρᾶν.

1006. Καὶ

Ζῆ, πᾶσ' ἀνάγκη, κεἰ καλῶς λέγεις, ὀκνεῖν.
ΙΟΚ. Καὶ μὴν μέγας ὀφθαλμὸς οἱ πατρὸς τάφοι.
ΟΙΔ. Μέγας, ξυνίημ'· ἀλλὰ τῆς ζώσης φόβος.
ΑΓΓ. Ποίας δὲ καὶ γυναικὸς ἐκφοβεῖσθ' ὕπερ;
ΟΙΔ. Μερόπης, γεραιέ, Πόλυβος ἧς ᾤκει μέτα.
ΑΓΓ. Τίδ' ἔς' ἐκείνης * ὑμῖν ἐς φόβον φέρον;
ΟΙΔ. Θεήλατον μάντευμα δεινὸν, ὦ ξένε.
ΑΓΓ. Ἦ ῥητὸν, ἢ ὐ θεμιτὸν ἄλλον εἰδέναι;
ΟΙΔ. Μάλιστά γ'· εἶπε γάρ με Λοξίας ποτὲ †
Χρῆναι μιγῆναι μητρὶ τῇ μαυτῇ, τό, τε
Πατρῷον αἷμα χερσὶ ταῖς ἐμαῖς ἑλεῖν.
Ὥν ἕνεχ' ἡ Κόρινθος ἐξ ἐμοῦ πάλαι
Μακρὰν ἀπῳκεῖτ'· εὐτυχῶς μὲν, " ἀλλ' ὅμως
" Τὰ τῶν τεκόντων ὄμματ' ἡδίσον βλέπειν."
ΑΓΓ. Ἦ γὰρ τάδ' ὀκνῶν, κεῖθεν ἧσθ' ἀπόπτολις;
ΟΙΔ. Πατρός τε χρῄζων μὴ φονεὺς εἶναι, γέρον.
ΑΓΓ. Τί δῆτ' ἔγωγ' ὐ τῇδε τῇ φόβῳ σ', ἄναξ,
Ἐπείπερ εὔνους ἦλθον, ἐξελυσάμην;
ΟΙΔ. Καὶ μὴν χάριν γ' ἂν ἀξίαν λάβοις ἐμοῦ.
ΑΓΓ. Καὶ μὴν μάλιστα τῆτ' ἀφικόμην, ὅπως
Σῷ πρὸς δόμῳς ἐλθόντος, εὖ πράξαιμί τι ‡.

* Turn. ἐκείνοις. † Turn. in margine, πάλαι. ‡ Aldus, τοι.

1006. Καὶ μὴν μέγας ὀφθαλμὸς] ὄψις καὶ τεκμήριον τῷ μὴ τὰ κατὰ τὴν μητέρα ἀποδέσθαι, ὁ πατρὸς τελευτή.

1008. Ὑπὲρ ποίας δὲ γυναικὸς] ἤγουν, ἕνεκα ποίας γυναικὸς φοβεῖσθε.

1009. ᾤκει] Μεθ' ἧς ᾤκει ὁ Πόλυβος.

1012. Ἦ ῥητὸν] Ἆρα δυνατὰ ῥηθῆναι; ῥητὸν δηλονότι. Τὸ μάλιστα συγκαλάθεσιν σημαίνει.

Ib. Ἦ ὐ θεμιτὸν] συνίζησις.

1015. Ἑλεῖν.] Ἐξελεῖν ἐκχέαι· ἤγουν, φονεῦσαι τὸν πατέρα.

1018. Τὰ τῶν τεκόντων] γνωμικόν.

1019. Κεῖθεν] Ἀπὸ τῆς Κορίνθου.

1020. Φονεὺς] καὶ ταῦτα φοβούμενος καὶ θέλων, μὴ φονεὺς εἶναι τῷ πατρός.

1023. Χάριν] Χάρις ἡ εὐχαριστία καὶ ἡ δωρεά.

1024. Μάλιστα τῆτ'] Διὰ τοῦτο ἡ εἰς τοῦτο.

1025. Σῷ πρὸς δόμῳς ἐλθόντος] ἀντὶ τοῦ, εἰς Κόρινθον.

1026.

ΟΙΔ. Ἀλλ' ἔποτ' εἶμι τοῖς φυλεύσασίν γ' ὁμῶ.
ΑΓΓ. Ὦ παῖ, καλῶς εἶ δῆλος ἢ οὐκ εἰδὼς τί δρᾷς.
ΟΙΔ. Πῶς ὦ γεραιέ; πρὸς θεῶν δίδασκέ με.
ΑΓΓ. Εἰ τῶνδε φεύγεις ἕνεκ' εἰς οἴκους μολεῖν.
ΟΙΔ. Ταρβῶ γε μή μοι Φοῖβος ἐξέλθῃ σαφής. 1030
ΑΓΓ. Ἢ μὴ μίασμα τῶν φυλευσάντων λάβῃς;
ΟΙΔ. Τἔτ' αὐτό, πρέσβυ, τἔτό μ' εἰσαεὶ φοβεῖ.
ΑΓΓ. Ἆρ' οἶσθα δῆτα πρὸς δίκης ἀδὲν τρέμων;
ΟΙΔ. Πῶς δ' οὐχί, παῖς γ' εἰ τῶνδε γεννητῶν ἔφυν;
ΑΓΓ. Ὅθ' ἕνεκ' ἦν σοι Πόλυβος ἀδὲν ἐν γένει. 1035
ΟΙΔ. Πῶς εἶπας; οὐ γὰρ Πόλυβος ἐξέφυσέ με;
ΑΓΓ. Οὐ μᾶλλον ἀδὲν τἔδε τἀνδρός, ἀλλ' ἴσον.
ΟΙΔ. Καὶ πῶς ὁ φύσας ἐξ ἴσου τῷ μηδενί;
ΑΓΓ. Ἀλλ' ἔ σ' ἐγείνατ' ἔτ' ἐκεῖνος, ἔτ' ἐγώ.
ΟΙΔ. Ἀλλ' ἀντὶ τἔ δὴ παῖδά μ' ὠνομάζελο; 1040
ΑΓΓ. Δῶρόν ποτ' ἴσθι τῶν ἐμῶν χειρῶν λαβών.
ΟΙΔ. Κᾆθ' ὧδ' ἀπ' ἄλλης χειρὸς ἔσερξεν μέγα;
ΑΓΓ. Ἡ γὰρ πρὶν αὐτὸν ἐξέπεισ' ἀπαιδία.
ΟΙΔ. Σὺ δ' ἐμπολήσας, ἢ τεκών μ' αὑτῷ δίδως;
ΑΓΓ. Εὑρὼν ναπαίαις ἐν Κιθαιρῶνος πλυχαῖς. 1045

1026. Ὁμῶ εἶμι] ἤγεν, συναναστραφήσομαι.
1027. Ὦ παῖ, καλῶς] ἀντὶ τἔ, περιφανῶς.
1029. Εἰ τῶνδε] εἰ φεύγεις διὰ τὰς αἰτίας ταύτας ἃς προέτεινας εἰς οἴκους μολεῖν.
1030. Μή μοι Φοῖβος] Ἀντὶ τἔ οἱ χρησμοὶ τἔ Φοίβε τελεσθῶσιν ἀληθεῖς. Γεννητὸς, ὁ γεγεννημένος.
1033. Ἆρ' οἶσθα δῆτα] ἆρα οἶσθα ὅτι ἀδίκως εὐλαβῇ;
1034. Εἰ τῶνδε] Ἀντὶ τἔ γεννήτορος, πατρὸς ἐγενόμην.
Ib. Τῶνδε γεννητῶν] τῶν γεγεννηκότων.
1035. Ὅτι ἀδὲν ἦν σοι ἐν γένει ὁ Πόλυβος] ἀντὶ τἔ, ἀδαμῶς ἦν σοι κατὰ τὶ ἐν γένει.
Ib. Ὅθ' ἕνεκ' ἦν σοι Πόλυβος ἀδὲν] ὅτι ἀδέν σοι διαφέρει κατὰ γένος ὁ Πόλυβος.
1037. Οὐ μᾶλλον] ἀδαμῶς κατ' ἐπίτασιν τῆς ἀρνήσεως· τἔδ' ἀνδρὸς, ἤγεν, ἐμῷ κατ' ἴσον.
1038. Ἐξ ἴσου τῷ μηδενὶ] τῷ ἠλλοιρωμένῳ καὶ μὴ οἰκείῳ. Ἔτι γὰρ Πολύβε νομίζει ἑαυτόν.
1039. Ἀλλ' ἔ σ' ἐγείνατ' ἔτ' ἐκεῖνος, ἔτ' ἐγώ] ὥσπερ ἢ γέγονας ἐξ ἐμοῦ, ἕτως ἀδὲ ἐκ Πολύβε.
1040. Ὠνομάζελο] Ὠνόμαζέ με παῖδα.
1042. Κᾆθ' ὧδ' ἀπ' ἄλλης] ἴδιον τῶν ἐν παραδόξοις ἀκέσμασι, τὸ αὐτὸ πολλάκις ἐπερωλᾶν.
Ib. Ἔσερξεν μέγα] Ἠγάπησε μεγάλως.
1045. Κιθαιρῶνος πλυχαῖς] Ἦγεν ἐν τοῖς ὀρεινοῖς κοιλώμασι τἔ Κιθαιρῶνος.

ΟΙΔ. Ὡδοιπόρεις δὲ πρὸς τί τούσδε τοὺς τόπους;
ΑΓΓ. Ἐνταῦθ' ὀρείοις ποιμνίοις ἐπεστάτουν.
ΟΙΔ. Ποιμὴν γὰρ ἦσθα, κἀπὶ θητείᾳ πλάνης;
ΑΓΓ. Σοῦ γ', ὦ τέκνον, σωτήρτε τῷ τότ' ἐν χρόνῳ.
ΟΙΔ. Τί δ' ἄλγος ἴσχοντ' ἐν κακοῖς με λαμβάνεις;
ΑΓΓ. Ποδῶν ἂν ἄρθρα μαρτυρήσειεν τὰ σά.
ΟΙΔ. Οἴμοι· τί τοῦτ' ἀρχαῖον ἐννέπεις κακόν;
ΑΓΓ. Λύω σ' ἔχοντα διατόρους ποδοῖν ἀκμάς.
ΟΙΔ. Δεινόν γ' ὄνειδος σπαργάνων ἀνειλόμην.
ΑΓΓ. Ὥς' ὠνομάσθης ἐκ τύχης ταύτης, ὃς εἶ.
ΟΙΔ. Ὦ πρὸς θεῶν, πρὸς μητρὸς, ἢ πατρὸς, φράσον,
ΑΓΓ. Οὐκ οἶδ'· ὁ δοὺς δὲ ταῦτ' ἐμοῦ λῷον φρονεῖ.
ΟΙΔ. Ἢ γὰρ παρ' ἄλλου μ' ἔλαβες, οὐδ' αὐτὸς τυχών;
ΑΓΓ. Οὔκ· ἀλλὰ ποιμὴν ἄλλος ἐκδίδωσί μοι.
ΟΙΔ. Τίς οὗτος; ἦ κάτοισθα δηλῶσαι λόγῳ;

1046. Πρὸς τί] ἐπὶ ποίῳ σκοπῶ.

1047. Ἐπεστάτουν] ἐπιστατῶ καὶ ἐπιστατεύω, δοτικῇ.

1048. Κἀπὶ θητείᾳ πλάνης] ἤτοι, μίσθιος, καὶ ἐπὶ μισθῷ πλάνης. Ἔστι δὲ ἀρσενικόν.

Ib. Κἀπὶ θητείᾳ πλάνης] εἰκότως εἶπε τὸ πλάνης· οἱ γὰρ ποιμένες νῦν μὲν ἐνταῦθα, νῦν δ' ἐκεῖσε τὸ ποιμνίον ἀνάγουσι, πρὸς τὸ λυσιτελοῦν.

1050. Τί δ' ἄλγος ἴσχοντ'] εἰπόντος τοῦ γέροντος ὅτι σωτήρ σοι γέγονα (ὅπερ κοινον ἐπὶ πάντων ἐκτεθειμένων) ἀναπυνθάνεται ὁ Οἰδίπους ὅτι ἐν ποίῳ ἄρα κακῷ ὄντα κατὰ τὴν ἔκθεσιν. Ἵνα ἐκεῖνος εἴπῃ τὸ περὶ τῶν ποδῶν· ὅπερ ἐπιγιγνώσκει ἡ Ἰοκάστη.

Ib. Λαμβάνεις] λαμβάνει τὶς τὶ παρὰ τινὸς, ἤγουν, δέχεται καὶ λαμβάνει, ὅταν αὐτὸς δι' ἑαυτοῦ λαμβάνῃ, μὴ διδόντος ἑτέρου ἐν ταῖς δυστυχίαις ἐκείναις.

1052. Κακόν] Τί ἐστι τοῦτο τὸ ἀρχαῖον κακὸν ὃ λέγεις; ὡς τὸ, τίνα τόνδε τὸν λόγον λεγεις;

1053. Διατόρους] Διαπεπερονημένας τῶν ποδῶν. Ὄνειδος τὸ αἶσχος ὥσπερ ἔγκλημα τὸ ἁμάρτημα. Ἀκολουθεῖ γὰρ ὥσπερ τῷ ἁμαρτήματι τὸ ἐγκαλεῖσθαι, οὕτω τῷ αἴσχει τὸ ὀνειδίζεσθαι.

1054. Δεινόν γ' ὄνειδος σπαργάνων] ἐκ σπαργάνων χαλεπὴν αἰσχύνην, διὰ τὴν τῶν ἄρθρων βλάβην.

1055. Ὠνομάσθης] ἤγουν, ἐκ τούτου τοῦ συμβεβηκότος Οἰδίπους ὀνομάζῃ· ἔπαθες τοῦτο τὸ διατρηθῆναι τὰ ἄρθρα.

1056. Πρὸς μητρὸς] Πρὸς μητρὸς ἢ πρὸς πατρὸς ἔπαθον τοῦτο δηλονότι· ἤγουν, τὸ διατρυπηθῆναι τοὺς ἀστραγάλους· Ἀσύνετον γὰρ καὶ ἀνακόλουθον πρὸς τὰ ἐπαγόμενα τὸ νομίζειν ἐρωτᾶν τὸν Οἰδίποδα, εἰ ὑπὸ τοῦ πατρὸς ἢ τῆς μητρὸς ὠνομάσθη.

1056. Πρὸς μητρὸς ἢ πατρὸς φράσον] ὑπὸ μητρὸς ὠνομάσθην, ἢ ἀπὸ τοῦ πατρὸς Οἰδίπου, ἢ πρὸς θεῶν, τίνος εἰμὶ μητρὸς, ἢ ποίου πατρός.

1058. Αὐτὸς τυχών] ἐντυχὼν, ἤγουν, εὑρῶν.

1060. Τίς οὗτος] Τίς ἐστιν οὗτος ὁ ποιμὴν δηλονότι, ὃν λέγεις.

1061. Τῶν

ΑΓΓ. Τῶν Λαΐȣ δήπȣ τις ὠνομάζετο.
ΟΙΔ. Ἢ τȣ̃ τυράννȣ τῆσδε γῆς πάλαι ποτέ;
ΑΓΓ. Μάλιςα· τȣ́τȣ τἀνδρὸς ȣ̃τος ἦν βοτήρ.
ΟΙΔ. Ἢ κᾄς' ἔτι ζῶν ȣ̃τος ὥς' ἰδεῖν ἐμέ;
ΑΓΓ. Ὑμεῖς γ' ἄρις' εἰδῆτ' ἂν ȣ̓ 'πιχώριοι.
ΟΙΔ. Ἔςιν τὶς ὑμῶν τῶν παρεςώτων πέλας,
Ὅςις κάτοιδε τὸν βοτήρ', ὃν ἐννέπει,
Εἴτ' ȣ̃ν ἐπ' ἀγρῶν, εἴτε κἀνθάδ' εἰσιδών;
Σημὴναθ'· ὡς ὁ καιρὸς εὑρῆσθαι τάδε.
ΧΟΡ. Οἶμαι μὲν ȣ̓δέν' ἄλλον, ἢ τὸν * ἐξ ἀγρῶν,
Ὃν καὶ 'μάτευες πρόσθεν εἰσιδεῖν· ἀτὰρ
Ἥδ' ἂν τάδ' ȣ̓χ ἥκις' ἂν Ἰοκάςη λέγοι.
ΟΙΔ. Γύναι, νοεῖς ἐκεῖνον ὅντιν' ἀρτίως
Μολεῖν ἐφιέμεσθα, τόν θ' ȣ̃τος λέγει;
ΙΟΚ. Τίς δ' ὅντιν' εἶπε; μηδὲν ἐντραπῇς; τὰ δὲ
Ῥηθέντα βȣ́λȣ μηδὲ μεμνῆσθαι μάτην.
ΟΙΔ. Οὐκ ἂν γένοιτο τȣ̃θ', ὅπως ἐγὼ λαβὼν
Σημεῖα τοιαῦτ', ȣ̓ φανῶ τȣ̓μὸν γένος.
ΙΟΚ. Μὴ πρὸς θεῶν, εἴπέρ τι τȣ̃ σαυτȣ̃ βίȣ
Κήδῃ, ματεύσῃς τȣ̃θ'· ἅλις νοσȣ̃σ' ἔχω.

* Aldus, τῶν.

1061. Τῶν Λαΐȣ δήπȣ] Τίς ἀπὸ τῶν τȣ̃ Λαΐȣ οἰκετῶν, δηλονότι, ἐλέγετο.

1063. Ἦν βοτήρ] Οὐχ ὡς βοτὴρ λέγεται τȣ́τȣ, ἀλλ' ὡς οἰκέτης ἐνεργῶν ταύτην αὐτῷ τὴν ἐνέρτειαν, τὴν τȣ̃ νέμειν, δηλονότι· ἐπὶ γὰρ ἐκείνων ὧν νέμει τὶς λέγεται βοτὴρ καθὸ βοτήρ. Οἷον, βοτὴρ προβάτων ἢ βοῶν ἢ τοιȣ́των τινῶν.

1065. Εἰδῆτ'] ἀντὶ τȣ̃, εἰδείητε ἄν. Τὸ ὑποτακτικὸν ἀντὶ εὐκτικȣ̃. Τὰ τροχαϊκὰ ἀναβιβάζȣσι τȣ̀ς τόνȣς.

1070. Οἶμαι μὲν ȣ̓δὲν' ἄλλον] ἐςοχάζετο ὁ χορὸς ἐκεῖνον εἶναι τὸν τὴν ἔκθεσιν ποιησάμενον τȣ̃ παιδίȣ, διὰ τὸ ἤδη εὐνοϊκὸν τὸ πρόσωπον αὐτȣ̃ ςῆσαι τῷ οἴκῳ.

1071. Ὃν καὶ 'μάτευες] ὃν καὶ πρότερον ἐμάςευες, ἤγȣν, ἐζήτεις.

1072. Οὐχ ἥκις'] ἀντὶ τȣ̃, πάνυ· αἱ γὰρ δύο ἀρνήσεις μίαν συγκατάθεσιν ποιȣ̃σι· μάλις' ἂν ταῦτα εἴποι ἡ Ἰοκάςη.

Ib. Ἥδε δὲ ἡ Ἰοκάςη λέγοι] ἂν μάλιςα τάδε.

1075. Ὅντιν' εἶπε] συνίησιν ἤδη τὸ πᾶν ἡ Ἰοκάςη, καὶ θέλει ἤδη ἑαυτὴν διαχειρίσασθαι, πρὶν ἔκπυςα γενέσθαι τὰ κακά. Τȣ̃το δὲ δηλοῖ διὰ τȣ̃, ἅλις νοσȣ̃σ' ἐγώ.

Ib. Μηδὲν] Μηδαμῶς ἐπιςραφῇς, ἤγȣν, φροντίσῃς.

1080. Μὴ ματεύσῃς] ἤγȣν, ζητήσῃς τȣ̃το.

Ib.

ΟΙΔ. Θάῤῥει· σὺ μὲν γὰρ ἀδ', ἂν ἐκ τρίτης ἐγὼ
Μητρὸς φανῶ τρίδουλος, ἐκφανῆ κακήν.
ΙΟΚ. Ὅμως πιθοῦ μοι, λίσσομαι, μὴ δρᾶν τάδε.
ΟΙΔ. Οὐκ ἂν πιθοίμην μὴ οὐ τάδ' ἐκμαθεῖν σαφῶς.
ΙΟΚ. Καὶ μὴν φρονοῦσά γ' εὖ, τὰ λῷστά σοι λέγω.
ΟΙΔ. Τὰ λῷστα τοίνυν ταῦτά μ' ἀλγύνει πάλαι.
ΙΟΚ. Ὦ δύσποτμ', εἴθε μήποτε γνοίης ὃς εἶ.
ΟΙΔ. Ἄξει τις * ἐλθὼν δεῦρο τὸν βοτῆρά μοι;
Ταύτην δ' ἐᾶτε πλουσίῳ χαίρειν γένει.
ΙΟΚ. Ἰοὺ, ἰού, δύσηνε· τοῦτο γάρ σ' ἔχω
Μόνον προσειπεῖν, ἄλλο δ' ἔποθ' ὕστερον.
ΧΟΡ. Τί ποτε βέβηκεν, Οἰδίπους, ὑπ' ὀργίας
Αἴξασα † λύπης ἡ γυνή; δέδοικ' ὅπως
Μὴ 'κ τῆς σιωπῆς τῆσδ' ἀναῤῥήξῃ κακά.
ΟΙΔ. Ὁποῖα χρήζει, ῥηγνύτω· τεμὸν δ' ἐγὼ
Κεἰ σμικρόν ἐστι σπέρμ', ἰδεῖν βουλήσομαι.
Αὐτὴ δ' ἴσως (φρονεῖ γὰρ, ὡς γυνὴ μέγα)

* Turn. Ἄξει τίς. Ald. Ἄξει τις. † Ald. Turn. in marg. ἄξιασα.

Ib. Ἄλις νοσοῦσ' ἔχω] Ἄλις ἔχω νοσῶν, καὶ ἄλις ἔχω τῆς νόσου, Καὶ ἀμφότερα ἐν χρήσει.

1081. Οὐδ' ἂν ἐκ τρίτης] τρίτον πεπραμένος, καὶ αὐτὸς τρίπρατος. Οἴεται δὲ τὴν Ἰοκάστην, δυσγένειαν αὐτῷ συνειδυῖαν, ἀποκρύπτειν καὶ κωλύειν τὴν ζήτησιν.

1081, 1082. Οὐδ' ἂν φανῶ] ἤγουν, δειχθῶ ἐκ τρίτης μητρὸς, ἤγουν, ἐκ προμάμμης· οὐδ' ἂν ἐκ τρίτης, καθ' ὁμαλίσμον ἂν ἀναλινώσκειν δεῖ ἐνταῦθα τὸ ἄν.

1082. Τρίδουλος] δοῦλον γὰρ τὸ μὴ ἐμφανὲς ἔχειν τὸ γένος, ἀλλὰ λαθραῖον. Εἰκότως δὲ τὸ τρίδουλος εἶπε πρὸς τὸ τρίτης μητρός.

1083. Πιθοῦ μοι] Ὅπερ ἂν ἔχοι τὸ πρᾶγμα, πείσθητί μοι, δέομαι μὴ πράττειν τόδε, ἤγουν, τὸ ζητεῖν ἃ ζητεῖς.

1084. Μὴ οὐ τάδ'] συνίζησις.

Ib. Ἐκμαθεῖν] Ὡς τε μὴ μαθεῖν τάδε κακθαρῶς.

1089. Πλουσίῳ χαίρειν γένει] ἤτοι, τρυφᾷ καὶ ἐναβρύνεσθαι.

Ib. Πλουσίῳ] εὐδαίμονι· τοῦτο δὲ λέγει διὰ τὸ μὴ θέλειν ταύτην ἐξ ἀσήμων ὄντα φανήσεσθαι.

1090. Ἰοὺ, δύσηνε] ἐννοουμένη τὰ τῆς ἀναιρέσεως, αὐτὴ μὲν ἀπήλλαχθαι, ὁ δὲ Οἰδίπους περιλέλειπται· τὸ γὰρ αὐτῇ προσωπόν ἐστι τὸ περιπαθὲς, περὶ ὃ πᾶσα ἡ διάθεσις τῆ δράματος.

Ib. Τοῦτο γάρ] τοῦτο γὰρ ἔχω μόνον πρός σε εἰπεῖν μετὰ τοῦτο ἄλλο πρός σε εἰπεῖν οὐκ ἔχω.

1092. Τί ποτε βέβηκεν, Οἰδίπους] ἀντὶ τοῦ, ὦ Οἰδίπου. Ἔστι δὲ Ἀττικόν.

1093. Αἴξασα] συνίζησις.

1099. Ἐγὼ

Τὴν δυσγένειαν τὴν ἐμὴν αἰσχύνεσθαι.
Ἐγὼ δ' ἐμαυτὸν παῖδα τῆς τύχης νέμων
Τῆς εὖ διδούσης, οὐκ ἀτιμασθήσομαι.
Τῆς γὰρ τέφυκα μητρός· οἱ δὲ συγγενεῖς
Μῆνές με μικρὸν καὶ μέγαν διώρισαν.
Τοιόσδε δ' ἐκφὺς, οὐκ ἂν ἐξέλθοιμ' ἔτι
Πότ' ἄλλος, ὥσε μὴ 'κμαθεῖν τὸ μὸν γένος.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Εἴπερ ἐγὼ μάντις εἰμὶ,
Καὶ κατὰ γνώμην ἴδρις,
Οὖ, τὸν Ὄλυμπον, ἀπείρων Κιθαιρὼν * οὐκ ἔσῃ
Τὰν αὔριον πανσέληνον,

* Aldus, Ὦ Κιθαιρών.

1099. Ἐγὼ δ' ἐμαυτὸν παῖδα τῆς τύχης φέρων] ἀντὶ τοῦ, ἐμαυτὸν τῇ τύχῃ παραδὺς, ἀτιμίαν ἐκφεύξομαι.

1100. Τῆς εὖ διδούσης] τοῦτο λέγει διότι πάντα τὰ τῆς τύχης δῶρα, εἰ καὶ δυσχερῆ ἔσιν ἡμῖν, ἀλλὰ καλά ἐσι, καὶ πρὸς τὸ συμφέρον ἡμῖν, εἰ καὶ μὴ δυνάμεθα αὐτοὶ τοῦτο καταμαθεῖν.

1102. Μῆνές με μικρὸν] ἤγουν, ὁ χρόνος δυσυχῆ με καὶ εὐτυχῆ πεποίηκεν· ἢ τὸ μικρὸν καὶ μέγαν διὰ τὴν ἡλικίαν λέγει.

1103. Τοιόσδε δ' ἐκφὺς] τοιοῦτος πεφυκὼς, οὐκ ὄκνησα τὸ γένος ἐξερευνῆσαι τὸ ἡμέτερον.

1105. Εἴπερ ἐγὼ μάντις εἰμὶ] ὑπονοῦσιν οἱ κατὰ τὸν χρὸν χρησότερόν τι περὶ τῆ Οἰδίποδος, ὅτι θειοτέρα γένυς τυγχάνει ἀπό τινος τῶν ὀρείων νυμφῶν. Ποιοῦνται δὲ τὸν λόγον πρὸς τὸν Κιθαιρῶνα, καί φασιν, οὐκ ἔσῃ ἐς τὴν αὔριον ἀπείραλος τῇ ἡμᾶς αὐξειν σε, ὡς τροφὸν καὶ μητέρα τῆ Οἰδίποδος.

Ib. Εἴπερ] εἴπερ ἐγὼ κατὰ γνώμην μάντις εἰμὶ καὶ ἴδρις, καὶ ἐπιςήμων καὶ ἄριστος ἐξιχνεύσας, μὰ τὸν πανσέληνον Ὄλυμπον, οὐκ ἔσῃ καὶ ὑπάρξεις, ὦ Κιθαιρὼν, ἀπείρων καὶ ἀμέτοχος κατὰ τὴν αὔριον ἡμέραν μὴ οὐκ αὔξειν καὶ φαίνεσθαί σε πατριώτην τῇ Οἰδίποδος, τροφὸν καὶ μητέρα, καὶ χορεύεσθαι παρ' ἡμῶν· (τοῦτ' ἔσιν, ὅσον ἄπω φανήσεται ὁ Οἰδίπους, εὑρεθεὶς ἐν Κιθαιρῶνι τὴν ἀρχὴν. Διὸ καὶ πατέρα καὶ μητέρα αὐτὸν τοῦτον καλεῖ) ὡς ἐπίηρα καὶ ἐπιθυμητὰ φέροντα τοῖς ἐμοῖς τυράννοις, ἤγουν, τῷ Οἰδίποδι. Ἐπιθυμεῖ γὰρ ὅτος ὅσις ἐζὶ φανῆναι. Σοί δ', ὦ ἰὼ καὶ τοξικὲ Φοῖβε, ἀρεσὰ καὶ ἀποδεκτὰ εἴη καὶ ὑπάρχοι ταῦτα. Ἡ τῇ Οἰδίποδας λέγω ἔκφανσις· σὺ γὰρ ἐθέσπισας τὴν περὶ τότου ἔρευναν.

1106. Καὶ κατὰ γνώμην ἴδρις] ἔμπειρος κατὰ τὴν γνώμην, ὅ ἐζι, συνετός.

1107. Οὐ τὸν Ὄλυμπον] Οὐ μὰ τὸν Ὄλυμπον ἄπειρος ἔσῃ, ὦ Κιθαιρὼν, κατὰ τὴν αὔριαν πάνυ λαμπρὰν ἡμέραν τῇ μὴ οὐκ αὔξειν, ἤγουν, τιμᾶν σὲ ἡμᾶς δηλονότι καὶ ὁμοδίαιτον τῇ Οἰδίποδος καὶ τροφὸν καὶ μητέρα καὶ τιμᾶσθαι παρ' ἡμῶν ὡς ἐπέρασα φέροντα τοῖς ἐμοῖ βασιλεῦσιν.

1110. Πα-

Μὴ ἐ σέ γε καὶ ϖαλριώταν
Οἰδίπε, καὶ τροφὸν, καὶ μη-
τέρ' αὔξειν, καὶ χορεύεσθαι
Πρὸς ἡμῶν, ὡς ἐπίηρα φέρον-
τα τοῖς ἐμοῖσι * τυράννοις.
Ἰήϊε Φοῖβε,
Σοὶ δὲ ταῦτ' ἀρές εἴη.

ΑΝΤΙΣΤΡΟΦΗ.

Τίς σέ, τέκνον, τίς σ' ἔτικ[ε
Τῶν μακραιώνων; ἆρα
Πανὸς ὀρεσιϐάτα
Προσπελασθεῖσ', ἢ σέ γε
Τὶς Θυγάτηρ Λοξίᾳ; τῷ
Γὰρ ϖλάκες ἀγρονόμοι ϖᾶ-
σαι φίλαι· εἰθ' ὁ Κυλλάνας

* Aldus, ἐμοῖς.

1110. Παλριώταν] Παλριῶται, οἱ ἐν τῇ αὐτῇ ϖαλρίδι ϛρεφόμενοι.

1112. Αὔξειν] μεγαλύνειν, λέγειν.

Ib. Καὶ χορεύεσθαι] ἀντὶ τῦ, ὑμνεῖσθαι. τιμᾶσθαι.

1113. Ὡς ἐπίηρα φέροντα] ὥσπερ τὰ θυμήρη ϖαρέχοντα τοῖς ἐμοῖς βασιλεῦσιν· ἐνόμιζε γὰρ ὁ χορὸς τὸν ἀναϛωρισμὸν ὑπὲρ Οἰδίποδος γίγνεσθαι.

Ib. Ὡς ἐπίηρα] καθὰ θυμήρη, ἐπέρασα, ἐπίηρα ϖοιητικόν. Ἐπέρασα κοινὸν τὸ αὐτὸ τοῖς ἐμοῖς βασιλεῦσιν, ἤγουν, τῷ Οἰδίποδι.

1115. Ἰήϊε Φοῖβε] ἀναλκαίως ϖρὸς τὸν Ἀπόλλωνα ἀπολείνει, διὰ τὸ ἄεξαι τῶν χρησμῶν.

1117. Τίς σε, τέκνον] τίς σέ, ὦ τέκνον, τῶν μακραίωνων καὶ ἀϊδίων θεῶν ἔτικλεν; ἆρα τῦ ὀρεσιϐάτα καὶ τῦ ὀρεινῦ Πανὸς Θυγάτηρ, ϖροσπελασθεῖσα ἐνλαῦθα; ἢ ἔτικλέ σε ἡ τῦ Λοξίᾳ Θυγάτηρ; τῷ γὰρ καὶ τύτῳ τῷ Πανὶ, ἢ τῷ Ἀπόλλωνι (νόμιος γὰρ καὶ ἔτος καλεῖται) ϖᾶσαι αἱ ἀγρονόμοι καὶ ὀρειναὶ ϖλάκες καὶ ἕτεραι φίλαι εἰσίν. Εἴτε ὁ Κυλλάνας ἀνάσσων Ἑρμῆς ἐδέξαλο εὕρημα καὶ δῶρον τῶν νυμφῶν· εἴθ' ὁ Βακχεῖος Θεὸς, ἤγουν, ὁ Διόνυσος, ὁ ναϊὼν καὶ καλοικῶν ἐπ' ἄκρων τῶν ὀρέων, ἐδέξαλο τὸ εὑρημαλῶν νυμφῶν τῶν Ἑλικωνιάδων, ἤγουν, τῶν ἐν Ἑλικῶνι τῆς Βοιαλίας ὀσῶν, σὺν αἷς ϖλεῖϛα ϖαίζει. Λέγει δὲ τὸν Διόνυσον ναίειν ἐπ' ἄκρων ὀρέων, ἢ διότι αἱ Βάκχαι αὐτῦ, ὡς μαινόμεναι, τὰ ὄρη ϖεριηχοῦσι, ἢ ὅτι ἐν τῷ Κιθαιρῶνι τὸ ἱερὸν ἦν αὐτῦ.

1118, 1119. Ἆρα Πανὸς ὀρεσιϐάτα] ἆρά τις ϖροσπελασθεῖσα τῦ Πανὸς ἢ τῦ Ἀπόλλωνος Θυγάτηρ. Καὶ γὰρ ἔτος νόμιος.

1119. Πανὸς ὀρεσιϐάτα] Ἆρα Πανὸς Θυγάτηρ τὶς ἀπὸ κοινῦ ὀρεσιϐάτη, ἀντὶ τῦ, ὀρεσικοίτη, ϖροσπελασθεῖσα ἢ Λοξίᾳ Θυγάτηρ, τὶς ὀρεσιϐάτη ϖροσπελασθεῖσα σέ γε τέκε δηλονότι.

1121, 1122. Τῷ γὰρ ϖλάκες ἀγρονόμοι] αἱ ἐξοχαὶ, αἱ ἀναϐάσεις τῶν ὀρῶν.

1122. Ἀγρονόμοι] ἔνθα τὰ ἄγρια νέμεϛαι. Ὁ ἐϛὶ, τὰ μὴ ἥμερα θηρία.

Ib. Ἀγρονόμοι] Ἤγουν, τόποι ἐφ' οἷς νέμονται τὰ ἄγρια.

1123. Εἴθ' ὁ Κυλλάνας] εἴτε ὁ Ἑρμῆς (νόμιος γὰρ) εἴτε ὁ Διόνυσος, ἀπό τινος νύμφης γεννηθέντα σε ἀνεδέξαλο.

Ἀνάσσων, εἴθ' ὁ Βακχεῖος
Θεὸς ναίων ἐπ' ἄκρων ὀρέων,
Εὕρημα δέξατο νυμφᾶν
Ἑλικωνιάδων,
Αἷσι πλεῖστα συμπαίζει.

ΙΑΜΒΟΙ.

ΟΙΔ. Εἰ χρή τι κἀμὲ, μὴ συναλλάξαντά * πω,
Πρέσβεις †, σταθμᾶσθαι, τὸν βοτῆρ' ὁρᾶν δοκῶ,
Ὅνπερ πάλαι ζητοῦμεν· ἔν τε γὰρ μακρῷ
Γήρᾳ ξυνᾴδει, τῷδέ τ' ἀνδρὶ ξύμμετρος.
Ἄλλως τε, τοὺς ἄγοντας, ὥσπερ οἰκέτας
Ἔγνωκ' ἐμαυτοῦ· τῇ δ' ἐπιστήμη σύ μου
Προὔχοις, τάχ' ἄν που τὸν βοτῆρ' ἰδὼν πάρος.
ΧΟΡ. Ἔγνωκα γὰρ, σάφ' ἴσθι. Λαΐου γὰρ ἦν
Εἴπέρ τις ἄλλος πιστὸς, ὡς νομεὺς ἀνήρ.
ΟΙΔ. Σὲ πρῶτ' ἐρωτῶ τὸν Κορίνθιον ξένον,
Ἦ τόνδε φράζεις;
ΑΓΓ. Τοῦτον, ὅνπερ εἰσορᾷς.
ΟΙΔ. Οὗτος σὺ πρέσβυ, δεῦρό μοι φώνει βλέπων

* Aldus, ξυναλλάξαντα. † Turn. πρέσβυν.

1129. Μὴ ξυναλλάξαντά πω] μὴ κοινωνήσαντα, μὴ συναλλάξαντα, τούτεστι, μὴ συντυχόντα, μὴ εἰς ἀμοιβὴν καὶ ὁμιλίαν ἐλθόντα. Θεασάμενος δὲ ὁ Οἰδίπους τὸν πρεσβύτην ἐρχόμενον ὃν μετεπέμψατο, στοχάζεται μὲν εἶναι αὐτὸν, ἐκ τοῦ γήρως, καὶ τῶν ἀγόντων οἰκετῶν· τὴν δὲ ἐπιστήμην καὶ ἀκριβῆ γνῶσιν τῷ χορῷ ἀνατίθησι.

Ib. Εἰ χρή τι κἀμὲ] ἀναζητήσας Οἰδίπους τὸ οἰκεῖον γένος, καὶ μαθὼν, ἐξετύφλωσεν ἑαυτὸν.

1131. Ὅνπερ] Ἐπὶ πολὺ παραλεινομένῳ, πολυχρονίῳ.

Ib. Μακρῷ] Ἐν ἴσῳ μακρῷ ἡλικὸς ὢν δηλονότι.

1132. Τῷδέ τ' ἀνδρὶ ξύμμετρος] τῷ Κορινθίῳ· ὁμήλιξ καὶ ἴσος ἐστὶ κατὰ τὴν ἡλικίαν.

1133. Ὥσπερ οἰκέτας] εἰκότως εἶπε τὸ ὥσπερ· οὐ γὰρ ἀκριβῶς οἶδεν, ἀλλ' εἰκάζων ἦν.

Ib. Οἰκέτας] ἀντὶ τοῦ, ὁρῶ ὅτι εἰσὶν οἱ οἰκέται οἱ ἐμαυτοῦ τῇ ἀκριβεῖ γνώσει.

1134. Τῇ δ' ἐπιστήμῃ] τῇ γνώσει ὑπερβάλλοις, ὡς καὶ πρὶν αὐτὸν θεασάμενος.

1135. Προὔχοις] προέχοις ἂν ἴσως που ἰδὼν τὸν βοτῆρα πρότερον.

1137. Ὡς νομεὺς] Τὸ ὡς ὁμοιωματικόν ἐστι· οὐ γάρ λέγει ὅτι κυρίως νομεὺς ἦν, ἀλλ' ὡς νομεύς.

1141. Δεῦρό μοι φώνει βλέπων] ἀντὶ τοῦ, ἐγνωκώς.

Ib. Βλέπων]

Ὅσ' ἄν σ' ἐρωτῶ· Λαΐου ποτ' ἦσθα σύ;
ΘΕΡ. Ἦν δοῦλος, οὐκ ὠνητὸς, ἀλλ' οἴκοι τραφείς.
ΟΙΔ. Ἔργον μεριμνῶν ποῖον, ἢ βίον τίνα;
ΟΕΡ. Ποίμναις τὰ πλεῖστα τοῦ βίου ξυνειπόμην.
ΟΙΔ. Χώροις μάλιστα πρὸς τίσι ξύναυλος ὤν;
ΘΕΡ. Ἦν μὲν Κιθαιρὼν, ἦν δὲ πρόσχωρος τόπος.
ΟΙΔ. Τὸν ἄνδρα τόνδ' οὖν οἶσθα τῇδέ που μαθών;
ΘΕΡ. Τί χρῆμα δρῶντα, ποῖον ἄνδρα καὶ λέγεις;
ΟΙΔ. Τόνδ', ὅς πάρεστιν· ἦ ξυναλλάξας τί πω;
ΘΕΡ. Οὐχ ὥστέ γ' εἰπεῖν ἐν τάχει μνήμης ὕπο.
ΑΓΓ. Κοὐδέν γε θαῦμα, δέσποτ'· ἀλλ' ἐγὼ σαφῶς
Ἀγνῶτ' ἀναμνήσω νιν· εὖ γὰρ οἶδ' ὅτι
Κάτοιδεν· ἦμος τὸν Κιθαιρῶνος τόπον
Ὁ μὲν, διπλοῖσι ποιμνίοις, ἐγὼ δ' ἑνὶ
Ἐπλησίαζον τῷδε τἀνδρὶ τρεὶς ὅλους
Ἐξ ἦρος εἰς Ἀρκτοῦρον ἐμμήνους * χρόνους.
Χειμῶνι δ' ἤδη, τἀμά τ' εἰς ἔπαυλ' ἐγὼ
Ἤλαυνον, οὗτός τ' εἰς τὰ Λαΐου σταθμά.

* Aldus, ἐμμόνους.

Ib. Βλέπων] Ἤγουν πρὸς ἐμὲ βλέπων φώνει μοι, ἤγουν λέγει μοι.

1145. Πλεῖστα] Κατὰ τὰ πλεῖστα μέρη τῆς ζωῆς μοῦ ποίμναις εἰπόμην, ἤγουν, ἠκολούθουν.

1147. Ἦν δὲ πρόσχωρος τόπος] ἀντὶ τοῦ, ἦσαν οἱ πλησιόχωροι.

Ib. Κιθαιρὼν] Πλησιόχωρος τῷ Κιθαιρῶνι δηλονότι· ἆρα οἶδας συντυχών.

1148. Οἶσθα τῇδέ που μαθών] ἀντὶ τοῦ, ἐκεῖ μαθών.

1151. Οὐχ] Οὐκ οἶδα οὕτως ὥστε μνησθῆναι καὶ εἰπεῖν ταχέως.

1154. Κάτοιδεν] τοῦτο ἢ πρὸς τὸν Κιθαιρῶνος τόπον σύναπτε· (εἰ καὶ τὸ ἦμος διὰ μέσου ἐτέθη· ὃ δὴ καὶ ποιεῖ τὴν δυσχέρειαν) ἢ πρὸς τὸν Κιθαιρῶνος τόπον εἰς ἔξωθεν λάμβανε, λαμβανομένου, κατὰ συνεκδοχὴν τοῦ ἐπλησίαζεν.

1155. Ὁ μὲν, διπλοῖσι ποιμνίοις] δύο ἀγέλαις.

1156. Ἐπλησίαζον τῷδε] συνήμην (φησὶ) τούτῳ. Ἔαρ, θέρος, φθινόπωρον, καὶ οὗτοι ἂν εἶεν οἱ τρεῖς χρόνοι. Ἐμμήνους δὲ, τοὺς ἐν μησὶν ὁριζομένους, οὐκ ἐνιαυτοῖς.

1157. Ἐξ ἦρος εἰς Ἀρκτοῦρον] τὴν ἑῴαν ἐπιτολὴν ποιούμενον. Ποιεῖ δὲ ταύτην ἡλίου ὄντος ἐν τῇ Παρθένῳ.

Ib. Ἀρκτοῦρον] Ἐκ τοῦ τέλους τοῦ ἔαρος εἰς τὴν ἑῴαν ἐπιτολὴν τοῦ Ἀρκτούρου, ἤτοι, τὴν ὥραν τοῦ θέρους. Ὁ γὰρ Ἀρκτοῦρος κατὰ τὴν ἀρχὴν ἐπιτέλλει τοῦ μετοπώρου.

1159. Σταθμά] ἔνθα ἑστήκασι τὰ ζῶα.

1161. Λέγεις

Λέγω τὶ τέτων, ἢ ἃ λέγω πεπραγμένον;
ΘΕΡ. Λέγεις ἀληθῆ, καίπερ ἐκ μακρᾶ χρόνε.
ΑΓΓ. Φέρ' εἰπὲ νῦν· τότ' οἶσθα παῖδα μοί τινα
Δὸς, ὡς ἐμαυτῷ θρέμμα θρεψαίμην ἐγώ;
ΘΕΡ. Τίδ' ἔστ; πρὸς τί τῆτο τῆπος ἱσορεῖς;
ΑΓΓ. Ὅδ' ἐστὶν, ὦ τᾶν, κεῖνος, ὃς τοτ' ἦν νέος.
ΘΕΡ. Οὐκ εἰς ὄλεθρον; ἃ σιωπήσας ἔσῃ:
ΟΙΔ. Ἆ, μὴ κόλαζε, πρέσβυ, τόνδ' ἐπεὶ τὰ σὰ
Δεῖται κολαστᾶ μᾶλλον, ἢ τὰ τῆδ' ἔπη.
ΘΕΡ. Τί δ', ὦ φέριστε δεσποτῶν, ἁμαρτάνω;
ΟΙΔ. Οὐκ ἐννέπων τὸν παῖδ', ὃν ἦτος ἱσορεῖ.
ΘΕΡ. Λέγει γὰρ εἰδὼς ἐδὲν, ἀλλ' ἄλλος πονεῖ.
ΟΙΔ. Σὺ πρὸς χάριν μὲν ἐκ ἐρεῖς, κλαίων δ' ἐρεῖς.
ΘΕΡ. Μὴ δῆτα πρὸς θεῶν τὸν γέροντά μ' αἰκίσῃ.
ΟΙΔ. Οὐχ ὡς τάχος τὶς τῆδ' ἀποστρέψει χέρας;
ΘΕΡ. Δύσηνος· ἀντὶ τῆ; τί προσχρήζων μαθεῖν;
ΟΙΔ. Τὸν παῖδ' ἔδωκας τῷδ'. ὃν ἦτος ἱσορεῖ;
ΘΕΡ. Ἔδωκ'· ὀλέσθαι δ' ὤφελον τῆδ' ἡμέρᾳ.

1161. Λέγεις ἀληθῆ] συνκαλαίθεται ὁ γέρων. Ἔδει γὰρ ταῦτα πρῶτον ὁμολογῆσαι, εἶτα ἐπάγειν τὰ συνεκλικώτατα, ἵνα μὴ ᾖ ἔξαρνος.

Ib. Μακρᾶ χρόνε] καὶ ταῦτα διὰ μακρᾶ χρόνε· ταὐτόν ἐστιν, ἐκ μακρᾶ χρόνε, καὶ διὰ μακρᾶ χρόνε· ἡ μὲν γὰρ Ἐκ, δηλοῖ τὴν ἀπὸ τῆς ἀρχῆς κίνησιν τᾶ μακρᾶ χρόνε· ἡ δὲ Διὰ τὴν ἐν τῷ μέσῳ κίνησιν τᾶ ἐπιπολὺ παραλειπομένε χρόνε. Ἔστι δὲ ταὐτὸν μακρόθεν εἰπεῖν ἄρξασθαι καὶ ἀρξάμενον διάστημα πολὺ ἐλθεῖν.

1163. Θρεψαίμην] ἵνα ἐγὼ ἀναθρεψαίμην αὐτὸν, δηλονότι, θρέμμα ἐμαυτῷ· ἦγεν, δι' ἐμαυτὸν ὡς ἐσόμενον ἐμαυτᾶ.

1164. Πρὸς τί] πρὸς τί ἀφορῶν, ἦγεν, ἐπὶ ποίῳ σκοπῷ· ἐπιφώνημα ἐφεκλικὸν, ἀφορῶν πρὸς εὐχαριστίαν.

Ib. Ἱσορεῖς] ἐρωτᾷς, ζητεῖς.

1166. Οὐκ εἰς ὄλεθρον] αἰσθηθεὶς ὁ γέρων τῶ πάντος, ἀρνήσασθαι βέλεται, ἐχ ὡς εἰδὼς καὶ ἀποκρυπτόμενος.

1171. Ἄλλος πονεῖ] μάτην ἔξω τᾶ προσήκοντος κοπιᾷ.

1173. Πρὸς θεῶν] δέομαι πρὸς τῶν θεῶν ἵνα μή με αἰκίσῃς τὸν γέροντα.

1175. Ἀντὶ τῆ] ἀντὶ τίνος.

Ib. Τί προσχρήζων μαθεῖν] λείπει ταῦτά με διαλῦσαι.

Ib. Δύσηνος] ἢ πρὸς τὸ δύσηνος σιγλέον, ἦτος, δύσηνός εἰμι· ἀντὶ τῆ, λέγεις τῆτο; τί προσχρήζων μαθεῖν, ἢ τὸ δύσηνος καὶ τὸ ἀντὶ τῆ σύναπλε ἦτος, ἀντὶ τῆ, περιαχθήσομαι ὁ δύσηνος; τί προσχρήζων μαθεῖν λέγεις τῆτο;

1177. Ὀλέσθαι δ' ὤφελον] τῆτο πάλιν, ἐχ ὡς εἰδὼς ὅτι αὐτὸς εἶη ὁ ἐκθεθειμένος, ἀλλ' ὅτι διὰ τὴν ἔκθεσιν τῆτο πάσχει.

1178. Ἀλλ'

ΟΙΔ. Ἀλλ' εἰς τόδ' ἥξεις, μὴ λέγων γε τἔνδικον.
ΘΕΡ. Πολλῷ γε μᾶλλον, ἢν φράσω, διόλλυμαι.
ΟΙΔ. Ἀνὴρ ὅδ', ὡς ἔοικεν, ἐς τριβὰς ἐλᾷ.
ΘΕΡ. Οὐ δῆτ' ἔγωγ'· ἀλλ' εἶπον ὡς δοίην πάλαι.
ΟΙΔ. Πόθεν λαβών; οἰκεῖον, ἢ 'ξ ἄλλε τινός;
ΘΕΡ. Ἐμὸν μὲν οὐκ ἔγωγ', ἐδεξάμην δέ τε.
ΟΙΔ. Τίνος πολιῶν τῶνδε, κἀκ ποίας ἑέγης;
ΘΕΡ. Μὴ πρὸς θεῶν, μὴ δέσποθ', ἱκόρει πλέον.
ΟΙΔ. Ὄλωλας, εἴ σε ταῦτ' εἰρήσομαι πάλιν.
ΘΕΡ. Τῶν Λαΐε τοίνυν τὶς ἦν γεννημάτων.
ΟΙΔ. Ἢ δοῦλος, ἢ κείνε τὶς ἐγγενὴς γεγώς;
ΘΕΡ. Οἴμοι· πρὸς αὐτῷ' εἰμὶ τῷ δεινῷ λέγειν.
ΟΙΔ. Κἀγὼ' ἀκούειν· ἀλλ' ὅμως ἀκουστέον.
ΘΕΡ. Κείνε γέ τοι δὴ παῖς ἐκλήζεθ'· ἡ δ' ἔσω
Καλλὶς ἂν εἴποι σὴ γυνὴ τάδ' ὡς ἔχει.
ΟΙΔ. Ἢ γὰρ δίδωσιν ἥδέ σοι;
ΘΕΡ. Μάλις', ἄναξ.
ΟΙΔ. Ὡς πρὸς τί χρείας;
ΘΕΡ. Ὡς ἀναλώσαιμί νιν.

1178. Ἀλλ' εἰς τόδ' ἥξεις] εἰς τὸ ἀποθανεῖν, μὴ λέγων τὸ ἀληθές.

Ib. Τἔνδικον] ὅπερ ἐςὶ δίκαιον λέγειν σε. Ὥσπερ τὸ μάλιςα ἐν τοῖς κατ' ἐρώτησιν λόγοις ἀπαιτῇ παρὰ τοῖς Ἀτθικοῖς, ἀντὶ τοῦ, Ναὶ, ἔτω καὶ τὸ ἔγωγε καὶ τὸ ἐκ ἔγωγε ἀντὶ τοῦ, ἐδαμῶς, ὡς ἐνλαῦθα. Ἐμὸν μὲν ἐκ ἔγωγε ἀντὶ τοῦ, ἐδαμῶς· ἦγεν, ἐμὸν μὲν ἐδαμῶς ὄνλα ἔδωκα· ἐδεξάμην δὲ τε ἀντὶ τοῦ, παρά τινος. Οἰκεῖον παῖδα ὄνλα λαβὼν ἔδωκας. Ἐμὸν παῖδα ὄνλα ἐδαμῶς λαβὼν ἔδωκα.

1180. Ἐς τριβὰς ἐλᾷ] ἦγεν, εἰς βραδυλῆτα, καὶ διαλείβας καὶ ἀναβολάς.

1181. Ὡς δοίην πάλαι] τὸ πάλαι πρὸς τὸ εἶπον συναπέον, καὶ ὁ πρὸς τὸ δοίην.

1185. Πρὸς θεῶν] συνίζησις.

1186. Ὄλωλας, εἴ σε ταῦτα] εἰ δευτέραν ἀναμείνης ἐξέτασιν.

Ib. Εἰρήσομαι] ὃ δῆθεν ἀπαραιτήτως ποιήσει, τοῦτο δὴ ὡς ἤδη γεγονὸς ἐπάγει. Φυσικὸς δὲ ὁ λόγος ἔτος, τὸ, τὰ ἀπαραιτήτως γενησόμενα καὶ ὁμολογουμένην ἔχοντα τὴν ἀπόδοσιν, λέγειν, ὡς ἤδη γεγονότα· οἷον, τέθνηκα εἰ ποιήσω τόδε, ἦγεν, ἔτω νομίζω ἀπαραιτήτως τεθνήξεσθαι ὥςε καὶ ὡς γεγονὸς τοῦτο ἤδη ἀποφαίνομαι.

1190. Ἀκουστέον] ἐνεργητικὸν ἐπίῤῥημα. Παθητικὸν κλίνεται.

1191. Ἡ δ' ἔσω] ἡ δ' ἔτω ἔσα, δηλονότι, ἡ σὴ γυνὴ εἴποι ἂν τάδε καλλίςα καθὰ διάκειται.

1196. Ὡς ἀναλώσαιμί νιν] ἀντὶ τοῦ, ἀπολέσαιμι.

ΟΙΔ. Τεκοῦσα τλήμων;

ΘΕΡ. Θεσφάτων γ' ὄκνῳ κακῶν.

ΟΙΔ. Ποίων;

ΘΕΡ. Κτενεῖν νιν τὸς τεκόνλας ἦν λόγος. 1200

Πῶς δῆτ' ἀφῆκας τῷ γέροντι τῷδε σύ;

ΘΕΡ. Καλοικλίσας, ὦ δέσποτ'· εἰς ἄλλην χθόνα
Δοκῶν ἀποίσειν, αὐτὸς ἔνθεν ἦν· ὁ δὲ
Κάκ' εἰς μέγις' ἔσωσεν· εἰ γὰρ ἔτος εἶ
Ὃν φησιν ἔτος, ἴσθι δύσπολμος γεγώς. 1205

ΟΙΔ. Ἰὼ, ἰώ· τὰ πάντ' ἂν ἐξίκοι σαφῆ.
Ὦ φῶς, τελευταῖόν σε προσβλέψαιμι νῦν·
Ὅσις πέφασμαι φύς τ' ἀφ' ὧν ἐ χρῆν, ξὺν οἷς
Τ' ἐ χρῆν μ' ὁμιλῶν, ἐς τέ μ' ἐκ ἔδει κλανών.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

ΧΟΡ. Ὦ γενεαὶ * βροτῶν, ὡς ὑμᾶς ἴσα καὶ τὸ μηδὲν 1210

* Aldus, Ἰὼ γενεαὶ.

1197. Τεκοῦσα τλήμων] κατ' ἐρώτησιν.

1198. Θεσφάτων] Ἡ ἀθλία ἔδωκέ σοι ἀπολέσαι αὐτὸν, δηλονότι, ὄκνῳ κακῶν ὑπὸ θεῦ προρρηθέντων· ναὶ δι' ὄκνον, ἤγεν, φόβον κακῶν θεσφάτων, ἤγεν, ὑπὸ θεῦ προρρηθέντων.

1200. Κτενεῖν νιν τὸς τεκόνλας] τοῦτο κατὰ σύλληψιν. ὁ γὰρ φονεύει τὴν μητέρα.

1201. Πῶς δῆτ'] παραληρητέον ὅτι τὸν γέροντα μελεπεμψαλο ἐπὶ τῷ ἀναιρεῖναι τὸν φόνον τῦ Λαΐυ, καὶ προβληθέντος ἑτέρυ τινὸς, ἐπὶ τὸ ἀναξκαιότερον τρέπεται.

1202. Καλοικλίσας] οἰκλισάμενος, ἤγεν, ἐλεήσας.

1203. Δοκῶν ἀποίσειν] ἰστέον ὅτι τὰ ἀπαξέμφαλα εἰ μὴ προηγεῖται εὐθεῖα, ἐδέποτ' εἰς εὐθεῖαν συνλάσσεται· ὥστε καὶ τὸ αὐτὸς ἐνλαῦθα ἐ πρὸς τὸ ἀποίσειν ἐστὶν, ἀλλὰ πρὸς τὸ ἔνθεν ἦν, ὥτως, δοκῶν καὶ νομίζων εἰς ἄλλην χθόνα ἀποίσειν καὶ κομίσειν ἔνθεν ἦν αὐτός.

1204. Μέγις'] ἤγεν, εἰς μεγίστας δυσυχίας γεγονὼς, ὑπάρχων.

1206. Ἐξίκοι σαφῆ] ἀντὶ τῦ, ἀποβαίη.

Ib. Σαφῆ] ὑποδεδειγμένα ἂν εἴη σαφῶς.

1207. Ὦ φῶς, τελευταῖόν σε] εὖ πεπλαγίασαι ὁ λόγος, ἐχ ὡς τὴν πήρωσιν αἰνιττόμενος, ἀλλ' ἐπὶ τὸν θάνατον αὐτῷ ὁ λόγος. Ἀπορήσας γὰρ ξίφος, ἑαυτὸν ἐτύφλωσεν.

Ib. Προσβλέψαιμι] ἀντὶ τῦ θεάσομαι, εὐκλικὸν ἀντὶ ὁριστικῦ· ἴσις δεδειγμαι καὶ γεννηθεὶς ἀφ' ὧν ἐκ ἦν πρέπον γεννηθῆναί με, καὶ ὁμιλῶν, ἤγεν, συνευναζόμενος σὺν οἷς ἐ πρέπον ἦν με ὁμιλεῖν, ἤγεν, τῇ μητρὶ, καὶ κλανὼν ὃς ἐκ ἔδει κλανεῖν με. Οὐ πρέπον ἦν γεννηθῆναί με δηλονότι. Οὐ πρέπον ἦν ὁμιλεῖν με.

1210. Ὡς ὑμᾶς ἴσα καὶ τὸ μηδὲν] ἔτως καὶ ἐν Αἴανλι· "ὁρῶ γὰρ ἡμᾶς ὄδὲν ὄνλας ἄλλο "πλὴν εἴδωλ' ὅσοι περιζῶμεν, ἢ κέφην σκίαν." Καὶ Πίνδαρος· "Τί δέ τις; τί δ' ἄτις; "σκιᾶς ὄναρ ἄνθρωποι."

Ib. Ὡς

Ζώσας ἐναριθμῶ!
Τίς γὰρ, τίς ἀνὴρ πλέον
Τᾶς εὐδαιμονίας φέρει,
Ἢ τοσοῦτον ὅσον δοκεῖν,
Καὶ δόξαντ', ἀποκλῖναι;
Τὸ σόν τοι παράδειγμ' ἔχων,
Τὸν σὸν δαίμονα, τὸν σὸν, ὦ τλᾶμον
Οἰδιπόδα, βροτῶν ὐδένα μακαρίζω·
Ὅσις καθ' ὑπερβολὰν τοξεύσας,
Ἐκράτησας τοῦ πάντ' εὐδαίμονος ὄλβου.
Ὦ Ζεῦ· κατὰ μὲν φθίσας τὰν γαμψώνυχα
Παρθένον χρησμῳδόν·
Θανάτων δ' ἐμᾷ χώρᾳ πύργος ἀνέσας,
Ἐξ ἧς καὶ βασιλεὺς καλῆ ἐμός·

1210. Ὡς ὑμᾶς ἴσα] Ὡς ἐπίσης, τὸ ὡς ἐπὶ βεβαιώσεως· ὡς ἐπίσης ὑμᾶς ζώσας τάτλω καὶ τὸ μηδὲν.

Ib. Ὦ γενεαὶ βροτῶν] ἀπιδὼν ὁ χορὸς πρὸς τὴν πάλαι τοῦ Οἰδίποδος εὐδαιμονίαν, καὶ τὴν ἄρτι συμβᾶσαν αὐτῷ τύχην, ἀποκλαίεται τὸ ἀνθρώπινον λέγων, ὦ γενεαὶ ἀνθρώπων, ὅντως ἐναριθμῶ καὶ συνλάτλω ζώσας ἡμᾶς τὰς γενεὰς, τὸ μηδὲν, ἴσα καὶ ὁμοίως. Τοῦτ' ἔστιν, ἅπανλας τὰς ζώντας ἀνθρώπους ἐκ ἄλλό τι ἡγημαι ἢ ὐδέν. Τίς γὰρ ἀνὴρ φέρει τὰς εὐδαιμονίας, καὶ τὰς εὐτυχίας πλέον ἢ τοσοῦτον ὅσον δοκεῖν καὶ φαίνεσθαι ὅτι ἐςί τις, καὶ δόξανλα ἀποκλῖναι καὶ ἀποπεσεῖν τῆς εὐδαιμονίας; τοῦτ' ἔςιν, οἱ εὐτυχοῦντες ὐδὲν πλέον ἀποφέρονται τῆς τύχης ἢ ὅσον δόξαν παρέχειν τοῖς ἀνθρώποις ὅτι εἰσί τινες, εἶτα ἀθρόον εἰς τὸ μηδὲν χωροῦσι. Νόει δὲ καὶ τὸ εὐδαιμονίας γενικὴν, ὅτω, τίς ἀνὴρ φέρει τῆς εὐδαιμονίας πλέον, ἢ τοσοῦτον ὅσον; καὶ τὰ ἑξῆς.

1211. Ἐναριθμῶ] ἐναριθμοῦμαι. Ἵν' ᾖ ῥῆμα πρώτου προσώπου, καὶ ὑ δοκ. κὴ ἀρσενικῶ.

1214. Ὅσον δοκεῖν] ὅσον δόξαι εὐδαίμων εἶναι· κατὰ ἀλήθειαν δὲ τοῦτο ἀνθρώπῳ ἐκ ἔςι· τὸ τῆς τύχης γὰρ ῥεῦμα μεῖαπίπλει ταχύ.

1215. Ἀποκλῖναι] πεσεῖν, ἢ ἀποβαλεῖν.

1216. Τὸ σόν τοι παράδειγμ' ἔχων] τὸν σὸν βίον παράδειγμα ἔχων, ὐδένα μακαρίζω καὶ εὐδαιμονίζω.

1218. Μακαρίζω] ἐπαινεῖ λαί τις ἐφ' οἷς ποιεῖ καλοῖς, καὶ ψέγεται ἐφ' οἷς ποιεῖ κακοῖς. Μακαρίζεται δέ τις ἐπὶ ἰσχύϊ καὶ πλέτῳ καὶ δυνάμει, ἃ ἐκ αὐτὸς ἐνεργήσας ἐκλήσαλο, ἀλλ' κληρονομήσας ἢ ἀπὸ φύσεως λαχών.

1219. Τοξεύσας] ἐπίλυχὼν, εὐτυχήσας.

1220. Τοῦ πάντ' εὐδαίμονος] τῆς μακαριότητος τῆς κατὰ πάντα εὐτυχοῦς, ἤγεν, ἐγένε μακαρισός.

1221. Τὰν γαμψώνυχα] τὴν ἔχουσαν ἀγκύλας τὰς ὄνυχας, τὴν ἐμμέτρως ᾄδουσαν τὰς μαντείας.

Ib. Τὰν γαμψώνυχα] ἤγεν, τὴν Σφίγγα. Ἰσέον δ' ὅτι ἡ Σφὶγξ εἶχε πρόσωπον καὶ κεφαλὴν κόρης, σῶμα κυνὸς, πτερὰ ὄρνιθος, φωνὴν ἀνθρώπου, ὄνυχας λεόντος.

Ib. Γαμψώνυχα παρθένον] τὴν Σφίγγα.

1223. Θανάτων δ' ἐμᾷ χώρᾳ] Θανάτων τῶν ὑπὸ τῆς Σφιγγὸς γινομένων.

Ib. Πύργος δὲ] ἀντὶ τοῦ, ἀσφάλεια καὶ ἀπαλέξησις γέγονε.

Καὶ τὰ μέγις᾽ ἐτιμάθης, 1225
Ταῖς μεγάλαισιν ἐν Θήβαις ἀνάσσων·
Τανῦν δ᾽ ἀκύειν, τίς ἀθλιώτερος;
Τίς ἐν πόνοις, τίς ἄταις ἀγρίαις
Ξύνοικος ἀλλαγᾷ βίᾳ;
Ὦ * κλεινὸν Οἰδίπα κάρα, 1230
Ὦ μέγας λιμὴν αὐτὸς ἤρκεσε †
Παιδὶ καὶ πατρὶ θαλαμηπόλῳ πεσεῖν.
Πῶς ποτε, πῶς ποθ᾽ αἱ πατρῷαί
Σ᾽ ἄλοκες φέρειν, τάλας,
Σῖγ᾽ ἐδυνάσθησαν ἐς τοσόνδε; 1235
Ἐφεῦρέ σ᾽ ἄκουθ᾽ ὁ πάνθ᾽ ὁρῶν χρόνος·
Δικάζει τὸν ἄγαμον γάμον πάλαι,
Τεκνῦλα καὶ τεκνούμενον.
Ὦ Λαΐειον τέκνον,

* Aldus, Ἰὼ. † Aldus ἤρκησεν.

Ib. Θανάτων] ἕνεκα τῶν θανάτων τῶν ἀπὸ τῆς Σφιγγὸς δηλονότι.

1227. Τὰ νῦν δ᾽ ἀκύειν] εἰς τὸ ἀκύειν.

1228. Ἄταις ἀγρίαις.] ἀκαλασχέτοις, ἀκαλαπονήτοις.

1229. Ξόνοικος ἀλλαγᾷ βίᾳ] ξυνοικῶν τῇ τοῦ βίου μεταβολῇ.

1230. Περιφρασικῶς, ὦ ἔνδοξε Οἰδίπους, κατὰ τὴν τοῦ πρώτου βίου μεταβολήν.

1231. Ὦ μέγας λιμὴν] ᾧτινι Οἰδίποδι μέγας λιμὴν αὐτὸς καὶ εἷς, ἦγεν Ἰοκάστη, ἢ μετὰ καὶ ἀρκετὸς ἐφάνη παιδὶ καὶ θαλαμηπόλῳ καὶ νυμφίῳ πατρί, ὥστε πεσεῖν τοῦτον τὸν Οἰδίποδα ἐν αὐτῷ τῷ λιμένι. Τοῦτ᾽ ἔχει, Ἰοκάστη καὶ παῖδα τὸν Οἰδίποδα ἔσχε καὶ πατέρα τῶν αὐτῶν παίδων.

Ib. Ὦ μέγας λιμὴν] ᾧ ὑποδοχὴ εἰς τὸ ἅμφω δέξασθαι, σὲ καὶ τὸν πατέρα. Ἢ ὅτι μήτηρ ἦν καὶ γυνὴ ἡ Ἰοκάστη, ἣν λέγει λιμένα.

1232. Θαλαμηπόλῳ] νυμφίῳ.

1234. Ἄλοκες] ἀντὶ τοῦ, αὐλακες, αἱ κοῖται, αἱ σποραὶ, οἱ γάμοι.

Ib. Αὔλακες] ἤγαγε, ἡ γύνη ἔνθα σπείρει ὁ πατὴρ σέ

1235. Σῖγ᾽ ἐδυνάσθησαν] πῶς (φησὶ) φωνὴν ἀφῆκαν;

1237. Δικάζει τὸν ἄγαμον] δικάζει καὶ κρίνει καὶ ἐκφαίνει ὁ χρόνος τὸν πάλαι κακόγαμον γάμον, τεκνῦλα καὶ γεννῶλα, καὶ τεκνούμενον καὶ γεννώμενον. Τοῦτ᾽ ἔχει, τὸν ἀνόμως ὑπάρξαντα γάμον τοῦ Λαΐου δείκνυσιν ὁ χορὸς, καὶ τεκνῦλα καὶ τεκνοποιῦλα, διὰ τὴν Οἰδίποδος πρὸς Ἰοκάστην μίξειν. Καὶ τεκνούμενον καὶ γεννώμενον, διὰ τὸ ἐξ αἱμάτων τοῦτον γεννηθῆναι. Ἢ τὸ ἄγαμον γάμον διὰ τὸν Οἰδίποδα νοητέον, ὅτι, δικάζει ὁ χρόνος τὸν ἄγαμον καὶ κακόγαμον γάμον τοῦ Οἰδίποδος πρὸς Ἰοκάστην, τεκνῦλα καὶ τεκνοποιῦλα ἐξ αὐτῆς, καὶ τεκνούμενον καὶ γεννώμενον αὐτὸν ἐξ αὐτῆς.

1238. Τεκνοῦντα] Σὲ δηλονότι τεκνῦλα ὄθεν ἐτεκνώθης.

1241. Ὡς

Εἴθε σ' εἴθε μήποτ' ἰδόμαν.
Ὀδύρομαι γὰρ ὡς περίαλλα
Ἰαχέων ἐκ ςομάτων.
Τὸ δ' ὀρθὸν εἰπεῖν,
Ἀνέπνευσά τ' ἐκ σέθεν, καὶ
Κατεκοίμησα τὐμὸν ὄμμα.

ΙΑΜΒΟΙ.

ΕΞΑ. Ὦ γῆς μέγιςα τῆσδ' ἀεὶ τιμώμενοι,
Οἷ' ἔργ' ἀκούσεσθ'! οἷα δ' εἰσόψεσθ'! ὅσον
Δ' ἀρεῖσθε πένθος, εἴπερ ἐγγενῶς ἔτι
Τῶν Λαβδακείων ἐντρέπεσθε δωμάτων!
Οἶμαι γὰρ ὔτ' ἂν Ἴςρον ὔτε Φᾶσιν ἂν
Νίψαι καθαρμῷ τήνδε τὴν ςέγην, ὅσα
Κεύθει· τάδ' αὐτίκ' εἰς τὸ φῶς φανεῖ κακὰ
Ἑκόντα, κὐκ ἄκοντα· τῶν δὲ πημονῶν
Μάλιςα λυποῦσ', αἳ 'ν φανῶσ' αὐθαίρετοι.
ΧΟΡ. Λείπει μὲν ὐδ' ἃ πρόσθεν ᾔδειμεν τὸ μὴ ὐ

1241. Ὡς περίαλλα] περιάλλως, ὑπερβολικῶς.

1243. Τὸ δὲ σύντομον καὶ ὐ σκολιὸν εἰς τὸ εἰπεῖν.

1244. Ἀνέπνευσά τ' ἐκ σέθεν] ἤγην, διὰ σὲ, καὶ νῦν κατέμυσα τὸ ὄμμα. Ἐξ ὃ δηλοῖ, καὶ νῦν ἐπήρθημεν περισωθέντες.

1246. Ὦ γῆς μέγιςα] ἐξάγγελος ἔρχεται ἀπαγέλλων, ὅτι ἀγχόνῃ ἐτελεύτησεν ἡ Ἰοκάςη, καὶ ὁ Οἰδίπους ἑαυτὸν ἐτύφλωσεν.

Ib. Ὦ γῆς μέγιςα] ἄφιξις ἀγγέλου τὸν θάνατον Ἰοκάςης ἀγγέλλοντος.

1248. Ἀρεῖσθε πένθος] ἀντὶ τοῦ, λήψεσθε.

Ib. Ἐγγενῶς] γνησίως.

1249. Ἐντρέπεσθε] ἀντὶ τοῦ, ἐπιςρέφεσθε, ἐπιςροφὴν ἔχετε.

1250. Ἴςρον] Ποταμὸς ὁ νῦν Δανούβιος. Ποταμὸς καὶ οὗτος κατὰ τὴν Κολχίδα.

1251. Ὅσα κεύθει] τοῦτο οὕτω λέγε, Νίψαι καὶ καθᾶραι ἐν καθαρμῷ τήνδε τὴν ςέγην ἐκείνων ὅσα κεύθει καὶ κρύπτει. Ὅμοιον δὲ τῷ, Οἷοι νῦν βροτοί εἰσιν. Ὀφείλων γὰρ εἰπεῖν, Νίψαι τὴν ςέγην τῶν κακῶν ὅσα κρύπτει, ἃ αὐτίκα εἰς τὸ φῶς δείξει· ὁ δὲ λέγει, Νίψαι τὴν ςέγην ὅσα κακὰ κρύπτει, ἀποδιδοὺς τὸν λόγον πρὸς τὸ ἀνταποδοτικόν. Τὸ δὲ, τὰ δ' αὐτίκα, τὰ τοῦ Οἰδίποδος λέγει. Ἔμελλε γὰρ αὐτὸς μετ' ὀλίγον ἐξιέναι τυφλός.

1253. Ἑκόντα] ἑκὼν Οἰδίπους τετύφλωται, διὰ τὸ αὐτὸς ἑαυτὸν τυφλῶσαι· ἄκων δ', ὡς ὑπὸ τῶν κακῶν εἰς τοῦτο συνελαθεὶς, καὶ ὐ προαιρέσει οἰκείᾳ.

1254. Αἳ 'ν φανῶσ' αὐθαίρετοι] ἑκουσίως γὰρ ἑαυτὸν καὶ ὁ Οἰδίπους ἐτύφλωσε, καὶ ἡ Ἰοκάςη ἀπήγξατο· μάλιςα (φησὶ) τῶν κακῶν λυπεῖ τὰ μὴ ἐκ τύχης συμβάντα, ἀλλ' ὥσπερ ἐπίσπαςα καὶ αὐτάγρετα γιγνόμενα.

1255. Τὸ μὴ ὐ] συνίζησις.

Βαρύζον εἶναι· πρὸς δ' ἐκείνοισιν, τί φής;

ΕΞΑ. Ὁ μὲν τάχιστος τῶν λόγων εἰπεῖν τε καὶ
Μαθεῖν, τέθνηκε θεῖον Ἰοκάστης κάρα.

ΧΟΡ. Ὤ δυσάλαινα· πρὸς τίνος ποτ' αἰτίας;

ΕΞΑ. Αὐτὴ πρὸς αὑτῆς· τῶν δὲ πραχθέντων τὰ μὲν
Ἄλγις' ἄπεσιν· ἡ γὰρ ὄψις ἐ πάρα·
Ὅμως δ' ὅσον γε κἂν ἐμοὶ μνήμης ἔνι,
Πεύσῃ τὰ κείνης ἀθλίας παθήματα.
Ὅπως γὰρ ὀργῇ χρωμένη παρῆλθ' ἔσω
Θυρῶνος, ἵκετ' εὐθὺ πρὸς τὰ νυμφικὰ
Λέχη, κόμην σπῶσ' ἀμφιδεξίοις ἀκμαῖς.
Πύλας δ' ὅπως εἰσῆλθ', ἐπιρρήξασ' ἔσω,
Κάλει, τὸν ἤδη Λάϊον πάλαι νεκρὸν,
Μνήμην παλαιῶν σπερμάτων ἔχουσ', ὑφ' ὧν *
Θάνοι μὲν αὐτὸς, τὴν δὲ τίκτουσαν λίποι
Τοῖς οἵοις αὐτῇ δύσεκνον παιδουργίαν.

* Turn. in marg. ὑφ' ἧς.

1258. Θεῖον Ἰοκάστης κάρα] ἰσέον ὅτι ὁ μὲν Εὐριπίδης φησὶ τὴν Ἰοκάστην τεθνάναι πλησίον τῶν παίδων, ὅτε μονομαχήσαντες ὑπ' ἀλλήλων ἀπώλοντο· Σοφοκλῆς δὲ νῦν ταύτην φησὶν ἀγχόνῃ χρήσασθαι.

1261. Ἄλγις'] Τὰ πάνυ ἀλγεινὰ, ἤγουν, ἡ πρᾶξις τῆ Ἰοκάστη.

1264. Ὡς γὰρ παρῆλθεν] ἤγουν, παρεγένετο ἔσω τῶν Θυρῶνος, ὀργῇ, ἀντὶ τῆ, λύπῃ, χρωμένη· Θυρῶν δ' περιέχων τόπος τὰς Θύρας.

1266. Ἀμφιδεξίοις ἀκμαῖς] ἀμφιδέξιον τὸ ἐξ ἀμφοτέρων τῶν χειρῶν δεχόμενον καὶ λαμβανόμενον. Ἔστι δὲ καὶ ἀμφιδέξιον, εἶδος ὑποδήματος, ὃ καλοῦσι κόθορνον. Ἀμφιδέξιον δὲ νῦν τὸ περιεκτικόν.

1267. Πύλας δ' ὅπως εἰσῆλθ'] τὸ ἑξῆς, ὅπως εἰσῆλθεν ἔσω, ἐπιρρήξασα τὰς πύλας, τυπάς, κλείσασα· Ὅμηρος, "τὴν πρεῖς μὲν ἐπιρρήσσεσκον Ἀχαιοὶ, Τρεῖς δ' ἀναοίγεσκον" καλῶς δὲ τοῖς λέκτροις ἐπεμπίπτει. Δι' αὐτὰ γὰρ ἀπόλλυται.

1268. Κάλει] ἐκάλεις τον Λάϊον τὸν προμακρὺ ἤδη νεκρόν.

1269. Ἔχουσ', ὑφ' ὧν] εὕρηται καὶ ὑφ' ἧς, πρὸς τὸ μνήμην, ἔτως· ἔχουσα κατὰ νῶν καὶ λέγουσα τὴν μνήμην καὶ τὴν φρονίδα τῶν παλαιῶν σπερμάτων, ἣν εἶχεν ὁ Λάϊος τεκνοποιῆσαι, ὑφ' ἧς φρονίδος θάνοι μὲν αὐτὸς, λίποι δὲ παιδουργίαν δύσεκνον καὶ ἄνομον τὴν τίκτουσαν. Τίσι δὲ λίποι; τοῖς οἵοις καὶ τοῖς ἰδίοις αὐτῶν γεννήμασιν. Ἦτοι τῷ Οἰδίποδι.

1270. Τὴν δὲ τίκτουσαν λίποι] τὴν δὲ γυναῖκα λίποι τὴν ἑαυτὸ τελέσι, τῷ υἱῷ γυναῖκα παιδοποιόν.

Ib. Τίκτουσαν] δύσεκνον παιδουργίαν, ἀντὶ τῆ, παῖδας δύσπαιδας.

1277. Περικολῶνία]

Γοᾶτο δ' εὐνὰς, ἔνθα δύσηνος διπλᾶς
Ἐξ ἀνδρὸς ἄνδρας, καὶ τέκν' ἐκ τέκνων τέκοι.
Χὤπως μὲν ἐκ τῶνδ' ἐκέτ' οἶδ' ἀπόλλυται.
Βοῶν γὰρ εἰσέπαισεν Οἰδίπους, ὑφ' ἕ
Οὐκ ἦν τὸ κείνης ἐκθεάσασθαι κακόν·
Ἀλλ' εἰς ἐκεῖνον περιπολῶντ' ἐλεύσσομεν.
Φοίβᾳ γὰρ ἡμᾶς ἔγχος ἐξαιλῶν πορεῖν·
Γυναῖκά τ' ἐ γυναῖκα, μήτρῳαν δ' ὅπῃ
Κίχοι διπλῆν ἄρσεναν, ἕ τε καὶ τέκνων.
Λυσσῶντι δ' αὐτῷ δαιμόνων δείκνυσί τις·
Ο ὐδεὶς γὰρ ἀνδρῶν, οἳ παρῆμεν ἐγγύθεν.
Λεινὸν δ' ἀΰσας ὡς ὑφ' ὑγηᾷ τινος,
Πύλαις διπλαῖς ἐνήλατ'· ἐκ δὲ πυθμένων
Ἔκλινε κοῖλα κλεῖθρα, κἀμπίπλει ςέγη,
Οὗ δὴ κρεμαστὴν τὴν γυναῖκ' εἰσείδομεν,
Πλεκταῖς ἑώραις * ἐμπεπλεγμένην· ὁ δὲ,
Ὅπως ὁρᾷ νιν, δεινὰ βρυχηθεὶς τάλας,
Χαλᾷ κρεμαστὴν ἀρτάνην· ἐπεὶ δὲ γῇ
Ἔκειτο τλήμων †, δεινὰ δ' ἦν τἀνθένδ' ὁρᾶν.
Ἀποσπάσας γὰρ εἱμάτων χρυσηλάτους

* Turn. ἀώραις. † Aldus, ἔκειθ' ὁ τλήμων.

1277. Περιπολῶντα] περιερχόμενον, ὥσπερ ἐμμανῆ.

1278. Φοίβᾳ γὰρ ἡμᾶς] τὸ φοίβᾳ πρὸς τὸ ὅπῃ κίχοι, κατὰ κοινῆ λάμβανε, ἤτω, φοιτᾷ δὲ ὅπῃ κίχοι, καὶ καλαμβάνοι τὴν γυναῖκα Ἰοκάστην τὴν ἑ γυναῖκα, (μήτηρ γὰρ αὐτῷ ἦν) τὴν μήτρωαν διπλῆν ἄρσεναν, ἕ τε, ἤγουν, αὐτῷ, καὶ τῶν αὐτῷ τέκνων.

1280. Διπλῆν ἄρσεναν] διὰ τὸ ἐξ ἐκείνης ἐσπάρη καὶ εἰς ἐκείνην ἔσπειρεν.

1281. Δείκνυσί] ἀντὶ τοῦ, ἔδειξεν ὅπῃ ἦν ἡ γυνὴ δηλονότι.

1284. Ἐκ δὲ πυθμένων] ἀνέτρεψε τὰς πύλας καὶ καθέβαλεν ἐκ τῶν πυθμένων.

1285. Κἀμπίπλει ςέγη] Μετὰ σφοδρᾶς ὁρμῆς εἰσῆλθεν εἰς τὴν ςέγην.

1287. Πλεκταῖς ἑώραις] ἑώρα λέγεται κρέμασις, ὕψωσις, μέταρσις.

Ib. Ἑώρα διὰ τοῦ ἓ ψιλοῦ ὅθεν καὶ μετέωρον. Κρεμάθρα, δ' ἕ κρεμᾷ τίς τί.

1288. Βρυχηθεὶς] ἀντὶ τοῦ, βρυχησάμενος λέγεται ἐπὶ τῆς φωνῆς τῶν λεόντων, ἀντὶ τοῦ, ὁ ἄθλιος ἀνοίμωξεν.

1289. Ἀρτάνην] τὴν ἀναρτητικήν. Κυρίως δὲ ἀρτάνη λέγεται ἡ ἐκ τῶν καλωδίων ἀγχόνη.

1296. Σκότῳ]

Περόνας ἀπ' αὐτῆς, αἷσιν ἐξεστέλλετο,
Ἄρας ἔπαισεν ἄρθρα τῶν αὑτοῦ κύκλων,
Αὐδῶν τοιαῦθ'· ὅθ' οὕνεκ' οὐκ ὄψοιτό νιν,
Οὔθ' οἷ' ἔπασχεν, οὐθ' ὁποῖ' ἔδρα κακά·
Ἀλλ' ἐν σκότῳ τολοιπὸν, οὓς μὲν οὐκ ἔδει
Ὀψοίαθ'· οὓς δ' ἔχρῃζεν, οὐ γνωσοίατο.
Τοιαῦτ' ἐφυμνῶν πολλάκις τε κοὐχ ἅπαξ,
Ἤρασσ', ἐπαίρων βλέφαρα· φοίνιαι δ' ὁμοῦ
Γλῆναι γένει' ἔτεγγον· οὐδ' ἀνίεσαν
Φόνου * μυδώσας σταγόνας· ἀλλ' ὁμοῦ μέλας
Ὄμβρος χαλάζης αἵματος ἐτέγγετο.
Τάδ' ἐκ δυεῖν ἔῤῥωγεν, οὐ μόνου, κακὰ,
Ἀλλ' ἀνδρὶ καὶ γυναικὶ συμμιγῆ κακά.
Ὁ πρὶν παλαιὸς δ' ὄλβος, ἦν πάροιθε μὲν
Ὄλβος δικαίως, νῦν δὲ τῇδέ θ' ἡμέρᾳ
Στεναγμὸς, ἄτη, θάνατος, αἰσχύνη· κακῶν
Ὅσ' ἐστὶ πάντων ὀνόματ', οὐδέν ἐσ' ἀπόν.

* Turn. φόνον.

1296. Σκότῳ] οἱ γὰρ τυφλοὶ πρὸς ἃ μὲν ἀπελθεῖν βούλονται, οὐ καταρθοῦνται, πρὸς ἃ δ' οὐ βούλονται ἀγνοοῦντες πορεύονται. Οὐκ ὄψονται αὐτὸν οὔτε οἷα ἔπασχεν οὔτε ὁποῖα ἔδρα. Ὅμοιον τῷ, Ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;

1296, 1297. Ἀλλ' ἐν σκότῳ τολοιπὸν, οὓς μὲν οὐκ ἔδει ὀψοίαθ'· οὓς δ' ἔχρῃζεν, οὐ γνωσοίατο] τὸ συμβαῖνον πᾶσι τοῖς τυφλοῖς εἶπεν. Οὐχ ὁρῶντες γὰρ, πολλάκις συμπίπτουσιν οἷς οὐκ ἂν ἐβούλοντο, οὐχ ὁρῶσι δὲ ὧν δέονται. Ἐν σκότῳ οὖν ἔσται καὶ ἀγνωσία.

1296. Ἀλλ' ἐν σκότῳ] οἱ γὰρ τυφλοὶ, περιφερόμενοι οὐ δύνανται ὑπὸ τῆς τυφλώσεως καταμαθεῖν οὓς ἂν θέλωσιν, ἀλλ' ἄλλοις ἀντὶ ἄλλων προσέρχονται.

1297. Οὐ γνωσοίατο] ἀντὶ τοῦ, οὐ γνώσονται.

1298. Ἐφυμνῶν] ἀνοιμώζων.

1299. Ἤρασσ', ἐπαίρων βλέφαρα] ἀναπετάσας τοὺς ὀφθαλμοὺς ἔπαιεν.

1302. Ὄμβρος χαλάζης] ἐπειδὴ τὸ μὲν αἷμα μέλαν, λευκὸν δὲ τὸ δάκρυον, μίγμα δ' ἦν ἀμφοτέρων τούτων τὸ ἐξ ὀφθαλμῶν τοῦ Οἰδίποδος στάζον, πρὸς μὲν τὸ αἵματος, μέλας ὄμβρος εἶπε· πρὸς δέ, τὸ δάκρυον, ὄμβρος καλάζης.

1303. Ἐκ δυεῖν] τὰ δὲ κακὰ ἔῤῥωγε καὶ ἐῤῥάγησαν ἐκ δυοῖν, οὐ μόνου, ἤγουν, τοῦ Οἰδίποδος.

1305. Ὁ πρὶν παλαιὸς] ὁ πολυχρόνιος δὲ ὄλβος, ὁ πρότερον.

1306. Τῇδε θ' ἡμέρᾳ] κατὰ ταύτην τὴν ἡμέραν ἐστὶ δηλονότι.

1308. Ὅσα ἐστὶν ὀνόματα] πάντων τῶν κακῶν, οὐδέν ἐστιν ἀπὸν, ἤγουν, οὐδὲν ἄπεστιν, ἀλλὰ πάντα πάρεστι δηλονότι.

ΧΟΡ. Νῦν δ' ἐσθ' ὁ τλήμων ἐν τίνι σχολῇ κακῇ;
ΑΓΓ. Βοᾷ διοίγειν κλεῖθρα *, καὶ δηλεῖν τινὰ
Τοῖς πᾶσι Καδμείοισι τὸν πατροκλόνον,
Τὸν μητρὸς, αὐδῶν ἀνόσι', ἃ δὲ ῥητά μοι·
Ὡς ἐκ χθονὸς ῥίψων ἑαυτὸν, οὐδ' ἔτι
Μενῶν δόμοις ἀραῖος ὡς ἠράσατο.
Ῥώμης γε μέντοι καὶ προηγητοῦ τινος
Δεῖται· τὸ γὰρ νόσημα μεῖζον ἢ φέρειν.
Δείξει δὲ καὶ σοί· κλεῖθρα γὰρ πυλῶν τάδε
Διοίγεται· θέαμα δ' εἰσόψει τάχα
Τοιοῦτον, οἷον καὶ στυγοῦντ' ἐποικτίσαι.

ΑΝΑΠΑΙΣΤΟΙ.

ΧΟΡ. Ὦ δεινὸν ἰδεῖν πάθος ἀνθρώποις,
Ὦ δεινότατον πάντων ὅσ' ἐγὼ
Προσέκυρσ' ἤδη· τίς σ', ὦ τλῆμον,
Προσέβη μανία; τίς σ', ποθήσας
Δαίμων μείζονα † τῶν μετρίων
Πρὸς τῇ σῇ δυσδαίμονι μοίρᾳ;
Φεῦ, φεῦ, δύσαν'· ‡ ἀλλ' ὐδ' ἐσιδεῖν
Λύναμαί σε θέλων πόλλ' ἀνερέσθαι,
Πολλὰ πυθέσθαι, πολλὰ δ' ἀθρῆσαι·

* Aldus, κλῆθρα. † Ald, μείζονα δαίμων. ‡ Ald. δύσανος.

1309. Νῦν δὲ ἐν τίνι σχολῇ] ἤγουν, διαῤῥιζῇ κακῇ ἔστιν ὁ τλήμων.

Ib. Ἐν τίνι σχολῇ] οἷον, ἐν ποίᾳ διατριβῇ.

1310. Βοᾷ διοίγειν κλεῖθρα] πιθανὴ ἡ αἰτία τοῦ ἐξίεναι αὐτὸν, ἵνα (φησὶ) δείξῃ τοῖς πολίταις ὅτι ἀξίως ἑαυτὸν ἐτιμωρήσαλο, ἐπὶ ἀκουσίοις παθήμασι, καὶ ὡς μέλλων ἑκοντὶ ἐξιέναι τῆς πόλεως διὰ τὰς ἀρὰς ἃς ἔφθασεν ἐπαρασάμενος.

Ib. Διοίγειν κλεῖθρα] τὸν καλέχουλα καὶ ἀσφαλίζουλα τὰς πύλας. Ἀπὸ τούτων δὲ δηλοῖ τὰς πύλας.

1312. Τὸν μητρὸς] ἔμελλε λέγειν τὸν μητρὸς μιάζορα· σιγᾷ δὲ τοῦτο διὰ τὸ αἰσχρὸν, καὶ φῆναι ἀνόσιον, ἄῤῥητον εἶναι.

Ib. Οὐδὲ ῥητά μοι] ἃ πρέπουλα λέγεσθαι ὑπ' ἐμοῦ.

1316. Μεῖζον ἢ φέρειν] βαρὺ, πλέον ἢ ὥστε δύνασθαι φέρειν τινά.

1317. Δείξει] δεδείξεται καὶ σοὶ ὁποῖόν ἐστι.

1320. Ὦ δεινὸν ἰδεῖν πάθος ἀνθρώποις] ἴσως οἱ κατὰ τὸν χορὸν ἰδόντες ἀπεγράφησαν, μὴ δυνάμενοι θεασάσθαι τὸ πάθος.

Ib. Ὦ δεινὸν] δεινοπαθεῖ ὁ χορὸς ἐπὶ τοῖς συμβᾶσι.

1323. Τίς

Τοίαν φρίκην παρέχεις μοι.

ΟΙΔ. Αἶ αἶ αἶ αἶ.

Φεῦ, φεῦ, δύςανος ἐγώ· ποῖ γᾶς
Φέρομαι τλάμων; πᾶ μοι φθογγὰ
Διαπέταται φοράδην;
Ὦ δαῖμον, ἵν' ἐξήλυ;

ΙΑΜΒΟΣ.

ΧΟΡ. Ἐς δεινὸν, ὐδ' ἀκυςὸν, ὐδ' ἐπόψιμον.

ΠΕΡΙΚΟΜΜΑΤΑ. ΣΤΡΟΦΗ Α.

ΟΙΔ. Ἰὼ σκότυ νέφος ἐμὸν
Ἀπότροπον ἐπιπλόμενον *,
Ἄφατον ἀδάμαςόν τε
Καὶ δυσύριςον· οἴμοι,
Οἴμοι μάλ' αὖθις· οἷον εἰσέδυ μ' ἅμα
Κέντρων τε τῶνδ' οἴςρημα, καὶ μνήμη κακῶν.

ΣΥΣΤΗΜΑ Α.

ΧΟΡ. Καὶ θαῦμά γ' ὐδέν ἐν τοσύτοις † πήμασι,
Διπλᾶ σε πενθεῖν, καὶ διπλᾶ φέρειν κακά.

* Aldus, ἐπιπλώμενον. † Aldus, τοσοῖσδε. rectè.

1323. Τίς ὁ πηδήσας] ὁ ἐπιδραμών. Τὸ δὲ πᾶν ὕτως, τίς ἀπὸ τῶν δαιμόνων κατώρθωσε μείζονα τῶν μηκίςων, ἐπὶ τῇ σῇ δυςυχεῖ μοίρᾳ;

1331. Ποῖ γᾶς φέρομαι] πῦ εἶμι; ἐν ποίῳ χωρίῳ ἡ φθογγή μυ φέρεται; τίνος ἀκύω; πῦ ἐςιν ἡ φθόγγη, ἥτις σφόδρα μοι διαπέταται, ἧς φερομένης ἀκύω; Ἢ ὕτως, ἀντὶ τῦ ἀπέπτη ἡ φωνή.

1332. Πᾶ μοι φθογγὰ] ἤγυν, ἐν ποίῳ μέρει τῆς γῆς ἡ ἐμὴ φωνὴ διακέχυται; ὐκ οἶδα γὰρ ὅπυ τυγχάνων βοῶ.

1334. Ἵν' ἐξήλυ] ἡ μεταφορὰ ἀπὸ τῶν ἀγωνιζομένων.

1335. Οὐδ' ἀκυςὸν] προσιτὸν εἰς ἀκοὴν, θεατὸν, ἐπόψιμον, προσιτὸν εἰς θέαν.

1337. Ἀπότροπον] ὃ ἄν τις ἀποτρέψαιτο.

1338. Ἄφατον] ἀφάτως ἐπεληλυθός.

Ib. Ἀδάμαςον] ἀνίατον, ὃ ὐδεὶς δαμάσαι δυνήσεται. Ἢ σκληρὸν καὶ τραχὺ, ἀπὸ τῦ ἀδάμαντος.

1339. Δυσύριςον] ὅρον μὴ ἔχον, ἀλλ' ἀεὶ παραμένον, δυσπεριόδευτον.

1340. Οἷον εἰσέδυ μ' ἅμα] οἷον ὁμῦ με εἰσέδυ ἥ τε ἀπὸ τῆς πηρώσεως ἀλγηδὼν, καὶ ἡ τῶν κακῶν ὑπόμνησις.

1341. Κέντρων τε τῶνδ'] εἰλήφει γὰρ αὐτὸν ὀδύνη ἐπεὶ νεωςὶ τοῖς κέντροις ἐπεπήρωτο.

1341. Κέντρων τε τῶνδ'] ἤγυν, τῶν ἀλγηδόνων τῆς πηρώσεως. Τὸ δὲ πᾶν ὕτως, οἷα περιωδύνια τῶν ἀλγηδόνων τῶνδε εἰσέδυ μ' ἅμα,

ΑΝΤΙΣΤΡΟΦΗ Α.

ΟΙΔ. Ἰὼ φίλος, σὺ μὲν ἐμὸς,
Ἐπίπολος ἔτι μόνιμος.
Σὺ γὰρ * ὑπομένεις τόν γε †
Τυφλὸν κηδεύων· φεῦ, φεῦ.
Οὐ γάρ με λήθεις, ἀλλὰ γινώσκω σαφῶς,
Καίπερ σκοτεινὸς, τήν γε σὴν αὐδὴν ὅμως.

ΑΝΤΙΣΥΣΤΗΜΑ Α.

ΧΟΡ. Ὦ δεινὰ δράσας, ὡς ἔτλης τοιαῦτα σὰς
Ὄψεις μαρᾶναι; τίς σ' ἐπῆρε δαιμόνων;

ΣΤΡΟΦΗ Β.

ΟΙΔ. Ἀπόλλων τάδ' ἦν, Ἀπόλλων, φίλοι ‡,
Ὁ κακὰ τελῶν τάδ' ἐμὰ § πάθεα.
Ἔπαισε δ' αὐτόχειρ νιν ἔτις, ἀλλ' ἐγὼ
Τλάμων· τί γὰρ ἔδει μ' ὁρᾶν,
Ὅτῳ γ' ὁρῶνλι, μηδὲν ἦν ἰδεῖν γλυκύ;

ΣΥΣΤΗΜΑ Β.

ΧΟΡ. Ἦν ταῦθ', ὅπως περ καὶ σὺ φῄς.

ΣΤΡΟΦΗ Γ.

ΟΙΔ. Τὶ δή ποτ' ἐμοὶ βλεπτὸν, ἢ

* Aldus, ἔτι γὰρ. † Ald. ὑπομένεις ἐμὲ τὸν. ‡ Ald. Ὦ φίλοι.
§ Ald. ἐμὰ τάδ' ἐμὰ.

μ' ἄμα, καὶ οἷα δηλονότι μνήμη κακῶν τῶν περὶ ἑρῶν.

1345. Ἐπίπολος] περιπολῶν ἐμὲ καὶ περιμένων ἔτι. Νῦν δὲ τὰς ἀπὸ τῆ χορῆ γνωρίζει, ἴσως διὰ τὸ τηλαρέχθαι ἐπὶ τῷ τοσούτῳ προσφάλῳ κακῷ.

1351. Τίς σ' ἐπῆρε δαιμόνων] ἤγνω, ἔπεισε. Καὶ Εὐριπίδης, "Ὅστις μ' ἐπάρας ἔργον ἀνοσιώτατον."

1352. Ἀπόλλων] ἦν ὁ τὰ ἐμὰ κακὰ πάθη τάδε τελῶν, ἀντὶ τῆ, τελέσας.

1353. Ἐμὰ πάθεα] συνίζησις.

1354. Νιν] δεικλικῶς, αὐτός. Κατὰ τὶ ἤγνεν, κατὰ ποῖον σκόπον πρέπον ἦν.

1356. Ὁ παραλαλικὸς ἀντὶ ἐνεργῶντος.

1358. Τί δή ποτ'] κατ' αἰτιαλικὴν λέγεται τὸ τί. Προσυπακούεται δὲ ἐν τούτοις τὸ οἰκεῖον, κατ' ἀναλογίαν τῆ προῤῥηθέντος. Οἷον, τί δῆτ' ἐμοὶ προσήγορον, ἤγνεν προσαγορευτικὸν, ἀπὸ τῆ νῦν ἐστιν ἐμοὶ ἀκούειν σὺν ἡδονῇ; ἢ τί βλεπτὸν, ἢ ὁραῖόν ἐστιν ἐμοὶ ὁρᾶν σὺν ἡδονῇ;

Στερκτὸν, ἢ προσήγορον,
Ἔτ' ἔς' ἀκούειν ἡδονᾷ, φίλοι;
Ἀπάγετ' ἐκτόπιον ὁτιτάχιστά με,
Ἀπάγετ', ὦ φίλοι, τὸν ὄλεθρον μέγαν *,
Τὸν καταρατότατον, ἔτι δέ γε καὶ
Θεοῖς ἐχθρότατον βροτῶν.

ΣΥΣΤΗΜΑ Γ.

ΧΟΡ. Δείλαιε τοῦ νοῦ, τῆς τε συμφορᾶς ἴσον,
Ὥς σ' ἠθέλησα μηδ' ἀναγνῶναί ποτ' ἄν †.

ΑΝΤΙΣΤΡΟΦΗ Β.

ΟΙΔ. Ὄλοιθ' ὅστις ἦν, ὃς ‡ πέδας
Ἐπιποδίας § μ' ἀπό τε φόνου
Ἔῤῥυτο κἀνέσωσεν, οὐδὲν εἰς χάριν
Πράσσων· τότε γὰρ ἂν θανὼν
Οὐκ ἦν φίλοισιν οὐδ' ἐμοὶ τοσόνδ' ἄχος.

ΑΝΤΙΣΥΣΤΗΜΑ Β.

ΧΟΡ. Θέλοντι κἀμοὶ τοῦτ' ἂν ἦν.

ΑΝΤΙΣΤΡΟΦΗ Γ.

ΟΙΔ. Οὔκουν πατρός γ' ἂν φονεὺς
Ἦλθον, οὐδὲ νυμφίος
Βροτοῖς ἐκλήθην ὧν ἔφυν ἄπο.

* Turn. μέγα. † Ald. πότε. ‡ Ald. ὃς ἀπ' ἀγρίας.
§ Ald. νομάδος ἐπιποδίας.

ἡδονῇ; ἢ τί στερκτὸν, ἤγουν, ἀγαπήτον, ἐστὶν ἐμοὶ ἀγαπᾶν σὺν ἡδονῇ;

1365. Δείλαιε τοῦ νοῦ] ἄθλιε κατίσον, ἕνεκα τοῦ νοῦ, ἤγουν, τοῦ σκοποῦ τῆς ἐπινοίας καὶ ἕνεκα τῆς συμφορᾶς· ἤγουν, ἕνεκα ὧν σοὶ συνέβη καὶ ἕνεκα ὧν ἐπενοήσω.

1367. Ὄλοιθ' ὅστις ἦν] ἀπόλοιτο (φησὶν) ὅστις ἀπὸ τῆς ἀγρίας πέδης τῆς διανεμομένης τοὺς πόδας μου ἔλαβε καὶ διέσωσέ με.

1368. Νομάδος ἐπιποδίας] ἐν τῇ δημοσίᾳ ὁδῷ τῇ ὑπὸ τῶν νομέων πατουμένῃ.

1369. Οὐδὲν εἰς χάριν] εἰς οὐδενὸς χάριν τὴν ἐμὴν σωτηρίαν ἐργαζόμενος· ἀντὶ τοῦ, μηδὲν χρηστὸν ἐργασάμενος, ἐν τῷ διασῶσαί με.

Ib. Οὐδὲν ποιῶν, ἀφορῶν εἰς εὐχαριστίαν.

1370. Τότε γὰρ ἂν θανὼν] ἀντὶ τοῦ θανόντος· ἢ τὸ ἦν, ἀντὶ τοῦ, ἤμην.

1375. Βροτοῖς ἐκλήθην] εἰ μὲν τὸ βροτοῖς πρὸς

Νῦν δ' ἄθλιος μέν εἰμ', ἀνοσίων δὲ παῖς,
Ὁμογενὴς δ' ἀφ' ὧν αὐτός γ' ἔφυν τάλας.
Εἰ δέ τι πρεσβύτερον ἔφυ κακῦ
Κακὸν, τῦτ' ἔλαχ' Οἰδίπυς.

ΑΝΤΙΣΥΣΤΗΜΑ Γ.

ΧΟΡ. Οὐκ οἶδ' ὅπως σὲ φῶ βεβυλεῦσθαι καλῶς.
Κρείσσων γὰρ ἦσθα μηκέτ' ὢν, ἢ ζῶν τυφλός.

ΙΑΜΒΟΙ.

ΟΙΔ. Ὡς μὲν τάδ' ὐχ ὧδ' ἔς' ἄρις' εἰργασμένα,
Μή μ' ἐκδίδασκε, μηδὲ συμβύλευ' ἔτι.
Ἐγὼ γὰρ ὐκ οἶδ' ὄμμασιν ποίοις βλέπων
Πατέρα πότ' ἂν προσεῖδον εἰς ᾅδυ μολὼν,
Οὐδ' αὖ τάλαιναν μητέρ', οἷν ἐμοὶ δυοῖν
Ἔργ' ἐςὶ κρείσσον' ἀγχόνης εἰργασμένα.
Ἀλλ' ἡ τέκνων δῆτ' ὄψις ἦν ἐφαίμερος,
Βλαςῦσ' ὅπως ἔβλαςε προσλεύσσειν ἐμοί.

πρὸς τὸ ἐκλήθην συνάψεις, ἀντὶ τῦ, πᾶσι τοῖς βροτοῖς νοήσεις. Εἰ δὲ πρὸς τὸ νυμφίος, ἀντὶ τῦ, τῇ μητρί· τὸ δ' ἀνοσίων παῖς, ἀντὶ τῦ, ἀνάγνων καὶ ἀκαθάρτων, καὶ μὴ κατὰ γνώμην θεῶν σπειράντων.

Ib. Βροτοῖς] Ὑπὸ τῶν βροτῶν ὠνομάσθην ἐκείνων ἀφ' ὧν ἐγεννήθην.

1377. Ἀφ' ὧν αὐτὸς ἔφυν τάλας] ἐξ ὧν ἐτέχθην, ἐξ αὐτῶν καὶ τέτοκα.

1378. Εἰ δέ τι πρεσβύτερον] εἴτι κακῦ κάκιον, τῦτ' ἔλαχεν Οἰδίπυς.

1382. Ὡς μὲν τάδ'] τὰ τῆς τυφλώσεως.

Ib. Ὡς μὲν τάδ'] ἐπίκρισις Οἰδίποδος, ὡς καλῶς ταῦτα ἔπραξε καὶ ἀξίως τῆς αὐτῦ ἁμαρτίας.

1384. Ἐγὼ γὰρ ὐκ οἶδ' ὄμμασιν] φησὶ πρὸ τῦ θανάτυ ταῦτα διαθεῖναι, ὅπως ἂν τοῖς γονεῦσι καθ' ᾅδυ μὴ συντυγχάνῃ ὁρῶν· εἶναι γὰρ αὐτῷ τῦτο αἰσχρόν.

1386, 1387. Οἷν ἐμοὶ δυοῖν ἔργ' ἐςὶ κρείσσον' ἀγχόνης εἰργασμένα] ἀγχόνης ἐπικρατέςερα· ἅπερ ὐκ ἦν ἰᾶσθαι ὐδὲ ἐν θανάτῳ. Διὰ τύτυ ὐν ἀπολογεῖται ὅτι μεῖζον κακὸν διεπράξατο εἰς ἑαυτὸν, ἢ εἴπερ ἦν τελευτήσας.

1387. Ἔργ' ἐςὶ] πρὸς ὃς ἀμφοτέρυς ἔργα ἐςὶν ὑπ' ἐμῦ πεποιημένα κρείσσονα ἀγχόνης, ἀντὶ τῦ, μείζονος κακῦ ἄξια ἢ ἀγχόνης ἢ πνιγμονῆς.

1388. Ἀλλ' ἡ τέκνων δῆτ' ὄψις] ἐν ἐρωτήσει.

Ib. Ἀλλ' ἡ τέκνων] ἤγυν, ἡ τῶν τέκνων θεωρία εἰς φῶς φανεῖσα, ὡς ἐφάνη, ἦν ἐμοὶ ἀξία ἐπιθυμεῖσθαι, εἰς τὸ βλέπειν αὐτὴν ἐμέ. Οὐδ' ἄςυ, ὐδὲ πύργος, ὐδὲ τὰ ἱερὰ ἀγάλματα τῶν θεῶν ἦσαν ἐμοὶ δηλονότι, ἄξια ἐπιθυμεῖσθαι εἰς τὸ βλέπειν αὐτὰ ἐμέ.

Οὐ δῆτα, τοῖς γ' ἐμοῖσιν ὀφθαλμοῖς ποτὲ,
Οὐδ' ἄχυ γ', οὐδὲ πύργος, οὐδὲ δαιμόνων
Ἀγαλμαθ' ἱερὰ, τῶν ὁ παύλήμων ἐγὼ
Κάλλιστ' ἀνὴρ εἶς, ἔν γε ταῖς Θήβαις τραφείς,
Ἀπεξέρησ' ἐμαυτὸν, αὐτὸς ἐννέπων
Ὠθεῖν ἄπαυλας, τὸν ἀσεβῆ, τὸν ἐκ θεῶν
Φανέντ' ἄναγνον, καὶ γένους τῶ Λαΐου.
Τοιάνδ' ἐγὼ κηλῖδα μηνύσας ἐμὴν,
Ὀρθοῖς * ἔμελλον ὄμμασιν τύτους † ὁρᾶν;
Ἥκιστά γ'· ἀλλ' εἰ τῆς ἀκουστῆς ἔτ' ἦν
Πηγῆς δι' ὤτων φραγμὸς, ἐκ ἠνεσχόμην ‡
Τὸ μὴ ποκλεῖσαι τἄμὸν ἄθλιον δέμας,
Ἵν' ἦν τυφλός τε καὶ κλύων μηδέν· " τὸ γὰρ
" Τὴν φρονῖδ' ἔξω τῶν κακῶν οἰκεῖν, γλυκύ."
Ἰὼ Κιθαιρὼν, τί μ' ἐδέχυ; τί μ' ἀ λαβὼν
Ἐκλεινας εὐθύς; ὡς ἔδειξα μή ποθε
Ἐμαυτὸν ἀνθρώποισιν ἔνθεν ἦν γεγώς.
Ὦ Πόλυβε, καὶ Κόρινθε, καὶ τὰ πάτρια
Λόγῳ παλαιὰ δώμαθ', οἷον ἆρά με
Κάλλος κακῶν ὕπελον ἐξεθρέψαλε.

* Turn. ὀρθῆς. † Turn. τύτοις. ‡ Ald. ἀνεσχόμην.

1390. Οὐ δῆτα] Οὐδαμῶς ἦν ἐφίμερος ἐμοὶ εἰς τὸ βλέπειν αὐτὴν ἐμέ ποθε διὰ τῶν ἐμῶν ὀφθαλμῶν.

1392. Ὁ παύλήμων ἐγὼ] τὸ ὁ, ἐ πρὸς τὸ παύλήμων, ἀλλὰ πρὸς τὸ τραφεὶς συναπτέον· τὸ δὲ κάλλιστα πρὸς τὸ ἀπεξέρησα.

1395. Τὸν ἐκ θεῶν] ἢ τῆς μερίδος τῶν θεῶν.

1397. Κηλῖδα μηνύσας] Ὅτως ἐγὼ τὸν ἐμὸν μολυσμὸν προμηνύσας, ἤγνευ, προκηρύξας.

1399. Ἀλλ' εἰ τῆς] ἤγνευ, εἰ ἐπὶ τύτοις ἦν φραγμὸς διὰ τῶν ὤτων τῆς ἀκουστῆς πηγῆς, ἤγνευ, τῆς ἀκουστικῆς δυνάμεως.

1403. Τὴν φρονῖδ' ἔξω] ἤγνευ, τὸ μὴ τῶν κακῶν φρονῖδα καὶ μνήμην ποιεῖσθαι, ὃ γένοιτο ἂν ὀφθαλμῶν καὶ ὤτων ἐκ ὄντων. Ὁρῶν γάρ τις καὶ ἀκούων ἀναπεμπάζει ἃ εἶδε καὶ ἤκουσε.

1409. Κάλλος ἔξεχον τῶν κακῶν] ἤγνευ, περιφανὲς κακόν.

Ib. Ὕπελον] Ὑποπῖον, κρυπῖόν. Ὡς εἰ ἔλεγε, τὸ κράτιστον τῶν κακῶν.

Ib. Κακῶν ὕπελον] Ἀκάθαρῖος, μεμολυσμένος.

1410. Νῦν

Νῦν γὰρ κακός τ' ὢν κἀκ κακῶν εὑρίσκομαι.
Ὦ τρεῖς κέλευθοι, καὶ κεκρυμμένη νάπη,
Δρυμός τε καὶ ξενωπὸς ἐν τριπλαῖς ὁδοῖς,
Αἳ τἀμὸν αἷμα τῶν ἐμῶν χειρῶν ἄπο
Ἐπίεθε πατρὸς, ἆρά μ' ἐμνήσθ' ἔτι *,
Οἷ' ἔργα δράσας ὑμῖν, εἶτα δεῦρ' ἰὼν
Ὅποι' ἔπρασσον αὖθις; ὦ γάμοι, γάμοι,
Ἐφύσαθ' ἡμᾶς, καὶ φυτεύσαντες πάλιν
Ἀνεῖτε ταὐτὸν σπέρμα, κἀπεδείξατε
Πατέρας, ἀδελφὰς, παῖδας, αἷμ' ἐμφύλιον,
Νύμφας, γυναῖκας, μητέρας τε, χὤπόσα
Αἴσχιστ' ἐν ἀνθρώποισιν ἔργα γίνεται.
Ἀλλ' ("οὐ γὰρ αὐδᾶν ἔστ' ἃ μηδὲ δρᾶν καλόν")
Ὅπως τάχιστα πρὸς θεῶν ἔξω μέ πως
Καλύψατ', ἢ φονεύσατ', ἢ θαλάσσιον
Ἐκρίψατ', ἔνθα μήποτ' εἰσόψεσθ' ἔτι.
Ἴτ', ἀξιώσατ' ἀνδρὸς ἀθλίου θιγεῖν.
Πείθεσθε, μὴ δείσητε· τἀμὰ γὰρ κακὰ
Οὐδεὶς βροτῶν πλὴν ἐμὲ φέρειν ἱκανός.
ΧΟΡ. Ἀλλ' ὧν ἐπαίρεις, ἐς δέον πάρεστ' ὅδε
Κρέων, τὸ πράσσειν καὶ τὸ βουλεύειν ἐπεί

* Aldus, μέμνησθ', ὅτι.

1410. Νῦν γὰρ κακὸς τ' ὢν] μὴ λάβῃς τὸ τὲ ἀργὸν, ὡς τινές φασιν, ἀλλ' ἅτω λέγε, νῦν γὰρ εὑρίσκομαι καὶ ὢν κακὸς καὶ ἐκ κακῶν.

1411. Καὶ κεκρυμμένη νάπη] τὸ κεκρυμμένη διπλῶς νοηθέον· ἢ διότι πᾶσαι αἱ λόχμαι ἐκ ἔμπροσθέν εἰσι τῆς ὁδοῦ, ἀλλ' ἰδίᾳ ἐν φάραγξιν, ἢ ὄρεσιν· ἢ ὅτι ἐν αὐταῖς κρυπτόμενοί τινες λῃστείαν ἐργάζονται· ἢ τὸ κεκρυμμένη, ἀντὶ τοῦ, ἀκαλαφόβητε. Οὐ γὰρ ἐγίνασκέ τις τί ἔμελλεν ἐν αὐτῇ γενήσεσθαι.

Ib. Ἀδχμη, δάσος, σύνδενδρος τόπος.

1418. Ἀνεῖτε ταὐτὸν σπέρμα] ἀνεβώκαλε, ἤγαγεν, ὦ μῆτερ ἡ γεννήσασά με, καὶ πάλιν ἑαυτὴν εἰς σπορὰν ἐμοὶ δοῦσα· τὸ δὲ, πατέρας, ἀδελφὰς, διότι ἐκ μητρὸς ἐπαιδοποίησα, καὶ διότι ὡς ἔσπειρα, ἐκ τῆς αὐτῆς μητρὸς ἐγεννήθησαν.

1425. Μήποτ' εἰσόψεσθ' ἔτι] ἀντὶ τοῦ, μηκέτι ποτὲ, ἤγαγεν, μηδαμῶς εἰς τὸ ἑξῆς ποτ' ὄψεσθε.

1429. Ἀλλ' ὧν ἐπαίρεις] ὧν χρείαν ἔχεις εἰς βοήθειαν.

1430. Τὸ πράσσειν] μὴ λάβῃς τὸ τὲ ἀργὸν, ὡς

Χώρας λέλειπται μοῦνος ἀντὶ σοῦ φύλαξ.
ΟΙΔ. Οἴμοι· τί δῆτα λέξομεν πρὸς τόνδ' ἔπος;
Τίς μοι φανεῖται πίστις ἔνδικος; τὰ γὰρ
Πάρος πρὸς αὐτὸν πάντ' ἐφεύρημαι κακός.
ΚΡΕ. Οὐχ ὡς γελαστὴς, Οἰδίπους, ἐλήλυθα,
Οὔθ' * ὡς ὀνειδιῶν τι τῶν πάρος κακῶν.
Ἀλλ' εἰ τὰ θνητῶν μὴ καταισχύνεσθ' ἔτι
Γένεθλα, τὴν γοῦν πάντα βόσκουσαν φλόγα
Αἰδεῖσθ' ἄνακτος ἡλίου, τοιόνδ' ἄγος
Ἀκάλυπτον οὕτω δεικνύναι, τὸ μήτε γῆ,
Μήτ' ὄμβρος ἱερὸς, μήτε φῶς προσδέξεται.
Ἀλλ' ὡς τάχιστ' ἐς οἶκον ἐσκομίζετε.
" Τοῖς ἐν γένει γὰρ τὰ 'γγενῆ μάλισθ' ὁρᾷν
" Μόνοις τ' ἀκούειν εὐσεβῶς ἔχει κακά."
ΟΙΔ. Πρὸς θεῶν, ἐπείπερ ἐλπίδος μ' ἀπέσπασας
Ἄριστος ἐλθὼν πρὸς κάκιστον ἄνδρ' ἐμὲ,
Πιθοῦ τί μοι· πρὸς σοῦ γὰρ, οὐδ' ἐμοῦ, φράσω.
ΚΡΕ. Καὶ τοῦ με χρείας ὧδε λιπαρεῖς τυχεῖν;
ΟΙΔ. Ῥίψον με γῆς ἐκ τῆσδ' ὅσον τάχισθ', ὅπου
Θνητῶν φανοῦμαι μηδενὸς προσήγορος.
ΚΡΕ. Ἔδρασ' ἂν (εὖ τοῦτ' ἴσθ' ἂν) εἰ μὴ τοῦ θεοῦ
Πρώτιστ' ἔχρῃζον ἐκμαθεῖν τί πρακτέον.

* Aldus, οὐδ'.

ὥς τινές φασιν, ἀλλ' οὕτω λέγε, ἀλλὰ πάρεστιν ὅδε ὁ Κρέων εἰς δέον ἐκείνων ὧν ἐπαιτεῖς· εἶτα μεθερμηνευτικὸν τοῦ εἰς δέον ἐπάγει τὸ πράσσειν καὶ τὸ βουλεύειν. Καὶ ἐπειδὴ τὸ δέον ἐστὶν αἰτιατικὴ διὰ τὴν εἰς πρόθεσιν, διὰ τοῦτο καὶ τὸ αἰτιατικὸν ἄρθρον τὸ τὸ τέθειται.

1445. Πρὸς θεῶν] ἐπειδὴ κακὸν Οἰδίπους τὸν Κρέοντα προλαβὼν ἐνόμισε, διὸ καὶ ἐξορίαν αὐτοῦ κατεψηφίσατο, ἤλπιζεν αὐτὸς μᾶλλον ἀποδειχθεὶς κακὸς καὶ παράνομος, ὡς οὐκ ἂν ἐθελήσῃ, εἴ τινος αὐτοῦ δεηθείη, τοῦτο πληρῶσαι· διὰ τοῦτο ἄνδρα κάκιστον ἑαυτὸν λέγει, καὶ ἀποσπάσαι αὐτὸν τῆς ἐλπίδος ἣν εἰς αὐτὸν εἶχεν.

Ib. Πρὸς θεῶν] συνίζησις.

1447. Πρὸς σοῦ γὰρ] μὴ λάβῃς τὸ πρὸς ἀντὶ, τοῦ ὑπὲρ, ὥς τινές φασιν, ἀλλὰ λαμβάνων τὸ πρὸς ἀργὸν, οὕτω λέγε, ὃ γὰρ μέλλω εἰπεῖν, φράσω καὶ εἴπω τοῦτό σου, ἤγουν, εἰς σὲ συντελοῦν.

1455. Οὕτως

ΟΙΔ. Ἀλλ' ἤγ' ἐκείνῳ πᾶσ' ἐδηλώθη φάτις,
Τὸν πατροφόνην τὸν ἀσεβῆ μ' ἀπολλύναι.
ΚΡΕ. Οὕτως ἐλέχθη ταῦθ'· ὅμως δ' ἵν' ἔσαμεν 1455
Χρείας, ἄμεινον ἐκμαθεῖν τί δρασέον.
ΟΙΔ. Οὕτως ἄρ' ἀνδρὸς ἀθλίᾳ πεύσεσθ' ὕπερ;
ΚΡΕ. Καὶ γὰρ σὺ νῦν τ' ἂν τῷ θεῷ πίσιν φέροις.
ΟΙΔ. Καὶ σοί γ' ἐπισκήπτω τε, καὶ προτρέψομαι,
Τῆς μὲν κατ' οἴκους αὐτὸς ὃν θέλεις τάφον 1460
Θοῦ· (καὶ γὰρ ὀρθῶς τῶνγε σῶν τελεῖς ὕπερ)
Ἐμοῦ δὲ μή ποτ' ἀξιωθήτω τόδε
Πατρῷον ἄστυ ζῶντος οἰκῆσαι τυχεῖν·
Ἀλλ' ἔα με ναίειν ὄρεσιν ἔνθα κληίζεται
Οὐμὸς Κιθαιρὼν ἔτος, ὃν μήτηρ τέ μοι 1465
Πατήρ τ' ἐθέσθην ζῶντε κύριον τάφον.
Ἵν' ἐξ ἐκείνων, οἵ μ' ἀπωλλύτην, θάνω.
Καίτοι τοσοῦτόν γ' οἶδα, μήτέ μ' ἂν νόσον,
Μήτ' ἄλλο πέρσαι μηδέν· ἐ γὰρ ἄν ποτε
Θνήσκων ἐσώθην, μὴ 'πί τῳ δεινῷ κακῷ. 1470
Ἀλλ' ἡ μὲν ἡμῶν μοῖρ', ὁπηπερ εἶσ', ἴτω.

1455. Οὕτως ἐλέχθη ταῦθ'· ὅμως δ' ἵν' ἔσαμεν] ὁ μὲν τῷ προειρημένῳ χρησμῷ ἀξιοῖ ἀκολουθεῖν, ὅτι δεῖ ῥίπτειν αὐτὸν ἀπὸ τῆς χώρας· ὁ δὲ Κρέων ἐπανέρεσθαι φησὶ δεῖν, ὅτι καὶ Λαΐῳ παῖς καὶ βασιλεὺς τυγχάνει.

Ib. Ὅμως δ' ἵν' ἔσαμεν χρείας] ἡ χρεία ἡ παλέχυσα ἡμᾶς (φησὶ) ταῦτα ἀπαιτεῖ.

1457. Ὑπὲρ ἀνδρὸς] ὑπὲρ ἀνδρὸς δὲ ἔτους ἀθλίᾳ πεύσεσθε, ἤγων, ἐρωτήσετε.

1458. Καὶ γὰρ σὺ νῦν τ' ἂν τῷ θεῷ πίσιν φέροις] ἵνα καὶ μετὰ γνώμης θεῦ ἀπέλθῃς.

Ib. Πίσιν φέροις] βεβαίωσιν. Ἤγων, ἤκουσα τί σοὶ περὶ σε ὁ Θεὸς ἐθέσπισεν. Οὐκοῦν ἐμμένοις ἂν τῷ θεσπίσματι.

1462. Ἐμοῦ δὲ ζῶντος] μήποτε ἄξιον κριθήτω τόδε τὸ πατρῷον ἄστυ οἰκήτορος τυχεῖν.

1464. Ἀλλὰ ἔα με] συνίζησις.

1466. Κύριον τάφον] ἴδιον, ἢ ὀφειλόμενον καὶ κεκυρωμένον.

1467. Ἵν' ἐξ ἐκείνων, οἵ μ' ἀπωλλύτην, θάνω] ἵνα δόξῳ νῦν ἀναιρεῖσθαι ἐν τῷ Κιθαιρῶνι, καθὼς τοῖς γονεῦσιν ἐδόκει. Καὶ νῦν τῷ βουλήματι αὐτῶν ἀπόλλυμαι.

Ib. Ἵν' ἐξ ἐκείνων] ἤγων, ἵνα πληρωθῇ τὸ βέλημ' αὐτῶν. Ὅσον γὰρ τὸ κατ' ἐκείνους, ἐπ' ἀπωλείᾳ με ἔῤῥιψαν ἐκεῖ. Ἐπεὶ δ' ἀπωλλύτην εἶπεν, ἐπάγει, ἐπεὶ καὶ ἐπ' ἀπωλείᾳ ἐκεῖσε ἐῤῥίφην. Ἀλλ' ἐπειδὴ εἱμαρμένον ἐκ τῶν θεῶν ἦν τὰ καὶ τὰ ποιήσειν με, ὅτε νόσος ἐμελλεν ἀφανίσειν με, ὅτε θηρίον, ὅτε λῃστής. Ἔσι δὲ τὸ ἐ γὰρ καὶ τὸ μὴ, ἐκ παραλλήλου.

Ib. Ἵν' ἐξ ἐκείνων] ἐκ συνεργίας ἐκείνων θάνω, ἤγων, τῇ πατρὸς καὶ τῆς μητρός.

1476. Χαρὶς]

Παίδων δὲ τῶν μὲν ἀῤῥένων μή μοι, Κρέων,
Πρόσθῃ μέριμναν· ἄνδρες εἰσὶν, ὥςε μὴ
Σπάνιν ποτὲ σχεῖν, ἔνθ' ἂν ὦσι, τοῦ βίου.
Ταῖν δ' ἀθλίαιν οἰκτραῖν τε παρθένοιν ἐμαῖν,
Αἷν οὔ ποθ' ἡ μὴ χωρὶς ἐςάθη βορᾶς
Τράπεζ' ἄνευ τοῦδ' ἀνδρός· ἀλλ' ὅσων ἐγὼ
Ψαύοιμι, πάντων τῶνδ' ἀεὶ μετειχέτην·
Αἷν μοι μέλεσθαι, καὶ μάλιςα μὲν χεροῖν
Ψαῦσαί μ' ἔασον, κἀποκλαύσασθαι κακά.
Ἴθ', ὦ ἄναξ.
Ἴθ', ὦ γονῇ γενναῖε. Χερσὶ δ' ἂν θιγὼν,
Δοκοῖμ' ἔχειν σφᾶς, ὥσπερ ἡνίκ' ἔβλεπον.
Τί φημι;
Οὐ δὴ κλύω που πρὸς θεῶν τοῖν μοι φίλοιν
Δακρυῤῥοούντοιν; καί μ' ἐποικτείρας Κρέων,
Ἔπεμψέ μοι τὰ φίλτατ' ἐγγόνοιν ἐμοῖν;
Λέγω τί;
ΚΡΕ. Λέγεις· ἐγὼ γάρ εἰμ' ὁ πορσύνας τάδε,
Γνοὺς τὴν παροῦσαν τέρψιν, ἧς εἶχες πάλαι.
ΟΙΔ. Ἀλλ' εὐτυχοίης, καί σε τῆσδε τῆς ὁδοῦ

1476. Χωρὶς] τὸ δὲ πᾶν τοιοῦτον, ὧν χωρὶς, οὔ ποτε ἐςάθη ἡ ἐμὴ τοῦδε τοῦ ἀνδρὸς, ἤγουν, ἡ ἐμοῦ τοῦδε τοῦ ἀνδρὸς βορᾶς, ἤγουν, τροφῆς τράπεζα.

1477. Τράπεζ' ἄνευ] τὸ ἄνευ καὶ τὸ χωρὶς ἐκ παραλλήλου, ὅτως, ὧν χωρὶς οὔποθ' ἡ ἐμὴ τοῦδε τοῦ ἀνδρὸς βορᾶς τράπεζα ἐςάθη. Δέον δ' εἰπεῖν, ἡ τράπεζα ἐμοῦ τοῦδε τοῦ ἀνδρὸς, ἡ ἐμὴ πρὸς τὸ τράπεζα εἶπε· καὶ ἔςιν ὅμοιον τῷ, Κρηναῖα λιμνῶν τέκνα. Σύναπτε δὲ καὶ τὸ, μάλιςα μὲν χεροῖν ψαῦσαί μ' ἔασον, πρὸς τὸ, ταῖν, δ' ἀθλίαιν οἰκτραῖν τε· τὸ δὲ αἷν μοι μέλεσθαι, διὰ μέσου λέγε· ἔχει δὲ τὸ μὲν τὴν ἀπόδοσιν, πρὸς τὸ, χερσὶ δ' ἂν θιγών· εἰ καὶ τὸ, ἴθ' ὦ ἄναξ, διὰ μέσου εἴρηται.

1485. Οὐ δὴ κλύω που πρὸς θεῶν] αἰσθάνεται τῶν θυγατέρων παρουσῶν.

Ib. Τοῖν μοι φίλοιν δακρυῤῥοούντοιν;] ἀντὶ τοῦ, τῶν ἐμῶν θυγατέρων. Δέον δὲ εἰπεῖν δακρυῤῥούσαιν, ἀρσενικῶς ἐξήνεγκεν. Ἔςι δὲ ἀττικώτερον, ὡς τὸ μὰ τὼ θεώ. Καὶ τὼ χεῖρε.

Ib. Ποῦ πρός θεῶν] τοῦτο διὰ μέσου λάμβανε, καὶ ἔςι τοῦτο ὥσπερ δεῖγμα τῆς τούτου πρὸς αὐτὰς προθυμίας.

1491. Τῆσδε τῆς ὁδοῦ] τῆς τῆς ἀρχῆς ἐπικρατήσεως, μέχρις οὗ οἱ ἐμοὶ παῖδες ἄξιοι γενωνται, ἡ οὕτω, καὶ σὲ ὁ δαίμων φρουρήσειεν ἐν τῷ βίῳ κρεῖττον ἢ ἐμὲ, ἕνεκα τῆσδε τῆς ὁδοῦ, ἤγουν, τῆς τῶν θυγατέρων πρὸς ἐμὲ πέμψεως.

1495. Αἷ

Δαίμων ἄμεινον ἢ 'μὲ φρενήσας τύχοι.
Ὦ τέκνα, ποῖ ποτ' ἐσέ; δεῦρ' ἴτ', ἔλθετε
Ὡς τὰς ἀδελφὰς τάσδε τὰς ἐμὰς χέρας,
Αἳ τῷ φύτεργῷ παιδὸς ὑμῖν ὧδ' ὁρᾶν
Τὰ πρόσθε λαμπρὰ πρὲξένησαν ὄμματα.
Ὅς ὑμῖν, ὦ τέκν', ἔθ' ὁρῶν, ἔθ' ἱσορῶν,
Πατὴρ ἐφάνθην, ἔνθεν αὐτὸς ἠρόθην·
Καὶ σφὼ δακρύω· (προσβλέπειν γὰρ ἐσθένω)
Νοήμενος τὰ λοιπὰ τῆ πικρῆ βίᾳ,
Οἷον βιῶναι σφὼ πρὸς ἀνθρώπων χρεών.
Ποίας γὰρ ἀγῶν' ἵξετ' * εἰς ὁμιλίας;
Ποίας δ' ἑορτὰς, ἔνθεν ἐ κεκλαυμέναι
Πρὸς οἶκον ἵξεσθ' ἀντὶ τῆς θεωρίας;
Ἀλλ' ἡνίκ' ἂν δὴ πρὸς γάμων ἵκητ' ἀκμὰς,
Τίς ἔτος ἔσαι; τίς παραῤῥίψει τέκνα,
Τοιαῦτ' ὀνείδη λαμβάνων, ἃ τοῖς ἐμοῖς
Γονεῦσιν ἔσαι σφῷν θ' ὁμῶ † δηλήματα;
Τί γὰρ κακῶν ἄπεστι; τὸν πατέρα πατὴρ
Ὑμῶν ἔπεφνε· τὴν τεκοῦσαν ἤροσεν,
Ὅθεν περ αὐτὸς ἐσπάρη· κἀκ τῶν ἴσων
Ἐκλήσαθ' ὑμᾶς, ὥνπερ αὐτὸς ἐξέφυ.
Τοιαῦτ' ὀνειδιεῖσθε· κἄτα τίς γαμεῖ;

* Aldus, ἥξετ'. † Turn. σφῶν δ' ὁμῶ.

1495. Αἳ τῷ φυτεργῷ παιδὸς] αἱ χεῖρες τῆ παιδὸς ὑμῶν τῷ φυσαύλος ἔτως ὁρᾶν, ἤγουν, τυφλώτλειν πρὲξένησαν τὰ πρότερον λαμπρὰ ὄμματα· ὃς ὑμῶν πατὴρ ἐφάνην, ὦ τέκνα, ὅθεν αὐτὸς ἐσπάρην, ἔτε ὁρῶν, ἔτε ἱσορῶν.

1502. Ποίας γὰρ ἀγῶν'] εἰς ποίας γὰρ ὁμιλίας ἀγῶν ἵξεσθε, εἰς ποίας δὲ ἑορτὰς ὅθεν ἐκ ἐπανήξεσθε πρὸς τὸν οἶκον κεκλαυμέναι ἀντὶ τῆς ἀπὸ τῆς θεωρίας τέρψεως· ἀντὶ τῆς τέρψεως τῆς ἀπὸ τῆς θεωρίας. Θεωρία ἡ ὄψις, θεωρία τὸ θέαθρον καὶ ἡ πανήγυρις, ἀφ' ἧ καὶ παρὰ τῷ Δημοσθένει θεωρικὰ χρήματα τὰ ἐν τῷ θεάτρῳ διδόμενα.

1507. Ὀνείδη λαμβάνων] τίς λαμβάνων, ὦ τέκνα, παρόψεται τοιαῦτα ὀνείδη ἃ τοῖς γονεῦσιν ὑμῶν ἔσαι καὶ ὑμῶν ὁμῶ δηλήματα, ἤγουν, βλάβαι, ἀτιμίαι.

1507. Τοιαῦτ' ὀνείδη] ἀκύσεται γὰρ ὅτι ὁ Λάϊος ὁ προπάτωρ αὐτῶ, ἢ γυνὴ Ἰοκάστη ἐμίγη τῷ ἰδίῳ παιδὶ, ἃ νῦν ἀπαριθμήσεται.

1510. Τεκοῦσαν] τῇ τεκούσῃ ἐμίγη, ἀφ' ἧς αὐτὸς ἐγεννήθη.

Οὐκ ἔςιν ȣ̓δεὶς, ὦ τέκν', ἀλλὰ δηλαδὴ
Χέρσȣς φθαρῆναι κᾀγάμȣς ὑμᾶς χρεών.
Ὦ παῖ Μενοικέως, ἀλλ' ἐπεὶ μόνος πατὴρ
Ταύταιν λέλειψαι, (νῷ γὰρ, ὦ φυτεύσαμεν,
Ὀλώλαμεν δύ' ὄντε) μή σφε παρίδῃς
Πτωχὰς, ἀνάνδρȣς, ἐγγενεῖς ἀλωμένας.
Μηδ' ἐξισώσῃς τάσδε τοῖς ἐμοῖς κακοῖς·
Ἀλλ' οἴκτισον σφᾶς, ὧδε τηλικάσδ' ὁρῶν,
Πάντων ἐρήμȣς, πλὴν ὅσον τὸ σὸν μέρος.
Ξύνευσον, ὦ γενναῖε, σῇ ψαύσας χερί.
Σφῶϊν δ', ὦ τέκν', εἰ μὲν εἰχέτην ἤδη φρένας,
Πόλλ' ἂν παρῄνȣν· νῦν δὲ τȣ̃τ' εὔχεσθέ μοι,
Οὗ καιρὸς αἰεὶ ζῆν, βίȣ δὲ λῴονος
Ὑμᾶς κυρῆσαι τȣ̃ φυτεύσαντος πατρός.

ΤΡΟΧΑΙΘΙ.

ΚΡΕ. Ἅλις ἵν' ἐξήκεις δακρύων· ἀλλ' ἴθι ςέγης ἔσω.
ΟΙΔ. Πειςέον, κεἰ μηδὲν ἡδύ.
ΚΡΕ. "Πάντα γὰρ καιρῷ καλά."
ΟΙΔ. Οἶσθ' ἐφ' οἷς ȣ̃ν εἰμί;
ΚΡΕ. Λέξεις, καὶ τότ' εἴσομαι κλύων.
ΟΙΔ. Γῆς μ' ὅπως πέμψεις ἄποικον.
ΚΡΕ. Τȣ̃ θεȣ̃ μ' αἰτεῖς δόσιν.

1513. Τοιαῦτ' ὀνειδιεῖσθε] ὑβρισθήσεσθε.
1514. Ὦ τέκνα] Οἰδίποδος αὖθις ἐλεεινολογία περί τε ἑαυτȣ̃ καὶ τῶν θυγατέρων.
1515. Χέρσȣς φθαρῆναι] εἰκότως φθαρῆναι εἶπε, καὶ ȣ̓ τεθνάναι. Φθορὰ γάρ ἐςιν ἀληθῶς τὸ μὴ γάμων καὶ τέκνων τυχεῖν, ἀλλ' εἰκῆ καὶ μάτην τὸν αἰῶνα διελθεῖν.
1516. Μενοικέως] συνίζησις.
1521. Τηλικάσδ' ὁρῶν] ἀντὶ τȣ̃, μικράς.
1522. Ξύνευσον—ψαύσας] ἀντὶ τȣ̃ καταινεύσας ψαῦσον αὐτῶν δηλονότι τῇ σῇ χειρί.
1524. Σφῶϊν δ', ὦ] συνίζησις.
1525. Εὔχεσθε] τὸ εὔχεσθε, παθητικῶς κεῖται, ἤτοι εὐχῆς τυγχάνετε ὑπ' ἐμȣ̃.
1528. Ἐξήκεις δακρύων] μετοχή ἐςιν ἐνταῦθα τὸ δακρύων. Τὸ ὄνομα γὰρ ἀεὶ βραχὺ ἔχει τὸ υ· ἡ μετοχὴ δέ δύναται καὶ μακρὸν αὐτὸ ἔχειν καὶ βραχύ· ἐνταῦθα δὲ τὸ μέτρον μακρὸν αὐτὸ ζητεῖ ἔχειν.
Ib. Ἅλις ἵν'] ἐπίλογος.
1530. Πάντα γὰρ] γνωμικόν.
Ib. Καιρῷ] καιρὸς κατὰ Ἀριςοτέλην, ὁ δέων χρόνος, τȣτέςιν, ἐπιτηδεία ὥρα τȣ̃ ποιῆσαί τι.
1535. Ἀλλὰ

ΟΙΔ. Ἀλλὰ θεοῖς γ' ἔχθιστος ἥκω. 1535

ΚΡΕ. Τοιγαρῦν τεύξῃ τάχα.

ΟΙΔ. Φῂς τάδ' ἔν;

ΚΡΕ. Ἃ μὴ φρονῶ γὰρ, ὐ φιλῶ λέγειν μάτην.

ΟΙΔ. Ἄπαγε νῦν μ' ἐνλεῦθεν ἤδη.

ΚΡΕ. Στεῖχε νῦν· τέκνων δ' ἀφῦ. 1540

ΟΙΔ. Μηδαμῶς ταύτας * γ' ἔλῃ μυ.

ΚΡΕ. Πάνλα μὴ βέλυ κραλεῖν.
Καὶ γὰρ ἃ 'κράτησας, ὔ σοι τῷ βίῳ ξυνέσπελο.

ΧΟΡ. Ὦ πάτρας Θήβης ἔνοικοι, λεύσσετ', Οἰδίπυς ὅδε,
Ὃς τὰ κλεὶν' αἰνίγματ' ἤδει, καὶ κράτιστος ἦν ἀνὴρ,
Ὅσις ὐ ζηλῳ πολιῶν καὶ τύχαις ἐπιβλέπων, 1546
Εἰς ὅσον κλύδωνα δεινῆς συμφορᾶς ἐλήλυθεν!
"Ὥσε, θνητὸν ὄντ', ἐκείνην τὴν τελευλαίαν ἰδεῖν
"Ἡμέραν ἐπισκοπεῦλα, μηδέν' ὀλβίζειν, πρὶν ἂν
"Τέρμα τῦ βίυ περάσῃ, μηδὲν ἀλγεινὸν παθών."

* Aldus, πάνλας.

1535. Ἀλλὰ θεοῖς] συνίζησις.

1538. Ἃ μὴ φρονῶ γὰρ] ἤγουν, ἃ μὴ κατὰ νῦν ἔχω, ὐδὲ διὰ γλώττης προφέρω. Τὴν ἕν σὴν ἔξοδον ἐπεὶ ζηλεῖς, καὶ αὐτὸς ἐθέλω, ἐκεῖν τεύξῃ ταύτης.

1540. Τέκνων δ' ἀφῦ] ἀφίςασο. Τῇ προσῳδίᾳ ὡς ἀφαιρεῦ.

1543. Καὶ γὰρ ἃ 'κράτησας] ὅσα νενίκηκας, ὐ συνήνεγκέ σοι. Καὶ αὐτάρκως ἔχει τὸ δρᾶμα. Τὰ γὰρ ἐξῆς, ἀνοίκεια γνωμολογεῦνλος Οἰδίποδος

Ib. Καὶ γὰρ ἃ 'κράτησας] λέγω δὴ τὸ τὸν Λάϊον καλαβαλεῖν, ὅτε συνῆψας αὐτῷ μάχην, καὶ τὸ τὰ Σφιγγὸς εὑρεῖν αἰνίγματα.'

1546. Ὅσις] κράτιςος ἦν δηλονότι ἐκ εὐδαιμονίᾳ πολιτῶν καὶ εὐτυχίαις βαρρῶν, ἀλλ' ἐπὶ τῇ ἑαυτῦ δηλονότι ἀρετῇ. "Ὥσε χρὴ πάνλα ἄνθρωπον ἐπισκοπεῦλα τὴν τελευλαίαν ἐκείνην ἰδεῖν ἡμέραν τῦ θανάτυ, καὶ μηδένα μακαρίζειν θνητὸν ὄνλα, πρὶν ἂν ὁ τοιῦτος τὸ τέρμα τῦ βίυ διέλθῃ μηδὲν δεινὸν πεπονθώς.

1547. Ὥσε θνητὸν ὄνλα] ὥσε μηδένα ὄνλα θνητὸν ὀλβίζειν καὶ εὐδαιμονίζειν τινὰ, ἐπισκοπεῦλα ἰδεῖν τὴν τελευλαίαν τῆς ζωῆς αὐτῦ ἡμέραν, πρὶν ἂν περάσῃ καὶ διέλθῃ τέρμα καὶ τέλος τῦ βίυ, μηδὲν ἀλγεινὸν καὶ λυπηρὸν παθών, ἀλλ' ἀκέραιον τὴν εὐδαιμονίαν διασωσάμενος. Ἔςι δὲ τὸ τελευλαίαν ἡμέραν, καὶ τὸ τέρμα τῦ βίυ, ταὐτόν. Παραφράζει δὲ τὴν τῦ Σόλωνος ῥῆσιν, ἣν ἔφη πρὸς Κροῖσον, ὅτε αὐτῷ τὰς θησαυρὰς ἐδείκνυ· ἡ δὲ ἦν, ὡς ὐ χρὴ πρὸ τελευλῆς ἄνδρα μακαρίζειν.

ΣΟΦΟΚΛΕΟΥΣ

ΟΙΔΙΠΟΥΣ ΕΠΙ ΚΟΛΩΝΩ.

ΥΠΟΘΕΣΙΣ

ΤΟΥ ΕΠΙ ΚΟΛΩΝΩ.

ΟΙΔΙΠΟΔΟΣ.

Ὁ Ἐπὶ Κολωνῷ Οἰδίπες συνημμένος ὡς ἐςὶ τῷ Τυράννῳ. Τῆς γὰρ παλρίδος ἐκπεσὼν Οἰδίπες ἤδη γηραιὸς ὢν ἀφικνεῖται εἰς Ἀθήνας, ὑπὸ τῆς θυγαλρὸς Ἀνλιγόνης χειραγωγέμενος· ἦσαν γὰρ τῶν ἀρσένων * αἱ θήλειαι περὶ τὸν παλέρα φιλοσοργότεραι †. Ἀφικνεῖται δὲ εἰς Ἀθήνας κατὰ τὸ πυθόχρησον, ὡς αὐτός φησι, χρησθὲν αὐτῷ, παρὰ ταῖς σεμναῖς καλεμέναις θεαῖς μεταλλάξαι τὸν βίον. Τότε μὲν ἕν πρῶτον γέρονλες ἐγχώριοι, ἐξ ὧν ὁ Χορὸς συνέςηκεν, πυθόμενοι συνέρχονλαι ‡, καὶ διαλέγονλαι πρὸς αὐτόν· ἔπειλα δὲ Ἰσμήνη παραγενομένη τὰ κατὰ τὴν γασὶν ἀπαγγέλλει τῶν παιδῶν, καὶ τὴν γενομένην ἄφιξιν τῷ Κρέονλος πρὸς αὐτόν· ὃς καὶ παραγενόμενος ἐπὶ τῷ ἀπαγαγεῖν § εἰς τὰπίσω, ἄπρακλος ἀπαλλάττεται ‖. Ὁ δὲ πρὸς τὸν Θησέα διελθὼν τὸν χρησμὸν, ἔτω τὸν βίον καταςρέφει παρὰ ταῖς θεαῖς.

Τὸ δὲ δρᾶμα, τῶν θαυμασῶν· ὃ καὶ ἤδη γεγηρακὼς ὁ Σοφοκλῆς ἐποίησε, χαριζόμενος ὐ μόνον τῇ παλρίδι, ἀλλὰ καὶ τῷ ἑαυτῷ δήμῳ· ἦν γὰρ Κολωνόθεν· ὥςε τὸν μὲν δῆμον ἐπίσημον ἐπιδείξαι |||, χαρίσασθαι δὲ καὶ τὰ μέγιςα τοῖς Ἀθηναίοις, δι' ὧν ἀπορθήτες ἔσεσθαι καὶ τῶν ἐχθρῶν

* Aldus, ἦσαν γὰρ τῶν ἀρσένων. † Aldus, φιλοσοργότεραι. ‡ Aldus, ἔρχονται. § Aldus, ἀπαγαγεῖν αὐτὸν. ‖ Aldus, ἀπαλλάττεται. ||| Turn. ἀποδείξαι.

αὐτὸς κραθῆσειν ὑπολίθεται ὁ Οἰδίπους, προαναφωνῶν ὅτε διασασιάσουσι πρὸς Θηβαίους ποτὲ, καὶ τέτων κραθήσουσιν ἐκ χρησμῶν διὰ τὸν αὐτοῦ τάφον.

ΑΛΛΩΣ.

ΤΑ᾽ πραχθέντα περὶ τὸν Οἰδίπουν ἴσμεν ἅπαντα τὰ ἐν τῷ ἑτέρῳ Οἰδίποδι· πεπήρωται γὰρ, καὶ ἀφῖκται εἰς τὴν Ἀτθικὴν, ὁδηγέμενος ἐκ μιᾶς τῶν θυγατέρων Ἀντιγόνης· καὶ ἔστιν ἐν τῷ τεμένει τῶν σεμνῶν Ἐρινύων, ὃ ἔστιν ἐν τῷ καλεμένῳ Ἱππείῳ Κολωνῷ, ἕτω κληθέντι, ἐπεὶ καὶ Ποσειδῶνός ἐστιν ἱερὸν Ἱππείε, καὶ Προμηθέως, καὶ αὐτοῦ οἱ ὀρεωκόμοι ἱστανται. Ἔστι γὰρ αὐτῷ πυθόχρηστον, ἐνταῦθα δεῖν αὐτὸν ταφῆς τυχεῖν, ἢ μή ἐστιν ἑτέρῳ βεβήλῳ τόπος· αὐτόθι κάθηται, καὶ κατὰ μικρὸν αὐτῷ τὰ τῆς ὑποθέσεως προέρχεται· ὁρᾷ γάρ τις αὐτὸν τῶν ἐνταῦθεν, καὶ πορεύεται ἀγγέλλων ὅτι τις παρὰ τῷ χωρίῳ τέτῳ προσκάθηται. Καὶ ἔρχονται οἱ ἐν τῷ τόπῳ ἐν Χορῷ σχήματι μαθησόμενοι τὰ πάντα· πρῶτος ἓν ἐστι καταλύων τὴν ὁδοιπορίαν, καὶ τῇ Θυγατρὶ διαλεγόμενος. Ἄφαντος δέ ἐστι καθόλε ἡ οἰκονομία ἐν δράματι, ὡς ἑνὶ ἄλλῳ σχεδόν.

Ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν τῇ Ἀτθικῇ ἐν τῷ Ἱππείῳ, πρὸς τῷ ναῷ τῶν σεμνῶν θεῶν· ὁ δὲ Χορὸς συνέσηκεν ἐξ Ἀθηναίων ἀνδρῶν.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΟΙΔΙΠΟΥΣ.
ΑΝΤΙΓΟΝΗ.
ΞΕΝΟΣ ΑΛΗΤΗΣ.
ΧΟΡΟΣ ΕΞ ΑΤΤΙΚΩΝ ΓΕΡΟΝΤΩΝ.
ΙΣΜΗΝΗ.
ΘΗΣΕΥΣ.
ΚΡΕΩΝ.
ΠΟΛΥΝΕΙΚΗΣ.
ΑΓΓΕΛΟΣ.

Προλογίζει δὲ ὁ ΟΙΔΙΠΟΥΣ.

ΣΟΦΟΚΛΕΟΥΣ

ΟΙΔΙΠΟΥΣ

ΕΠΙ ΚΟΛΩΝΩ.

ΟΙΔΙΠΟΥΣ, ΑΝΤΙΓΟΝΗ.

ΙΑΜΒΟΙ.

ΟΙΔ. Τέκνον τυφλῦ γέροντος Ἀντιγόνη, τίνας
Χώρους ἀφίγμεθ', ἢ τίνων ἀνδρῶν πόλιν;
Τίς τὸν πλανήτην Οἰδίπουν καθ' ἡμέραν
Τὴν νῦν σπανιστοῖς δέξεται δωρήμασι;
Σμικρὸν μὲν ἐξαιτῶν᾽α, τῷ σμικρῷ * δ' ἔτι
Μεῖον φέροντα· καὶ τόδ' ἐξαρκεῖ ἐμοί.
" Στέργειν γὰρ αἱ πάθαι με χὠ χρόνος ξυνὼν †
" Μακρὸς διδάσκει, καὶ τὸ γενναῖον, τρίτον."
Ἀλλ', ὦ τέκνον, θάκοισιν, εἴ τινα βλέπεις,

* ALDUS, μικρῷ. † TURN. in marg. παρὼν.

1. Τέκνον τυφλῦ γέροντος] Οἰδίπους εἰς Ἀθήνας παραγενόμενος, ἐρωτᾷ τὴν Θυγατέρα Ἀντιγόνην.

3. Τίς τὸν πλανήτην Οἰδίπουν] Ἔστι μὲν ἀφ' ἑτέρας ἀρχῆς λαμβάνοντα λέγειν ἕτω, τίς τὸν πλανήτην Οἰδίπουν δέξεται; ἢ, τίς ἡμᾶς σήμερον ὑποδέξεται; δύναται δὲ καὶ τοῖς ἄνω συνάπτεσθαι, τῷ τίς μὴ φυσμαικῶς κειμένῃ, ἀλλ' ἀντὶ τοῦ ἢ ἄρθρου· ὥστε τῷ πόλις συνηθροίσθαι, καὶ τὸν λόγον ἔχειν ἕτως, τίνας χώρους ἀφίγμεθα, ἢ τίνων ἀνδρῶν πόλιν, ἢ τὸν πλανήτην Οἰδίπουν δέξεται; ὅτι δὲ τῷ τις ἀντὶ ἄρθρου χρῶνται, Καλλίμαχός φησιν ἕτως, " Ὑπεὶρ " ἄλα κεῖνος ἐνάσθη Ἀλκάθοὸν τις ἄπλυτος." Μᾶλλον δὲ τὸ πρῶτον.

4. Σπανιστοῖς] εὐτελέσι. Τοῖς κατὰ σπάνιν τοῦ αἰτοῦντος διδομένοις.

6. Μεῖον φέροντα] βραχύτερον ἀποφερόμενον τοῦ αἰτηθέντος· ἢ γὰρ ὅσα αἰτεῖ τις λαμβάνει.

Ib. Καὶ τόδ' ἐξαρκεῖ] ὅμως γοῦν τούτοις ἀρκούμενος.

7. " Στέργειν γὰρ αἱ πάθαι με."] ταῦτα με φέρειν, τὰ δυσχερῆ καὶ ὁ πολὺς περοίπνε χρόνος, καὶ τὸ τῶν συμφορῶν πλῆθος, καὶ τὸ τῆς ἀνδρείας πλεονέκτημα. Πάθαι γὰρ αἱ συμφοραί. Ἀπὸ κοινοῦ δὲ τὸ διδάσκει. Ἀντὶ τοῦ, εἴθισμαι τῷ πολλῷ χρόνῳ, καὶ μεμελέτηκα τῆς τύχης τὰ δύσκολα.

9. Θάκοισιν] καθέδραις.

Ἢ πρὸς βεβήλοις, ἢ πρὸς ἄλσεσιν θεῶν,
Στῆσόν με καὶ ξίδρυσον, ὡς συθοίμεθα
Ὅπου ποτ' ἐσμέν· μανθάνειν γὰρ ἥκομεν
Ξένοι πρὸς ἀστῶν, χἀ *ν ἀκύσωμεν, τελεῖν.
ΑΝΤ. Πάτερ ταλαίπωρ' Οἰδίπου, πύργοι μὲν, οἳ
Πόλιν σέγουσιν, ὡς ἀπ' ὀμμάτων πρόσω·
Χῶρος δ' ὅδ' ἱερὸς, ὡς ἀπεικάσαι †, βρύων
Δάφνης, ἐλαίας, ἀμπέλου· πυκνόπλεροι
Δ' εἴσω κατ' αὐτὸν εὐσομοῦσ' ἀηδόνες.
Οὗ κῶλα κάμψον τῆδ' ἐπ' ἀξέστου πέτρου.
Μακρὰν γὰρ ὡς γέροντι πρεσβάλης ὁδόν.
ΟΙΔ. Κάθιζέ νύν με καὶ φύλασσε τὸν τυφλόν.
ΑΝΤ. Χρόνου μὲν ἕνεκ' οὐ μαθεῖν με δεῖ τόδε.
ΟΙΔ. Ἔχεις διδάξαι δή μ' ὅποι καθέσαμεν;

* Aldus, ἀςῶν ἃ *ν. † Turn. ἐπεικάσαι.

10. Ἢ πρὸς βεβήλοις] βαλοῖς. Βέβηλος γὰρ τόπος, ὁ ἀκάθαρτος καὶ βατὸς πᾶσι. Καὶ βέβηλος ἀνὴρ, ὁ μιαρός. Εὐριπίδης Περσεσιλάῳ, "Οὐ γὰρ θέμις βέβηλον ἅπλεσθαι δόμων." Καὶ, "Ἀείδω ξυνέλοισι· θύρας δ' ἐπίθεσθε, "βέβηλοι." Βεβήλοις ἦν, τοῖς πᾶσι βασίμοις τόποις, μηδὲ ἀνειμένοις θεοῖς· ἐκ μεταφορᾶς δὲ βεβήλους, καὶ τὰς ἀμυήτους φασὶ καὶ ἀκαθάρτους. Σοφοκλῆς δὲ ἐν Συνδείπνῳ, βέβηλον τὸν ἰδιώτην φησί.

11. Στῆσόν με] ζῆσόν με ἐκ τῆς ὁδοιπορίας καὶ μαθησόμεθα.

12. Μανθάνειν γὰρ ἥκομεν] εἰς γὰρ τοῦτο (φησὶ) ἐληλύθαμεν ἅτε δὴ ξένοι ὄντες, παρὰ τῶν ἀστῶν μανθάνειν τί ἐστι πρακτέον ἡμῖν.

14. Πάτερ ταλαίπωρ' Οἰδίπου] ἐκ ἐμπαροινεῖν βουλομένη τῷ παλαιπώρου ἀποκαλεῖ, ἀλλὰ τῷ πάθει παρισοῦσα τὸ μέγεθος· πωρεῖν δὲ οἱ Ἡλεῖοι τὸ πενθεῖν φασί. Καὶ Ἀντίμαχος, Πῶρος τοί γ' ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἔκαεσσε. Παρὰ τοῦτο ἂν ταλαίπωρος ἐτυμολογεῖται.

15. Ὡς ἀπ' ὀμμάτων πρόσω] γράφεται ὡς ἀνομμάτω· ὃ ἔστιν, ὡς τυφλῷ σημῆναι, πρόσω εἰσίν. Ὡς ἄν τις πρόσω ἀφορᾶν τεκμήραιτο, ὡς ἂν τις τὰ ὄμματα πόρρω ἔχων.

16. Ὡς ἀπεικάσαι] ὡς ἔοικεν ἐκ προόψεως τεκμήρασθαι.

17. Πυκνόπλεροι δ' εἴσω] οἷον, κατὰ τὸν χῶρον. Ἐκράτησε δὲ μεγάλως τῇ φράσει ὥστε μέλισσαν αὐτὸν ἐκάλεσαν οἱ κωμικοί.

18. Εὐσομοῦσιν] εὐφθογγοῦσιν, εὐφώνως ᾄδουσιν.

19. Ἐπ' ἀξέστου πέτρου] γράφεται πάνυ. Ἐπὶ τῷ λιθίνῳ βάθρῳ.

20. Μακρὰν γὰρ ὡς γέροντι] προῆλθες μακροτέραν ὁδὸν ἢ ὡς ἥρμοζε γέροντι.

22. Χρόνου μὲν ἕνεκα] ἀντὶ τοῦ, δεδίδαγμαι τῷ χρόνῳ τὸ φυλάττειν σε ὁδηγοῦσα. Σύνηθες ἦν τὸ πρᾶγμα. Εἰς τὸ αὐτό. Τῷ μὲν χρόνῳ ἐ σύνειμί σοι χάριν, ἐ χρεία μαθεῖν ὅτι τυφλὸς εἶ, καὶ ὅτι δεῖ σε προμηθείας τυχεῖν.

1b. Οὐ μαθεῖν με δεῖ τόδε] ἐ χρείαν ἔχω (φησὶ) μαθεῖν ὅτι τυφλὸς εἶ, καὶ ὅτι δεῖ σε προμηθείας τυχεῖν. Δεδίδαγμαι γὰρ τοῦτο τῷ χρόνῳ· σύνηθες ἦν οὖν, ἐ δεῖ με μαθεῖν τοῦτο νῦν.

24. Τὰς

ΑΝΤ. Τὰς γῦν Ἀθήνας οἶδα· τὸν δὲ χῶρον, ὔ.
ΟΙΔ. Πᾶς γάρ τις ηὔδα τῦτον ἡμῖν ἐμπόρων.
ΑΝΤ. Ἀλλ' ὅςις ὁ τόπος, ἦ μάθω μολῦσά ποι;
ΟΙΔ. Ναὶ, τέκνον, εἴπέρ ἐςί γ' ἐξοικήσιμος.
ΑΝΤ. Ἀλλ' ἔςι μέν γ' οἰκητός· οἴομαι δὲ δεῖν
Οὐδέν· πέλας γὰρ ἄνδρα τόνδε νῶϊν ὁρῶ.
ΟΙΔ. Ἦ δεῦρο προςείχοντα κἀξορμώμενον;
ΑΝΤ. Καὶ δὴ μὲν ὖν παρόντα· χῷ, τι σοι λέγειν
Εὔκαιρόν ἐςιν, ἔννεφ', ὡς ἀνὴρ ὅδε.
ΟΙΔ. Ὦ ξεῖν', ἀκύω * τῆσδε τῆς ὑπέρ τ' ἐμῦ
Αὐτῆς θ' ὁρώσης, ὕνεχ' ἡμῖν αἴσιος
Σκοπὸς προσήκεις, τῶν ἀδηλῦμεν † φράσαι.
ΞΕΝ. Πρινὴ ‡ τὰ πλείον' ἱςορεῖν, ἐκ τῆσδ' ἕδρας
Ἔξελθ'· ἔχεις γὰρ χῶρον ὐχ ἁγνὸν πατεῖν.
ΟΙΔ. Τίς δ' ἔσθ' ὁ χῶρος; τῦ θεῶν νομίζεται;
ΞΕΝ. Ἄθικτος, ὐδ' οἰκητός· αἱ γὰρ ἔμφοβοι
Θεαί σφ' ἔχυσι, γῆς τε καὶ σκότυ κόραι.
ΟΙΔ. Τίνων; τὸ σεμνὸν ὄνομ' ἂν εὐξαίμην κλύων.

* Ald. Turn. ἀκύων. † Turn. τῶν ἃ δηλῦμεν. ‡ Aldus, πρὶν νῦν.

24. Τὰς γῦν Ἀθήνας οἶδα] ὅτι ἐν τῇ Ἀττικῇ ἐσμὲν οἶδα· τίς δέ ἐςιν οὗτος ὁ δῆμος, ἀγνοῶ.

25. Πᾶς γάρ τις ηὔδα] τί ηὔδα; ὅτι αὐταί εἰσιν Ἀθῆναι.

Ib. Ἐμπόρων] ἀντὶ τῦ, ὁδοιπόρων. Διὸ τὸ χ.

26. Ἦ μάθω] ἐν ἐρωτήσει ὁ λόγος. Βύλει μάθω τίς ὁ πρὸ τῦ ἄςεος τόπος.

27. Ἐξοικήσιμος] ἀντὶ τῦ, ἐνοικήσιμος.

28. Οἴομαι δὲ δεῖν ὐδέν] ὐ δεῖν τῦ προελθῦσαν ἐρωτῆσαί με. Ἰδῦ γὰρ ἀνὴρ πάρεςι παρ' ὖ εἰσόμεθα. Οἷον, ὐκέτι δεῖν ἔοικε προϊῦσαν μανθάνειν περὶ τῦ τόπυ. Καλῶς δὲ τὰ τῆς οἰκονομίας, ἵνα μὴ μόνος ὁ Οἰδίπυς ἀπολειφθῇ.

29. Νῶϊν ὁρῶ] συνίζησις.

30. Ἦ δεῦρο] κατ' ἐρώτησιν.

31. Χῷ, τι σοι λέγειν] καὶ ὅπερ σοι λέγειν εὔκαιρον νομίζεις, λέγε· ἀκύεται γάρ.

33. Τῆς ὑπέρ τ' ἐμῦ αὐτῆς θ' ὁρώσης] τυτέςιν, ὑπὲρ ἀμφοῖν ὁρώσης.

34. Οὕνεχ' ἡμῖν αἴσιος] ὅτι αἴσιος ἡμῖν σκοπὸς ἀφῖξαι ὥςε φράσαι περὶ ὧν ἀγνοῦμεν· ἢ, ὥςε φράσαι ἡμῖν ἅ σοι λέξομεν.

36. Πρινὴ τὰ πλείονα] ἀπόςηθι πρῶτον τῶν ἀβάτων, καὶ τότε ἐρώτα.

37. Χῷρον ὐχ ἁγνὸν] οἷον, σοὶ ὐχ ἁγνὸν, εἰ μὴ μόνοις ἱερεύσιν· ἢ οἷον, ὐκ ἀνειμένον καὶ βατόν.

39. Αἱ γὰρ ἔμφοβοι θεαί] Φύλαρχός φησι δύο αὐτὰς εἶναι, τά τε Ἀθήνησιν ἀγάλματα, δύο. Πολέμων δὲ τρεῖς αὐτάς φησι.

ΞΕΝ. Τὰς πάνθ' ὁρώσας Εὐμενίδας ὅγ' ἐνθάδ' ὢν
Εἶποι λεώς νιν· ἄλλα δ' ἀλλαχῆ καλά.
ΟΙΔ. Ἀλλ' ἵλεῳ * μὲν τόνδ' ἱκέτην δεξαίατο.
Ὡς ἐχ ἕδρας γῆς τῆσδ' ἂν ἐξέλθοιμ' ἔτι.
ΞΕΝ. Τί δ' ἔστι τοῦτο;
ΟΙΔ. Ξυμφορᾶς ξύνθημ' ἐμῆς.
ΞΕΝ. Ἀλλ' ἐδὲ μένοι τἐξανισάναι πόλεως
Δίχ' ἐσὶ θάρσος, πρίν γ' ἂν ἐνδείξω τί δρῶ †.
ΟΙΔ. Πρός νυν θεῶν, ὦ ξεῖνε, μή μ' ἀτιμάσῃς.
Τοιόνδ' ἀλήτην, ὧν σε προσρέπω ‡ φράσαι.
ΞΕΝ. Σήμαινε· κὐκ ἄτιμος ἐκ γ' § ἐμοῦ φανῇ.
ΟΙΔ. Τίς δ' ἔσθ' ὁ χῶρος δῆτ', ἐν ᾧ βεβήκαμεν;
ΞΕΝ. Ὅσ' οἶδα κἀγὼ, πάντ' ἐπισήσῃ κλύων.
Χῶρος μὲν ἱερὸς πᾶς ὅδ' ἔς', ἔχει δέ νιν
Σεμνὸς Ποσειδῶν· ἐν δ' ὁ πυρφόρος θεὸς
Τιτὰν Προμηθεύς. Ὃν δ' ἐπισείβεις τόπον

* Aldus, ἵλεως.
‡ Ald. Turn. in marg. προλρέπω.
† Aldus, τί δρῶ.
§ Turn. ἐξ ἐμοῦ.

42. Τὰς πάνθ' ὁρώσας Εὐμενίδας] Ἐπιμενίδης Κρόνῳ φησὶ τὰς Εὐμενίδας. Ἐκ τῶν καλλίχορος γένεθλο χρυσῆ Ἀφροδίτη, Μοῖραί τ' ἀθάνατοι, καὶ Ἐριννύες αἰολόδωροι. Ἴστρος δὲ ἐν τῇ τελάρῃ μητέρα τῶν Εὐμενίδων Εὐνυμην ἀναγράφει, ἣν νομίζεσθαι γῆν. Ἔνιοι δὲ μέλαιναν εἶναι φασὶ τὸ ὄνομα ἐπὶ Ὀρέστῃ· τότε γὰρ πρῶτον Εὐμενίδας κληθῆναι, εὐμενεῖς αὐτῷ γενομένας, κριθέντι νικᾶν παρ' Ἀθηναίοις, καὶ ὁλοκαυλώσαντι αὐταῖς δῖν μέλαιναν ἐν Καρνίᾳ τῆς Πελοποννησίας· Φιλήμων δὲ ὁ κωμικὸς ἑτέρας φησὶ τὰς σεμνὰς θεὰς τῶν Εὐμενίδων.

43. Εἶποι λεώς νιν] ἀντὶ τοῦ, αὐτάς. Διὸ τὸ Χ.

Ib. Ἄλλα δ' ἀλλαχῆ καλὰ] παρ' ὅσον ἄλλοι ἄλλοις ὀνόμασι καλοῦσιν αὐτάς. Ἄλλα ὀνόματα παρ' ἄλλοις καλὰ νομίζονται, παρ' ἡμῖν δὲ ταῦτα, τὸ ὀνομάζειν αὐτὰς Εὐμενίδας.

44. Ἀλλ' ἵλεω μὲν] ἵλεώ μοι αἱ Εὐμενίδες. Ἐγὼ γὰρ ἐκ ἀναγήσομαι ἐνθεῦθεν.

46. Τί δ' ἔστι τοῦτο] ἀντὶ τοῦ, διὰ τί ἐκ ἀνίσασαι;

47. Ξυμφορᾶς ξύνθημα] σύμβολόν μοι τῆς συμφορᾶς, τὸ καλισθῆσαί με εἰς Ἐριννύων ἱερόν.

49. Πρίν γ' ἂν ἐνδείξω] ἕως ἂ τῇ πόλει ἐνδείξω τί χρὴ ποιεῖν.

51. Προσρέπω] ἱκετεύω.

56. Ὁ πυρφόρος θεὸς] ὁ Ἥφαιστος.

57. Τιτὰν Προμηθεὺς] περὶ τοῦ τὸν Προμηθέα περὶ Ἀκαδημίαν καὶ τὸν Κολωνὸν ἱδρύσθαι, Ἀπολλόδωρος γράφει ὕστως, Συνλιμᾶται δὲ καὶ ἐν Ἀκαδημίᾳ τῇ Ἀθηνᾷ, καθάπερ ὁ Ἥφαιστος· καὶ ἐστὶν αὐτῷ παλαιὸν ἵδρυμα καὶ ναὸς ἐν τῷ τεμένει τῆς θεᾶς. Δείκνυται δὲ καὶ βάσις ἀρχαία κατὰ τὴν εἴσοδον, ἐν ᾗ τε Προμηθέως ἐστὶ τύπος καὶ τοῦ Ἡφαίστου πεποίηται

Χθονὸς καλεῖται τῆσθε χαλκόπους ὁδὸς,
Ἐρεισμ' Ἀθηνῶν· οἱ δὲ πλησίοι * γύαι
Τόνδ' ἱππότην Κολωνὸν εὔχονται σφίσιν
Ἀρχηγὸν εἶναι, καὶ φέρουσι τἄνομα
Τὸ τῆδε κοινὸν πάντες ὠνομασμένον.
Τοιαῦτά σοι ταῦτ' ἐσὶν, ὦ ξέν', ἃ λόγοις
Τιμώμεν', ἀλλὰ τῇ ξυνουσίᾳ πλέον.
ΟΙΔ. Ἦ γάρ τινες ναίουσι, τόνδε τὸν τόπον;
ΞΕΝ. Καὶ κάρτα τῆδε τῷ θεῷ γ' ἐπώνυμοι.
ΟΙΔ. Ἄρχει τὶς αὐτῶν, ἢ 'πὶ τῷ πλήθει λόγος;
ΞΕΝ. Ἐκ τῆ κατ' ἄγυ βασιλέως τάδ' ἄρχεται.
ΟΙΔ. Οὗτος δὲ τίς λόγῳ τε καὶ σθένει κρατεῖ;
ΞΕΝ. Θησεὺς καλεῖται, τῷ πρὶν Αἰγέως τόκος.
ΟΙΔ. Ἆρ' ἄν τις αὐτῷ πομπὸς ἐξ ὑμῶν μόλοι;
ΧΕΝ. Ὡς πρὸς τί λέξων, ἢ καλαρῦσων μόλοι;
ΟΙΔ. Ὡς ἂν προσαρκῶν σμικρὰ, κερδανῇ μέγα.

* Ald. Turn. οἱ δὲ πλησίοι γύαι.

ται δὲ, ὡς καὶ Λυσιμαχίδης φησὶν, ὁ μὲν Προμηθεὺς, πρῶτος καὶ πρεσβύτερος ἐν δεξιᾷ σκῆπτρον ἔχων· ὁ δὲ Ἥφαιστος, νέος καὶ δεύτερος. Καὶ βωμὸς ἀμφοῖν κοινὸς ἐσιν ἐν τῷ βάσει ἀποτελιπωμένος.

58. Χαλκόπους ὁδὸς] ὡς ἔτω τινὸς καλουμένη τόπου ἐν τῷ ἱερῷ. χαλκόπους ὁδὸ φησὶ δὲ Ἀπολλόδωρος δι' αὐτῆς καλάδασιν εἶναι εἰς ἅδου. Καὶ Ἴσρος δὲ μνημονεύει τῆς χαλκῆς ὁδῦ, καὶ Ἀσυδάμας. Καί τις τῶν χρησμοποιῶν φησὶ, Βοιωτοὶ δ' ἱππιοὺ πωλίσειχησι Κολωνὸν, Ἔνθα λίθος τρικάρανος ἔχει καὶ χάλκεος ὑδός. Τὸ ἑξῆς, ὃν δ' ἐπισείσεις τόπον χθονὸς τῆσδε, καλεῖται χαλκόπους ὁδός. Οὕτως δὲ ἐκαλεῖτο διὰ τὸ εἶναι μέταλλα χαλκῦ ἐν τῷ Κολωνῷ.

59. Οἱ δὲ πλησίοι γύαι] γράφεται, αἱ δὲ πλησίον γύαι.

62. Τὸ τῆδε κοινὸν] τὸ τῇ Κολωνῷ ὄνομα κοινὸν φέρουσι πάντες, ὠνομασμένοι Κολωνιάται δηλονότι.

64. Ἀλλὰ τῇ ξυνουσίᾳ πλέον] τῷ ἔργῳ καὶ τῇ πείρᾳ πλέον τιμώμενα, ἢ τοῖς λόγοις.

66. Ἐπώνυμοι] Κολωνιάται καλέμενοι.

67. Ἢ 'πὶ τῷ πλήθει λόγος] ἢ ἐν τῷ πλήθει ἐσὶν ἡ ἰσχὺς; τέλεγε, δημοκρατίαν.

72. Ἢ καλαρῦσων μόλοι] παρασκευάσων, εὑρεπίσων. Ὅμηρος· "ἠρύνατο δ' ἐρέτμα" "καὶ Κλυταιμνήσρα δόλον ἤρυε." τὸ δὲ ἑξῆς, ὡς τί προσλέξων αὐτῷ μόλοι τὶς. Ἢ πρὸς τί εὐτρεπίσων αὐτὸν μολεῖν.

73. Ὡς ἂν προσαρκῶν] τὰ αὐτὰ αὖθις ἐρεῖ, ὅτι ἐπ' ὠφελείᾳ τῦτο γίγνεται τῶν δεχομένων αὐτὸν καὶ θαπτόντων, ἐπὶ βλάβῃ δὲ τῶν ἀποπεμψάντων.

Ib. Κερδανῇ μέγα] τῦτο καὶ μετὰ ταῦτα ἐρεῖ, ὅτι οἱ μὲν δεξάμενοι αὐτὸν μεγάλα κερδανῦσιν, οἱ δ' ἀποπεμψάμενοι, βλαβήσονται.

77. Τᾶ

ΞΕΝ. Καὶ τίς πρὸς ἀνδρὸς μὴ βλέποντος ἄρκεσις;
ΟΙΔ. Ὅσ' ἂν λέγωμεν, πάνθ' ὁρῶντα λέξομεν.
ΞΕΝ. Οἶσθ', ὦ ξέν', ὡς νῦν μὴ σφαλῇς· ἐπείπερ εἶ
Γενναῖος ὡς ἰδόντι, πλὴν τοῦ δαίμονος,
Αὐτοῦ μέν' οὗπερ κἀφάνης, ἕως ἐγὼ
Τοῖσδ' ἐνθάδ' αὐτοῦ μὴ κατ' ἄστυ δημόταις
Λέξω τάδ' ἐλθών· οἵδε γὰρ κρινοῦσί γε
Εἰ * χρή σε μίμενειν ἢ πορεύεσθαι πάλιν.
ΟΙΔ. Ὦ τέκνον, ἦ βέβηκεν ἡμῖν ὁ ξένος;
ΑΝΤ. Βέβηκεν. Ὥστε πᾶν ἐν ἡσύχῳ, πάτερ,
Ἔξεστι φωνεῖν, ὡς ἐμοῦ μόνης πέλας.
ΘΙΔ. Ὦ πότνιαι δεινῶπες, εὖτε νῦν ἕδρας
Πρώτων ἐφ' ὑμῶν τῆσδε γῆς ἔκαμψ' ἐγὼ,
Φοίβῳ τε κἀμοὶ μὴ γένησθ' ἀγνώμονες,
Ὅς μοι τὰ πόλλ' ἐκεῖν' ὅτ' ἐξέχρη κακὰ,
Ταύτην ἔλεξε παῦλαν ἐν χρόνῳ μακρῷ,
Ἐλθόντι χώραν τερμίαν, ὅπου θεῶν
Σεμνῶν ἕδραν λάβοιμι καὶ ξενόστασιν,
Ἐνταῦθα κάμψειν † τὸν ταλαίπωρον βίον.

* Aldus, Ἡ. † Aldus, κάμπτειν.

77. Τοῦ δαίμονος] τῆς τύχης.
78. Αὐτοῦ] αὐτόθι.
85. Ὦ πότνιαι δεινῶπες] τὸ ἐντελὲς, ὦ πότνιαι. Ὁ δὲ νοῦς, οὕτως, ἐπειδὴ ἦλθον πρὸς ὑμᾶς, μὴ ἐναντιωθῆτέ μοι καὶ τῷ χρήσαντί με Ἀπόλλωνι.
Ib. Εὖτε νῦν] ὅτε, ἐπειδή.
87. Ἀγνώμονες] ἐναντιογνώμονες, ἀσύγνωστοι.
90. Χώραν τερμίαν] τερμίαν αὐτῶ, εἱμαρμένην. Ἐφ' οἷς ἔμελλε τὸ τέλος τοῦ βίου ἀνύσειν.
91. Καὶ ξενόστασιν] γράφεται καὶ καλάστασιν.
91. Ἐνταῦθα κάμψειν] εἰσί γε οἵ φασι τὸ μνῆμα τοῦ Οἰδίποδος ἐν ἱερῷ Δήμητρος εἶναι ἐν Τεωνῷ, μεταγαγόντων αὐτὸν ἐκ Κεοῦ τινος ἀσήμου χωρίου. Καθάπερ ἱστορεῖν φησιν Ἀρίζηλον Λυσίμαχος ὁ Ἀλεξανδρεὺς ἐν τῷ τρισκαιδεκάτῳ τῶν Θηβαϊκῶν, γράφων οὕτως. Οἰδίπου δὲ τελευτήσαντος, καὶ τῶν φίλων ἐν Θήβαις θάπτειν αὐτὸν διανουμένων, ἐκώλυον οἱ Θηβαῖοι διὰ τὰς προγεγενημένας συμφορὰς, ὡς ὄντος ἀσεβοῦς· οἱ δὲ, κομίσαντες αὐτὸν εἴς τινα τόπον τῆς Βοιωτίας, καλούμενον Κεὸν, ἔθαψαν αὐτόν. Γιγνομένων δὲ τοῖς ἐν τῇ κώμῃ κατοικοῦσιν ἀτυχημάτων τινῶν, οἰηθέντες αἰτίαν εἶναι τούτων τὴν Οἰδίπου ταφὴν, ἐκέλευον τοὺς φίλους ἐκβαλεῖν αὐτόν ἐκ τῆς χώρας. Οἱ δὲ ἀπορούμενοι τοῖς συμβαίνουσιν, ἀνελόντες ἐκόμισαν εἰς Ἐτεωνόν.

Κέρδη μὲν οἰκήσονλα τοῖς δεδεγμένοις,
Ἄτην δὲ τοῖς πέμψασιν, οἵ μ' ἀπήλασαν·
Σημεῖα δ' ἦξειν τῶνδέ μοι παρηγγύα,
Ἢ σεισμὸν, ἢ βροντήν τιν', ἢ Διὸς σέλας.
Ἔγνωκα μέν νυν ὡς με τήνδε τὴν ὁδὸν
Οὐκ ἔσθ' ὅπως ἀ πιστὸν ἐξ ὑμῶν πλερὸν
Ἐξήγαγ' εἰς τόδ' ἄλσος· ἀ γὰρ ἂν πόλε
Πρώταισιν ὑμῶν ἀνδέκυρσ' ὁδοιπορῶν *,
Νήφων ἀοίνοις, κἀπὶ σεμνὸν ἕζόμην
Βάθρον τόδ' ἀσκέπαρνον· ἀλλά μοι, θεαὶ,
Βίᾳ, κατ' ὀμφὰς τὰς Ἀπόλλωνος, δότε
Πέρασιν ἤδη καὶ καλασροφήν τινα,

* Turn. ὁδοιπόρων.

σνόν. Βελόμενοι δὲ λάθρα τὴν ταφὴν ποιήσασθαι, καθαθάπλεσι νυκτὸς ἐν ἱερῷ Δήμητρος, ἀγνοήσανλες τὸν τόπον. Καθαφανὲς δὲ γενομένε, πέμψανλες οἱ τὸν Ἐτεωνὸν καλοικοῦνλες, τὸν Θεὸν ἐπηρώτων τί ποιήσασιν. Ὁ δὲ Θεὸς εἶπε μὴ κινεῖν τὸν ἱκέτην τῆς Θεᾶς· διόπερ αὐτῇ τέθαπλαι. Τὸ δὲ ἱερὸν φασιν Οἰδίπόδειον κληθῆναι.

93. Κέρδη μὲν οἰκήσονλα] ὁ ποιητὴς χαριζόμενος τοῖς Ἀθηναίοις τοῦτό φησιν· ἐδόκει γὰρ τότε Βοιωτοὶ καὶ Ἀθηναῖοι πρὸς ἀλλήλες διαφέρεσθαι.

96. Ἢ σεισμὸν, ἢ βροντὴν] ταῦτα ἐπὶ τέλει τῆ δράμαλος γίγνοῦλαι.

98. Οὐκ ἔσθ' ὅπως ἀ πιστὸν] οἷον, κατὰ διάνοιαν, φησὶν, ἐξ ὑμῶν τῶν Θεῶν εἰς τὸν τόπον ἀφῖγμαι.

Ib. Πτερὸν] οἰωνὸν, τὴν, πλέρασιν τῆς διανοίας.

101. Νήφων ἀοίνοις] ἀοίνες αὗτὰς λέγει, ὅτι ἀ σπένδεῖαι οἶνος αὐτᾶῖς, ἀλλ' ὕδωρ. Διὸ καὶ νηφάλιαι καλεῖνλαι αἱ σπονδαὶ αὐτῶν. Πολέμων δὲ ἐν τῷ πρὸς Τίμαιον, καὶ ἄλλοις τισὶ Θεοῖς νηφαλίης φησὶ Θυσίας γίγνεσθαι, γράφων ἅτως, Ἀθηναῖοί τε γὰρ ἐν τοῖς τοιάτοις ἐπιμελεῖς ὄνλες, καὶ τὰ πρὸς τὺς Θεὺς ὅσιοι, νηφάλια μὲν ἱερὰ Θύσι Μνημοσύνη, Μούσαις, Ἠοῖ, Ἡλίῳ, Σελήνῃ, Νύμφαις, Ἀφροδίτῃ ἐραίᾳ. Φιλόχορος δὲ καὶ περὶ τινων ἄλλων Θυσιᾶν τὸν αὐτὸν τρόπον δρωμένων φησὶν ἐν τῇ δευλέρᾳ τῶν Ἀτθίδων, Διονύσῳ τε καὶ ταῖς Ἐρεχθέως Θυγαλράσι. παὶ ἀ μόνον Θυσίας νηφαλίης, ἀλλὰ καὶ ξύλα τινὰ ἐξέκαιον. Κράτης μὲν ὖν ὁ Ἀθηναῖος τὰ μὴ ἀμπέλινα τῶν ξύλων πάμπλα νηφαλία φησὶ προσαγορεύεσθαι. Ὁ δὲ Φιλόχορος ἀκριβέςερόν φησι, τὰ μήτε ἀμπέλινα, μήτε σύκινα, ἀλλὰ τὰ ἀπὸ τῶν Θύμων, νηφάλια καλεῖσθαι· καὶ πρώτη φησὶν ὕλη πρὸς τὰς ἐμπύρες Θυσίας ταύτη κεχρῆσθαι· ἐξ ἧ καὶ πύνομα λαβεῖν τὸν Θύμον, ὡς παρὰ τὴν Θύμίασιν καὶ τὴν Θυὴν πεποιημένης τῆς φωνῆς. Εἰσὶ δὲ καί τινες τὸ παράπαν ἄσπονδοι Θυσίαι κατὰ τύχην εἰς ἔθος παρελθοῦσαι.

Ib. Κἀπὶ σεμνὸν ἑζόμην] ὅ ἄνω εἶπε, τοῦδ' ἐπ' ἀξέςῳ πέτρῳ.

102. Ἀσκέπαρνον] ἄγλυφον, καὶ ἀπελέκητον, καὶ ἄξυςον, ἐκ εἰργασμένον.

104. Πέρασιν ἤδη] πέρασιν ἀντὶ τοῦ, πέρας, ὅ ἐςι τελευλήν. Τὸ δὲ ἑξῆς, βίᾳ πέρασιν.

Εἰ μὴ δοκῶ τι μειόνως ἔχειν, ἀεὶ
Μόχθοις λαΐρεύων τοῖς ὑπερλάτοις βροτῶν.
Ἴτ', ὦ γλυκεῖαι παῖδες ἀρχαίᾳ σκότῳ,
Ἴτ', ὦ μεγίσης Παλλάδος καλέμεναι
Πασῶν Ἀθῆναι τιμωλάτη πόλις,
Οἰκεῖρατ' ἀνδρὸς Οἰδίπυ τόδ' ἄθλιον
Εἴδωλον· ἐ γὰρ δὴ τόδ' ἀρχαῖον δέμας.
ΑΝΤ. Σίγα· πορεύονται γὰρ ὧδε * δή τινες
Χρόνῳ παλαιοὶ, σῆς ἕδρας ἐπίσκοποι.
ΟΙΔ. Σιγήσομαί τε, καὶ σύ μ' ἐξ ὁδῦ πόδα
Κρύψον κατ' ἄλσος, τῶνδ' ἕως ἂν ἐκμάθω
Τίνας λόγους ἐρῶσιν· " ἐν γὰρ τῷ μαθεῖν
" Ἔνεσιν ἡ ὑλάβεια τῶν πονημένων."

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Ὅρα † τίς ἆρ' ἦν; πῆ ναίει; πῆ κυρεῖ,
Ἐκλόπιος συθεὶς ὁ πάνλων
Ὁ πάνλων ἀκορέσαλος;
Λεύσσετ' αὐτὸν· προσδέρκου,
Προσφθέγγου πανλαχῆ. Πλανάτας,
Πλανάτας τις ὁ πρέσβυς, ὑ-

* Aldus, οἶδε. † Turn. Ἆρα.

105. Εἰ μὴ δοκῶ τι μειόνως] εἰ μὴ δοκῶ ὑμῖν ἐλατόνως ἔχειν τὰ κακὰ, καὶ δεῖσθαι προσθήκης κακῶν.

107. Ἴτ', ὦ γλυκεῖαι] εὐφήμως τὰς Ἐριννύας γλυκείας φησὶν, ἵνα μὴ πικραὶ αὐτῷ γένωνται.

112. Σίγα· πορεύονται] τὴν εἰσαγωγὴν τῇ χορῇ εὐαφόρμως θέλει ποιήσασθαι.

114. Σιγήσομαί τε] ἵνα μὴ πρὸς τέτυς ὁ χορὸς προπυνθανομένυς γένηται, ἀλλὰ τηρηθῇ θησεῖ παραλιπομένῳ.

116. Τίνας λόγους ἐρῶσι] δεῖ νοεῖν ὅτι ἐκρύβη εἰς τὸ ἄλσος.

Ib. Ἐν γὰρ τῷ μαθεῖν] ἐν γὰρ τῷ προμαθεῖν ἔννοια καὶ σπέψις γίγνεται. Οὐ γὰρ τὸν φόβον φησίν.

Ib. Ἐν τῷ γὰρ] γνωμικόν.

118. Ὅρα· τίς ἆρ' ἦν] ὁ χορὸς ἐκ τῶν ἐπιχωρίων ἀνδρῶν πεπυσμένος ὅτι προσκαθέζεταί τις τῷ ἱερῷ τόπῳ τούτῳ, τὰ πρῶτα ὑποχαλεπαίνοντες φασι, τίς ἄρα ἐστίν; ἢ πῶς διαίρεσει;

119. Ἐκλόπιος συθεὶς] ἀπὸ ξένυ τόπυ ὁρμήσας.

120. Ὁ πάνλων ἀκορέσαλος] παρ' ὅσον ἀδεὶς αὐτῷ τῶν ἄλλων ἤρκεσε τόπων, ἀλλ' ἐπὶ τῶτον ἦλθεν ἀφόβως. Οἷον, ὁ μηδενὶ τῶν ἄλλων

δ' ἐγχώριος· προσέβα γὰρ ἐ-
κ' ἂν ποτ' ἀσιδὲς ἄλσος ἐς
Τᾶνδ' ἀμαιμακέταν κορᾶν,
Ἃς τρέμομεν λέγειν,
Καὶ παραμειβόμεσθ' ἀδέρκτως,
Ἄφωνος, ἀλόγως, τὸ τᾶς
Εὐφήμου σόμα φρονίδος
Ἰένλες· τάδε νῦν τιν' ἥκειν
Λόγος, ὐδὲν ἄζον-
θ' *, ὃν ἐγὼ λεύσσων περὶ πᾶν ὅπω
Δύναμαι τέμενος
Γνῶναι πῶ μοι ποτὲ ναίει.

ΑΝΑΠΑΙΣΤΟΙ.

ΟΙΔ. Ὅδ' ἐκεῖνος ἐγώ· φωνῇ γὰρ ὁρῶ
Τὸ φαλιζόμενον.

ΧΟΡ. Ἰὼ, ἰώ·

* Turn, ἄγονθ.'

λων τόπων ἀρκεσθεὶς, ἀλλ' ἐπὶ τῦτον ἥκων ἀπληρώτως, ὅτι τοσάτη τότε παρακειμένη, εἰς τὸν ἄλσον ὥρμησεν.

124. Οὐδ' ἐγχώριος] πάντως (φησὶ) ξένος ἐστὶν, ἀγνοῶν· ὁ γὰρ ἂν ἐπέβαινεν εἰ ἤδει.

125. Ἀσιδὲς] ἄλσον. ἀπροσπέλαστον.

126. Ἀμαιμακέταν] ἀκαλαμαχήταν, ἢ ἀπροσπελάστων.

128. Καὶ παραμειβόμεθ' ἀδέρκτως] ὁ προσελέποντες, ἀλλ' ἢ καλαμούντες, ἢ κύπτοντες.

129. Ἄφωνος, ἀλόγως] παριόντες (φησὶν) ἐπὶ ταύτας τὰς θεὰς, ἄλλο ὐδενὸς λόγον ποιύμεθα, ἀλλὰ σιωπὴν ἔχομεν. Ἐν ἑαυτοῖς δὲ μένον καὶ κατὰ διάνοιαν εὐφημότερον διαλεγόμεθα· ὁποῖοι γιγνόμεθα ὅταν μάλιστα ἔν τινι φρικωδεστάτῳ γενώμεθα φόβῳ. Ἄκρως δὲ καινότερον διανόημα ἐξήνεγκε μετὰ καλασκευῆς.

130. Εὐφήμου σόμα φρονίδος] σόμα λέγει τὴν φωνήν· σόμα γὰρ ἡ φωνή. Ὅμηρος·

"Πολέμου σόμα."

Καὶ Σοφοκλῆς·

"Χαλκοσόμου κώδωνος ὡς Τυρσηνικῆς."

Ὁ δὲ νῦν τὴν φωνὴν τῆς εὐφήμου φρονίδος ἰένλες. Ὅ ἐστι, μετὰ φρονίδος πολλῆς εὐφήμως τὴν φωνὴν ἀφιέντες. Ἦγων, εὐφημοῦντες καὶ καθ' ἑαυτὰς συλλογιζόμενοι εὔφημα. Οἱ δὲ τὸ εὐφήμου, ἀντὶ τοῦ, σιωπηλῆς· τὸ γὰρ εὐφημεῖν καὶ ἐπὶ τοῦ σιωπᾶν τάττεται.

132. Οὐδὲν ἄζονθ'] ὐδὲν σέβοντα, ἀσεβῆ. Γράφεται, ὐδὲν λιάζοντα, ἀντὶ τοῦ, ὐκ ἐκλειπόμενον ἃ προσήκει.

133. Ὃν ἐγὼ λεύσσων] τὸ ἐξῆς. Ὃν ἐγὼ λεύσσων περὶ πᾶν τέμενος, ὅπως δύναμαι γνῶναι πῶ μοι ποτὲ ναίει· ἤγων, διαλείβει.

137. Τὸ φαλιζόμενον] τὸ λεγόμενον παρ' ὑμῶν.

Δεινὸς μὲν ὁρᾶν, δεινὸς δὲ κλύειν.

ΟΙΔ. Μή μ' ἱκέλευε προσίδῃτ' ἄνομον.

ΧΟΡ. Ζεῦ Ἀλεξήτωρ *, τίς ποθ' ὁ πρέσβυς;

ΟΙΔ. Οὐ πάνυ μοίρας εὐδαιμονίσαι
Πρώτης, ὦ τῆσδ' ἔφοροι χώρας.
Δηλῶ † δ' ἐ γὰρ ἂν ὧδ' ἀλλοθρόοις
Ὄμμασιν εἶρπον,
Καὶ σμικροῖς μέγας ὥρμευ.

ΑΝΤΙΣΤΡΟΦΗ.

ΧΟΡ. Ἔ, ἔ, ἀλαῶν ὀμμάτων ἆρα καὶ
Ἧσθα φυλάλμιος, δυσαίων
Μακραίων τ' ἔθ', ὡς ἐπεικάσαι.
Ἀλλά γ' ἐ μὰν ἔν γ' ἡμῖν ‡
Προσθήσεις τάσδ' ἀράς· περάς γὰρ,
Περᾶς· ἀλλ' ἵνα τῷδ' ἐν ἀ-

* Ald. Ἀλεξῆτορ. † Turn. Δῆλον. ‡ Ald. ἐμοί.

139. Δεινὸς μὲν ὁρᾶν] ἀσεβής. Οὕτω ἀκριβῶς αὐτὸν ἑωρακότες, τῆτό φασι.

140. Προσίδῃτ' ἄνομον] λείπει τὸ ἀς, ἵν' ᾖ, ὡς ἄνομον.

142. Οὐ πάνυ μοίρας] ἐ πάνυ μοίρας εἰμὶ πρώτης εἰς τὸ εὐδαιμονῆσαι. Ἤγουν, ἐκ ἀγαθῆς μοίρας εἰμὶ, ἀλλὰ κακῆς· ἤγουν, ἐ πάνυ τῆς πρώτης κατ' εὐδαιμονίαν μοίρας, τἐναντίον δὲ τῆς κατὰ δυσδαιμονίαν ἐσχάτης.

144. Δηλῶ] δηλῶ τὸ δυσυχὲς διὰ τῶν ὀφθαλμῶν.

146. Καὶ σμικροῖς μέγας] ἤγουν, ἐπὶ εὐτελέσιν αἰτήμασιν ἐκ ἂν σφόδρα ἱκέτευον, εἰ μὴ ἦν δυσυχής. Τῆτο δέ φησι πας' ὅσον μέγας ἂν κατὰ μέγεθος καὶ τὴν ἡλικίαν, ὑπὸ σμικρᾶς δυσαλρὸς ὁρμῶ.

Ib. Καὶ σμικροῖς μέγας ὥρμευ] τὸ ἐπὶ σμικροῖς μέγας ὥρμων, ἀντὶ τῦ, ἐπὶ εὐτελέσιν αἰτήμασιν ἐκ ἂν σφόδρα ἱκέτευον, εἰ μὴ ἦν δυσυχής. Ἢ ὅτι μέγας ἂν κατὰ μέγεθος καὶ ἡλικίαν, ὑπὸ σμικρᾶς δυσαλρὸς ὁρμῶ.

148. Ἧσθα φυλάλμιος] ἀπὸ φύτλης, ἀπὸ γενέσεως, καὶ ἐξ ἀρχῆς τυφλὸς πέφυκας.

Ib. Δυσαίων] δυσυχὴς καὶ γέρων εἶ, ὡς ἐςι σοχάζεσθαι ἐκ τῦ εἴδης. Φυλακλικῶς δὲ καὶ τῆτο λέγησιν, ἅρλι ἑωρακότες αὐτὸ τὸ σχῆμα. Τὰ πρῶτα γὰρ ἐκ ἑωρακότες αὐτὸν ἀλλ' ἀγνοῦντες, φασὶν, ἆρα πηρὸς ἦσθα καὶ τοιῦτος ἐγεννήθης; ὑδέπω γὰρ τἄλλα παθήματα ἴσασιν αὐτῦ.

149. Μακραίων τ' ἔθ', ὡς ἐπεικάσαι] λείπει τὸ εἶ.

150. Ἀλλ' ἐ μὰν ἔν γ' ἐμοὶ] ἀλλ' ἐκ ἄν μη (φησὶν) αἰτιάση ὡς μὴ προμηνύσαντά σοι μὴ εἰσελθεῖν εἰς τόδε τὸ ἱερόν· ἐὰν γάρ τις (φησὶν) ἀγνοῦντά τινα καὶ μιαίνοντα τόπον ἄβατον μὴ διδάξῃ, αὐτὸς ἐνέχεται ταῖς ἀραῖς. Οὐκ ἐμοὶ ἦν (φησὶ) προσθήσεις τὴν σὴν ἀράν. Παραγέλλω γάρ σοι μὴ πατεῖν τὸν ἄβατον τόπον.

151. Περᾶς γὰρ, περᾶς] ἕτω Δίδυμος· βαδίζεις γὰρ εἰς ὃ ἐ προσήκει χωρίον ἐπιβαίνειν.

152. Ἀλλ' ἵνα τῷδε] καὶ κατὰ τὴν ἡμετέραν

φθέγκῳ μὴ προσπέσῃς νάπει
Ποιάεντι, κάθυδρος ἕ
Κρατὴρ μειλιχίων πόλῶν
Ῥεύμαλι συνῤρέχει,
Τὸν *, ξένε πάμμορ', εὖ φύλαξαι.
Μελάσαθ', ἀπόβαθι· πολ-
λὰ κέλευθος ἐρητύει.
Κλύεις, ὦ πολύμοχθ' ἀλᾶτα;
Λόγον εἴ τιν' ἔχεις,
Πρὸς ἐμὰν λέσχαν ἀβάτων † ἀποβὰς,
Ἵνα πᾶσι νόμος,
Φώνει· πρόσθεν δ' ἀπερύκε.

ΑΝΑΠΑΙΣΤΟΙ.

ΟΙΔ. Θύγαλερ ποῖ τις φρουλίδος ἔλθῃ ‡;
ΑΝΤ. "Ὦ πάτερ, ἀσοῖς ἴσα χρὴ μελεᾶν,
"Εἰκούλας ἃ δεῖ, κοὐκ ἄκούλας §."

* Ald. τῶν. † Ald. ἀπ' ἀβάτων. ‡ Turn. ἔλθοι.
§ Ald. ἀκούλας.

τέραν συνήθειαν εἰώθαμεν λέγειν ἤτως, ἵνα παραγένῃ πρὸς ἐμὲ, βέλομαί σοι σημαίνειν. Τὸ δὲ ἑξῆς, ἀλλ' ἵνα τῶδε μὴ προσπέσῃς νάπει ποιάεντι, μελάσθι. Ποίῳ νάπει; ὅπου κρατὴρ ὕδαλος πλήρης συγκρινᾶται ῥεύμαλι γλυκέων πόλῶν.

153. Ἵνα μὴ προσπέσῃς] ἀντὶ τοῦ, μὴ προσπέσῃς.

Ib. Τῷδ' ἐν ἀφθέγκλῳ] τὸ νάπος ἀφθέγκλον εἴρηκε διὰ τὰς προδεδηλωμένας αἰτίας.

154. Κάθυδρος ἕ] ὅπου ὕδαλος πλήρης.

155. Μειλιχίων πόλῶν] γλυκέων πόλῶν, ὅ ἐστι μέλλος, ᾧ μειλίσσουσι τὰς θεάς. Συγκιρνᾶται γὰρ ταύταις ταῖς θεαῖς ὕδαλος καὶ μέλλος κεράμα.

157. Ξένε πάμμορ', εὖ] ὦ περὶ πάντα δυσυχής.

158. Μελάσαθι] ἀπόβηθι· ἤτω πολλά ἐστι τὰ κωλύοντά σε προσμένειν καὶ ἴσασθαι ἐν τῷ ἄλσει.

Ib. Πολλὰ κέλευθος ἐρητύει] οἷον, πολλή ἐστιν ἡ ὁδὸς διαχωρίζουσά σε ἡμῶν. Δεῖ γὰρ νοεῖν ὡς ὅτι πόῤῥωθεν προσφωνοῦσιν αὐτὸν, μὴ δυνάμενοι ἐπιβῆναι τῷ τόπῳ· καὶ ταῦτα εἰπόντων, κατὰ μικρὸν ὁ Οἰδίπους προσέρχεται, καὶ ἴζεται ὥσπερ ἐν τῷ ἁδῷ τῷ χωρίῳ.

164. Φώνει] εἰ θέλεις μέ τι ἐρωτῆσαι, πρωτον ἀποσὰς τῶν ἀβάτων, καὶ ἐπισὰς τοῖς βατοῖς τόποις, ἤτως ἐρώτα με.

166. Ἀσοῖς ἴσα χρὴ μελεᾶν] ἃ ἐκεῖνοι ἀσκοῦσιν, τάτων καί σε δεῖ ἐπιμέλειαν ἔχειν.

167. Εἰκούλας ἃ δεῖ] πρὸς τὸ, Χρὴ δὲ ξένον μὲν κάρτα προσχωρεῖν πόλει.

Πρόσθιγε νῦν μȣ.

ΟΙΔ. Ψαύω καὶ δή.

Ὦ ξεῖνοι, μὴ δῆτ' ἀδικηθῶ
Σοὶ πιςεύσας, καὶ μεταναςάς.

ΧΟΡ. Οὔτοι· μὴ ποτέ σ' ἐκ τῶνδ' ἑδράνων,
Ὦ γέρον, ἄκοντά τις ἄξει.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

ΟΙΔ. Ἔτ' ȣ̃ν ἔτι προβῶ;

ΧΟΡ. Ἐπίβαινε πρόσω.

ΟΙΔ. Ἔτι;

ΧΟΡ. Προσβίβαζε, κȣ́ρα,
Πρόσω· σὺ γὰρ ἀΐεις.

ΑΝΤ. Ἕσπεο μὰν, ἕσπε' ὧδ' ἀμαυρῷ
Κώλῳ, πάτερ, ᾇ σ' ἄγω· τόλμα ξεῖνος
Ἐπὶ ξείνης, ὦ τλᾶμον, ὅ,τι
Καὶ πόλις τέτροφεν ἄφιλον *
Ἀποςυγεῖν, καὶ τὸ φίλον σέβεσθαι.

ΟΙΔ. Ἄγέ νυν σύ με, παῖ, ἵν' ἂν εὐσεβίας
Ἐπιβαίνοντες, τὸ μὲν εἴπωμεν †,
Τὸ δ' ἀκȣ́σωμεν ‡,
"Καὶ μὴ χρείᾳ πολεμῶμεν."

ΧΟΡ. Αὐτȣ̃· μηκέτι τȣ̃δ' ἀντιπέτρȣ

* Turn. in marg. ἄθλιον. † Turn. εἴποιμεν. ‡ Turn. ἀκȣ́σαιμεν.

171. Σοὶ πιςεύσας] κατά τινα συνήθειαν ποιητικὴν πληθυντικὸν προειπὼν, ἑνικὸν ἐπέζευξεν.

178. Σὺ γὰρ ἀΐεις] οἷον, αἰσθάνῃ πȣ̃ ἐσμέν.

180, 181. Ξεῖνος ἐπὶ ξείνης] ξένος ὢν ἐπὶ ξένης τόλμα, ὦ τλᾶμον, ταῦτα φιλεῖν, ἃ καὶ ἡ πόλις φιλεῖ, ἐκεῖνα δὲ μισεῖν ἃ καὶ ἡ πόλις μισεῖ.

182. Τέτροφεν] ἔχει.

184, 185. Ἵν' ἂν εὐσεβείας ἐπιβαίνοντες] ὅπȣ ἂν εὐσεβῶς πατȣ̃ντες, τὸ μὲν εἴπωμεν, τὸ δ' ἀκȣ́σωμεν, ἀντὶ τȣ̃, τῶν βατῶν τόπων.

187. Καὶ μὴ χρείᾳ πολεμῶμεν] καὶ μὴ τῇ αὐτῶν ἐνδείᾳ ἐναντιώμεθα.

188. Ἀντιπέτρȣ] ἰσοπέτρȣ· χαλκȣ̃.

189. Βήματος]

Βήματος ἔξω πόδα κλίνῃς.
ΑΝΤ. Οὕτως;
ΧΟΡ. Ἅλις, ὡς ἀκούεις.
ΟΙΔ. Ἧσθω *;
ΧΟΡ. Λέχριός γ' ἐπ' ἄκρου
Λάου βραχὺς ὀκλάσας.
ΑΝΤ. Πάτερ, ἐμὸν τόδ', ἐν ἡσυχίᾳ
(Ἰώ μοι, μοι)
Βάσει βάσιν ἁρμόσαι.
Γεραιὸν ἐς χέρα σῶμα σὸν
Πρόσκλινον φιλίαν ἐμάν.
ΟΙΔ. Ὤι μοι δύσφρονος ἄτας,
ΧΟΡ. Ὦ τλάμων, ὅτε νῦν χαλᾷς,
Αὔδασον τίς σ' ἔφυσε βροτῶν·
Τίς ὢν πολύπονος ἄγῃ· τίνα σοῦ
Πατρίδ' ἐκπυθοίμαν.
ΟΙΔ. Ὦ ξένοι, ἀπόπτολις· ἀλλὰ μή——
ΧΟΡ. Τί τόδ' ἐννέπεις, γέρον;
ΟΙΔ. Μὴ, μὴ, μή μ' ἀνέρῃ τίς γ' εἰμὶ,
Μηδ' ἐξετάσῃς πέρα ματεύων †.

* Ald. Ἧ 'σθω. † Turn. in marg. μαςεύων.

189. Βήματος] τοῦ κατ' ἴσον βεβηκότος τῷ πέτρῳ, ὅπερ ἄνω εἶχε χαλκὸν οὐδόν. Τοῦτον δὲ τὸν πέτρον ὑποτίθεται τοῦ ἀβάτου ὅριον. Ἄλλως· Βήματος, τοῦ οὐδοῦ· ἀντιπέτρου δὲ, ὅτι ἀντὶ πέτρας χαλκὸς ἦν.

Ib. Κλίνῃς] γράφεται καὶ κινήσῃς.

192. Ἡσθῶ] ἀντὶ τοῦ, καθεσθῶ, ἀπὸ τοῦ ἕω. Γράφεται ἡςᾶ· ὃ καὶ βέλτιον.

193, 194. Ἐπ' ἄκρου Λάου] ἀπὸ τῆς λᾶος ἐςὶ παροξυνομένης εὐθείας, ἀπὸ γενικῆς τῆς, Λᾶος ὑπὸ ῥιπῆς· οὕτως Ἡρουδιανὸς ἐν τῷ ε τῆς καθόλου.

195. Ἐμὸν τόδε] τὸ ὁδηγῆσαί σε· ἢ τὸ ἁρμόσαι σοῦ ἐφ' ἡσυχίας τὴν βάσιν τῇ καθέδρᾳ.

198. Γεραιὸν ἐς χέρα] τὸ ἑξῆς οὕτω, γεραιὸν σῶμα σὸν προκλίνας ἐς χέρα φιλίαν ἐμήν. Τὸ δὲ κλίνας ἀπὸ τῆς μετοχῆς ἤρτηται, ἀντὶ τοῦ, κλίνας ἔσω. Σχηματίζει δέ πως αὐτὸν καὶ εὐθετίζει ἡ Ἀντιγόνη.

201. Ὅτε νῦν χαλᾷς] ὅτε νῦν εἴκεις καὶ οὐκ ἀντιτείνεις τὸ ἐξελθεῖν· λέγει δὲ, ἐκ τοῦ ἱεροῦ.

202. Τίς σε ἔφυ] γράφεται καὶ, τίς ἔφυς.

203. Τίς ὢν πολύπονος ἄγῃ] γράφεται καὶ, τίς ὁ πολύπονος. Τίς ὢν ἄγῃ ἀπὸ τῆς σῆς πόλεως· ἢ οὕτως· τίς ὢν διὰ πολλῶν πόνων ἄγῃ.

205. Ἀπόπτολις] ἔρημος καὶ ἄπολις εἰμί.

Ib. Ἀλλὰ μὴ] τὸ ἑξῆς· ἀλλὰ μὴ με ἀνέρῃ τίς εἰμι, μηδὲ ἐξετάσῃς. Ἐμπαθὲς δὲ τὸ χωρίον,

ΧΟΡ. Τί τόδε;

ΟΙΔ. Δεινὰ φύσις.

ΧΟΡ. Αὔδα.

ΟΙΔ. Τέκνον, ὤμοι, τί γεγωνῶ;

ΧΟΡ. Τίνος εἶ σπέρμαλος,
Ξένε *, φώνει ταλῃρόθεν.

ΟΙΔ. Ὤιμοι ἐγὼ τί πάθω, τέκνον ἐμόν;

ΑΝΤ. Λέγ', ἐπείπερ ἐπ' ἔσχαρα μένεις †.

ΟΙΔ. Ἀλλ' ἐρῶ· ἐ γὰρ ἔχω καλακρυφάν.

ΧΟΡ. Μακρὰ μέλλεί γ' ‡, ἀλλὰ ταχύνεε.

ΟΙΔ. Λαΐᾳ ἵζέ τιν' ἀπόγονον;

ΧΟΡ. Ὦ, ὦ· ἰὲ, ἰέ.

ΟΙΔ. Τό, τε Λαβδακιδᾶν γένος;

ΧΟΡ. Ὦ Ζεῦ·

ΟΙΔ. Ἄθλιον Οἰδιπόδαν;

ΧΟΡ. Σὺ γὰρ ὅδ' εἶ;

ΟΙΔ. Δέος ἴσχεε μηδὲν, οσ' αὐδῶ.

ΧΟΡ. Ἰώ· ὦ, ὦ.

ΟΙΔ. Δύσμορος.

ΧΟΡ. Ὦ, ὦ.

ΟΙΔ. Θύγαλερ, τί ποτ' αὐτίκα κύρσει;

* Ald. Ξεῖνε. † Turn. in marg. βαίνεις.
‡ Ald. μέλλετ', ἀλλὰ.

χωρίον, τῶν μὲν, σπευδόντων μαθεῖν, τῷ δὲ, καλοκαγαθίας γέγειν· οἱ δὲ, διὰ βραχέων ἀκέσαντες, τἄλλα συμβάλλεσιν. Οὐδὲν δὲ θαυμαστὸν ἐπίστασθαι τὰς Ἀθηναίας τὰ ἐν Θήβαις πραττόμενα, μάλιστα ἔτος ἐπισήμων ὄντων τῶν κατὰ τὴν Σφίγγα.

210. Δεινὰ φύσις] ἡ ἐμὴ γένεσα δεινή ἐστι καὶ ἀθλία.

217. Καλακρυφάν] ἀποφυγὴν τῷ μὴ εἰπεῖν.

219. Λαΐᾳ ἵζέ τιν'] εὖ διαλέθεσθαι γνωριζόμενον ὑπὸ τῶν Ἀθηναίων τὸν Οἰδίποδα, ὑπὲρ τῷ μὴ γενεαλογῆσαι ἄνωθεν ὀχλεῖν αὐτὸν τοῖς θεωμένοις. Ἀλλ' ὅγε Εὐριπίδης τοιοῦτος. Ἐν γῇ ταῖς Ἱκέτισι τὸν Θησέα ὑπολέθεσθαι τὰς περὶ τὸν Ἄδραστον ἀγνοίας, ἕνεκα τῷ μηκύναι τὸ δρᾶμα.

225. Δέος ἴσχεε] ὅσα (φησὶ) λέγω περὶ τούτων, μηδὲν φοβεῖσθε. Δεῖ δὲ προσυπακοῦσαι ψευσαμένῳ.

229. Τί κύρσει] τί προθήσεται ἡμῖν; ὁρῶ γὰρ τύτες μυσαττομένες με.

230. Ἔξω

ΧΟΡ. Ἔξω πόρσω * βαίνετε χώρας.
ΟΙΔ. Ἃ δ' ὑπέσχεο, ποῖ καταθήσεις;
ΧΟΡ. Οὐδενὶ μοιριδία τίσις ἔρχεται,
Ὧν προπάθῃ †, τὸ τίνειν.
" Ἀπάτα δ' ἀπάταις
" Ἑτέραις ἑτέρα παραβαλλομένα,
" Πόνον ȣ̓ χάριν ἀντιδίδωσιν ἔχειν."
Σὺ δὲ τῶνδ' ἑδράνων
Πάλιν ἔκτοπος, αὖτις ἄφορμος ἐμᾶς
Χθονὸς ἔκθορε, μήτι πέρα χρέος
Ἐμᾷ πόλει προσάψῃς.

ΑΝΑΠΑΙΣΤΟΙ.

ΑΝΤ. Ὦ ξένοι αἰδόφρονες, ἀλλ' ἐπεὶ
Γεραὸν ἀλαὸν πατέρα ‡ τόνδ' ἐμόν
Οὐκ ἀνέτλατ' ἔργων

* Ald. πρόσω. † Turn. in marg. προσπάθῃ.
‡ Ald. Γεραὸν πατέρα.

230. Ἔξω πρόσω βαίνετε χώρας] ἀκούσαντες τὰ κατ' αὐτὸν, ἀξιοῦσιν ἐξιέναι τοῦ χωρίου· φησὶν οὖν ὁ Οἰδίπους, ὅτι πρότερον ὑπέσχεσθε τοῦ μὴ ἐκβαλεῖν με. Οἱ δέ φασιν, ȣ̓δεμία τίσις ἔρχεται τοῖς προπαθοῦσιν, ἀντιτιμωρουμένοις. Καὶ ἡμεῖς οὖν, ἀπατηθέντες ὑπὸ σοῦ, ἐν μέρει ἀπατῶμέν σε. Πέφρασται δὲ δυνατῶς. Μοῖρα δὲ, ἡ ἐξ Ἐριννύων δηλαδή· μοίρας γὰρ νῦν τας Ἐριννύας ἀκουστέον.

233. Ὧν προπάθῃ, τὸ τίνειν] λείπει ἡ Διὰ, ἵν' ᾖ, διὰ τὸ τιμωρεῖν ὑπὲρ ὧν ἂν προπάθῃ.

234. Ἀπάτα δ' ἀπάταις] ἡ δὲ ἀπάτη (φησὶ) παραβαλλομένη καὶ ἀντισυμένη ἑτέραις ἀπάταις, πόνον ἔχειν ἀντιδίδωσι τῷ ἀπατήσαντι ἐξ ἀρχῆς, καὶ ȣ̓ χάριν· καὶ αὐτοὶ οὖν νομίζουσι προσδεδέχθαι αὐτὸν καὶ ἐπηγγέλθαι τὴν ἀσφάλειαν αὐτῷ, ἀπατώμενοι καὶ ȣ̓ πρότερον ἐπεγνωκότες ὅτι οἰκείοις ἐνέχεται μιάσμασι. Τοιοῦτόν ἐστι καὶ τὸ, Ἡ γλῶσσ' ὀμώμοκεν, ἡ δὲ φρὴν ἀνώμοτος· καὶ ἐκεῖνος γὰρ ἀπατηθεὶς ὤμοσεν.

238. Ἄφορμος] ἀφορμηθείς.

241. Ὦ ξένοι αἰδόφρονες] τὸ τῆς Ἀντιγόνης πρόσωπον ὅλον καὶ τοῦ Χοροῦ τὸ τετράστιχον ἀθετοῦνται. κρεῖττον γὰρ, φασὶν, εὐθέως τῷ δικαιολογικῷ χρήσασθαι τὸν Οἰδίπουν πρὸς αὐτούς. Ἀλλὰ τὰ πράγματα αὐτοῖς ȣ̓κ ἐν καιρῷ ἐστὶν, ἀλλ' ἐν δυσπραγίᾳ· ὥστε ἐπαφρόδιτον εἶναι αὐτοῖς τὴν ἐλεεινολογίαν. Καὶ τοῦτο τὸ πρόσωπον ἡ Ἀντιγόνη πληροῖ. Ἐπεὶ μέντοι ȣ̓τοι ȣ̓ πείθονται, τότε δικαιολογικώτερον καὶ ὥσπερ ἀπολογούμενος ἐκφέρει τὰ ἑξῆς ὁ Οἰδίπους, ὅτι ἀκούσιά ἐστιν αὐτοῦ τὰ ἁμαρτήματα. Καὶ εἰ ταῦτα τῆς ὁμοίας ἔχεται δυνάμεως τοῦ ποιητοῦ, καθόλου θαυμαστή τις ἐστὶν ἡ οἰκονομία τοῦ δράματος· ȣ̓δὲν δὲ ἐν τοῖς Διδύμου τούτων ὀβελισθὲν εὕρομεν.

241, 242. Ἀλλ' ἐπεὶ Γεραὸν] ἐπειδὴ γάρ ἐστιν ὁ ἀλλὰ ἀντὶ τοῦ Δὲ· ὁ δὲ Δὲ ἀντὶ τοῦ Δὴ, πλεονάζει ὁ ἀλλά.

242. Γεραὸν ἀλαὸν] ἐκ τοῦ ἐπιθέτου νεύει εἰς τὴν τοῦ πατρὸς ἀπολογίαν.

243, 244. Ἔργων Ἀκόντων] τῶν ἀκουσίων, ἢ τῶν ἀπαρεσκόντων ὑμῖν.

Ἀκούων ἀΐοντες αὐδάν,
Ἀλλ' ἐμὲ τὰν μελέαν, ἱκετεύομεν,
Ὦ ξένοι, οἰκτείραθ', ἃ πάλαι ὑπερ
Τᾶς μᾶς ἄλομαι, ἄλομαι, ἐκ ἀλα-
οῖς προσορωμένα ὄμμα σὸν ὄμμασιν,
Ὡς τις ἀφ' αἵματος
Ὑμετέρᾳ προφανεῖσα, τὸν ἄθλιον
Αἰδᾶς κύρσαι· ἐν ὑμῖν γὰρ ὡς θεῷ
Κείμεθα πλάμονες· ἀλλ' ἴτε, νεύσατε
Τὰν ἀδόκητον χάριν,
Πρός σ' ὅ,τι σοὶ φίλον ἐκ σέθεν ἄλομαι,
Ἢ τέκνον, ἢ λόγος, ἢ χρέος, ἢ θεός.
" Οὐ γὰρ ἴδοις ἂν ἀθρῶν βροτῶν *, ὅστις ἂν, εἰ
" Θεὸς ἄγοι γ', ἐκφυγεῖν δύναιτο."

ΙΑΜΒΟΙ.

ΧΟΡ. Ἀλλ' ἴσθι, τέκνον Οἰδίπου, σέ τ' ἐξ ἴσου
Οἰκτείρομεν, καὶ τόνδε συμφορᾶς χάριν.
Τὰ δ' ἐκ θεῶν τρέμοντες, ἃ σθένοιμεν ἂν
Φωνεῖν πέρα τῶν πρὸς σε νῦν εἰρημένων.
ΟΙΔ. Τί δῆτα δόξης ἢ τί κληδόνος καλῆς

Turn. in marg. ἀναδρῶν βροτὸν.

247. Οὐκ ἀλαοῖς] ἐκ ἀλαοῖς ὄμμασιν ὁρῶσα τὸ σὸν ὄμμα· ὀφθαλμοὶ γὰρ ὀφθαλμὸς αἰδεῖσθαι ποιοῦσι.

248. Προσορωμένα] ἀντὶ τοῦ, ὁρώσα τάττει ὧν καὶ δέομαι.

249. Ὡς τις ἀφ' αἵματος] ὡς ἂν τῆς κοινῆς ἀνθρωπότητος ἐχούσης τὸ συγγενές· ἢ, τοιαύτας ἱκετείας ποιοῦμαι, οἵας ἄν τις προσαγάγοι τοῖς συγγενέσι.

250. Τὸν ἄθλιον] τὸ ἐξῆς· ἄλλομαι τὸν ἄθλιον αἰδᾶς κύρσαι.

254. Ἐκ σέθεν ἄλομαι] λείπει ἐκείνου· ἵν' ᾖ, ὑπὲρ ἐκείνου σε ἄλομαι, ὃ ἐκ σέθεν τιμιόν ἐστί σοι· ἀντὶ τοῦ, ὃ ἐκ σῆς προαιρέσεως τιμιόν σοι ἔνεστιν.

256. Οὐ γὰρ ἴδοις ἀναθρῶν] τὸ ἐξῆς· ἢ γὰρ ἴδοις ἀναθρῶν βροτῶν, ὅστις ἂν ἐκφυγεῖν δύναιτο, εἰ Θεὸς ἄγοι.

260. Οὐ σθένοιμεν ἂν φωνεῖν] ἀλλ' ἐμμένοιμεν τοῖς λεχθεῖσι δηλονότι· λέγομεν δέ, τὸ ἀναξῆναι τοῦτον τοῦ ἱεροῦ, μὴ μολύνειν αὐτό.

262. Τί δῆτα δόξης] ὡς μάτην τῆς περὶ τῶν Ἀθηνῶν καλῆς ἐχούσης δόξης, ὡς ἄρα φιλοικτίρμων τὶς ἂν εἴη καὶ ἱκεταδόκος, τοῦτο λέγει· φησὶ γὰρ καὶ ὁ Κυρήναιος ἐν τῷ τέλει τοῦ δευτέρου τῶν Αἰτίων, Οὕνεκεν οἰκτίρειν οἵδε μόνη πολίων.

264. Εἰ

Μάτην ῥεύσης ὠφέλημα γίνεσθαι;
Εἰ τὰς Ἀθήνας φασὶ θεοσεβεστάτας
Εἶναι, μόνας δὲ τὸν καλέμενον ξένον
Σώζειν οἵας τε, καὶ μόνας ἀρκεῖν ἔχειν,
Καμοί γε πῶς ταῦτ' ἐστίν; οἵτινες βάθρων
Ἐκ τῶνδέ μ' ἐξάραντες, εἶτ' ἐλαύνετε,
Ὄνομα μόνον δείσαντες; ὃ γὰρ δὴ τόγε
Σῶμ', ὐδὲ τἄργα τἄμ' ἐπεὶ τά γ' ἔργά με
Πεπονθότ' ἐστὶ μᾶλλον, ἢ δεδρακότα.
Εἴ σοι τὰ μητρὸς καὶ πατρὸς χρεὼ λέγειν,
Ὧν ἕνεκ' ἐκφοβῇ με· τῦτ' ἐγὼ καλῶς
Ἐξοιδα· καίτοι πῶς ἐγὼ κακὸς φύσιν,
Ὅσις πάθων μὲν, ἀντέδρων. Ὡς εἰ φρονῶν
Ἔπρασσον, ὐδ' ἂν ὧδ' ἐγιγνόμην κακός·
Νῦν δ' ὐδὲν εἰδὼς ἰκόμην ἵν' ἰκόμην·
Ὑφ' ὧν δ' ἔπασχον, εἰδότων ἀπωλλύμην·
Ἀνθ' ὧν ἱκνοῦμαι πρὸς θεῶν ὑμᾶς, ξένοι,
Ὥσπέρ με κἀνεσήσαθ', ὧδε σώσατε·
Καὶ μὴ θεὸς τιμῶντες, εἶτα τὸς θεὸς
Μοῖραν ποιεῖσθε μηδαμῶς· "ἡγεῖσθε δὲ
"Βλέπειν μὲν αὐτὸς πρὸς τὸν εὐσεβῆ βροτῶν,

264. Εἰ τὰς Ἀθήνας φασὶν] ἐπεὶ καὶ ἐλέω βωμὸς ἐν Ἀθήναις ἵδρυται.

267. Κἀμοί γε πῶς] καί μοι πῶς ταῦτ' ἐστὶ, τὰ λεγόμενα περὶ Ἀθηνῶν;

270. Οὐδὲ τἄργα τὰ μὰ] ἀπὸ κοινῦ τὸ δείσαντες.

271. Πεπονθότ' ἐστὶ μᾶλλον] μᾶλλον (φησὶν) ἔπαθον ἢπερ ἐποίησα· ἐκῶν καὶ συγγνώμης ἄξιός εἰμι. Ἄλλως· τῦτο ἐγὼ καλῶς ἔξοιδα ὅτι μᾶλλον ἠδικήθην ἢπερ ἠδίκησα.

272. Εἴ σοι τὰ μητρὸς καὶ πατρὸς χρεὼ] ἢ λέγειν] χρεῖα, χρήσιμα. Ἤτοι χρήσιμον ἢ λέγειν· ἐκ τούτων γὰρ σύγκειται καὶ τὸ χρή· τὸ δὲ χρεία τριγενές ἐστιν· ἔστι γὰρ ὁ χρεὼς, ἡ χρεία, τὸ χρεῖον· ἔστι δὲ καὶ μονογενὲς ἡ χρεία. Ὅτι δὲ ἐναῦθα τὸ χρεῖα ἀδέτερόν ἐστι, δηλοῖ τὸ συναλείφεσθαι τὸ Α· ὅπερ ἐκ ἂν ἐγένετο εἰ μὴ βραχὺ ἦν.

273. Τῦτ' ἐγὼ καλῶς ἔξοιδα] οἶδα ὅτι μᾶλλον ἠδικήθην ἢπερ ἠδίκησα.

275. Ὡς' εἰ φρονῶν ἔπρασσον] ἄκων μὲν (φησὶν) ἔδρων· εἰ δὲ καὶ ἑκών, προπαθὼν ἀμυνάμην· δῆλοι δὲ διὰ τὸ βλαβῆναι ὅτε ἐγεννήθη. ὥστε δύο μοι (φησὶ) βοηθεῖ, ἥ τε ἄγνοια καὶ τὸ προπαθόντα ἀμύνασθαι.

277. Νῦν δ' ὐδὲν εἰδὼς ἰκόμην] τὴν τῦ πατρὸς φόνυ λέγει ὁδόν.

280. Καὶ μὴ θεὸς τιμῶντες] ἐπεὶ κατὰ πυθόχρηστον ἐλήλυθα (φησὶ) καὶ γνώμῃ θεῦ, μὴ ἐναντία τῇ θεῷ ποιεῖτε.

" Βλέπειν δὲ πρὸς τȣ̀ς δυσσεβεῖς· φυγὴν δέ τȣ
" Μήπω γενέσθαι φωτὸς ἀνοσίȣ βροτῶν."
Ξὺν οἷς σὺ μὴ κάλυπτε τὰς εὐδαίμονας
Ἔργοις Ἀθήνας ἀνοσίοις ὑπηρετῶν.
Ἀλλ' ὥσπερ ἔλαβες τὸν ἱκέτην ἐχέγγυον,
Ῥύȣ με, κἀκφύλασσε· μηδέ μȣ κάρα
Τὸ δυσπρόσωπον εἰσορῶν ἀτιμάσῃς·
Ἥκω γὰρ ἱερὸς εὐσεβής τε, καὶ φέρων
Ὄνησιν ἀςοῖς τοῖσδ'· ὅταν δὲ κύριος
Παρῇ τὶς ὑμῶν, ὅςις ἐςὶν ἡγεμὼν,
Τότ' εἰσακȣ́ων πάντ' ἐπιςήσῃ· τὰ δὲ
Μεταξὺ τȣ́τȣ, μηδαμῶς γίνȣ κακός.
ΧΟΡ. Ταρβεῖν μὲν, ὦ γεραιὲ, τἀνθυμήματα
Πολλή γ' ἀνάγκη τἀπὸ σȣ̃· λόγοισι γὰρ
Οὐκ ὠνόμαςαι βραχέσι· τȣ̀ς δὲ τῆσδε γῆς
Ἄνακτας ἀρκεῖ ταῦτά μοι διειδέναι.
ΟΙΔ. Καὶ πȣ̃ 'σθ' ὁ κραίνων τῆσδε τῆς χώρας, ξένοι;
ΧΟΡ. Πατρῷον ἄςυ γῆς ἔχει· σκοπὸς δέ νιν,
Ὃς κἀμὲ δεῦρ' ἔπεμψεν, οἴχεται ςελῶν.
ΟΙΔ. Ἢ καὶ δοκεῖτε τȣ̃ τυφλȣ̃ τιν' ἐντροπὴν
Ἢ φροντίδ' ἕξειν, κἀπόνως ἐλθεῖν πέλας;
ΧΟΡ. Καὶ κάρθ', ὅταν περ τȣ̃νομ' αἴσθηται τὸ σόν.

284. Φυγὴν δὲ] ἀντὶ τȣ̃, ἔκφευξιν.

285. Μήπω γενέσθαι φωτὸς] ὃ βούλεται λέγειν, μηδένα διαφυγεῖν ποτὲ φῶτα ἀνόσιον ἀνθρώποις. Ὡς τὸ, δικαιότατος Κενταύρων.

286. Ξὺν οἷς] Σὺν οἷς θεοῖς.

Ib. Σὺ μὴ κάλυπτε] ἀντὶ τȣ̃, μὴ περικαλύψῃς θεȣ̀ς καὶ Ἀθήνας· οἷον, ἀνόσια πράττων, μὴ ἀφάνιζε τὰς Ἀθήνας.

288. Ἐχέγγυον] ἀσφαλῆ.

291. Ἱερὸς] καθαρός.

Ib. Καὶ φέρων ὄνησιν ἀςοῖς] ἐρεῖ γαρ προϊὼν ὡς ἔςαι ποτὲ αὐτοῖς ἔχθρα πρὸς Θηβαίȣς, ἐν ᾗ κρατήσȣσιν αὐτῶν, διὰ τὸ τὸν τάφον αὐτȣ̃ παρ' Ἀθηναίοις τυγχάνειν· ἦν γάρ τι λόγιον, ἐν ᾗ ἂν ταφῇ χώρᾳ, ἐκείνην μηδὲν κακὸν πείσεσθαι ὑπὸ θεῶν.

296. Τἀνθυμήματα] εἶπε γὰρ σώζειν τὰς Ἀθήνας.

300. Καὶ πȣ̃, σθ' ὁ κραίναν] ἀρίςη ἡ οἰκονομία, ὥςε μὴ διαλριβὰς γενέσθαι, τίς ὁ καλέσων ἔςαι.

305. Τȣ̃νομ' αἴσθηται] τὸ γὰς ὄνομα Οἰδίπȣς πανταχȣ̃.

ΟΙΔ. Τίσδ' ἔσθ' ὁ κείνῳ τοῦτο τοὖπος ἀγγελῶν;
ΧΟΡ. Μακρὰ κέλευθος· πολλὰ δ' ἐμπόρων ἔπη
Φιλεῖ πλανᾶσθαι, τῶν ἐκεῖνος ἀΐων,
(Θάρσει) παρέσται· πολὺ γὰρ, ὦ γέρον, τὸ σὸν
Ὄνομα διήκει πάντας· ὥστε κεἰ βραδὺς
Εὕδει, κλύων σοῦ δεῦρ' ἀφίξεται ταχύς.
ΟΙΔ. Ἀλλ' εὐτυχὴς ἵκοιτο τῇ θ' αὑτοῦ πόλει,
Ἐμοί τε· "τίς γὰρ ἐσθλὸς οὐχ αὑτῷ φίλος;"
ΑΝΤ. Ὦ Ζεῦ, τί λέξω; ποῖ φρενῶν ἔλθω, πάτερ;
ΟΙΔ. Τίδ' ἔστι, τέκνον Ἀντιγόνη;
ΑΝΤ. Γυναῖχ' ὁρῶ
Στείχουσαν ἡμῶν ἆσσον, Αἰτναίας ἔπι
Πώλου βεβῶσαν. κρατὶ δ' ἡλιοστερὴς
Κυνῆ πρόσωπα Θεσσαλίς νιν ἀμπέχει.
Τί φῶ;
Ἆρ' ἔστιν; ἆρ' οὐκ ἔστιν; ἢ γνώμῃ πλανᾷ;
Καὶ φημὶ, κἀπόφημι, κοὐκ ἔχω τί φῶ,
Τάλαινα.
Οὐκ ἔστιν ἄλλη· φαιδρὰ γοῦν ἀπ' ὀμμάτων

307. Πολλὰ δ' ἐμπόρων ἔπη] εἰκὸς οὖν ἐστὶν ἡμῶν ἀκηκοότων καὶ ἕτερον μεμαθηκέναι. Ὁ γὰρ ἀπεληλυθὼς πρότερον, οὐδέπω μεμάθηκει ὅστις ἦν· τῷ γὰρ χορῷ πρώτῳ ὡμολόγησε· διὰ μέσου δὲ τὸ θάρσει.

309. Πολὺ γὰρ, ὦ γέρον, τὸ σὸν ὄνομα] τοῦτο λέγει διὰ τὰς πράξεις αὐτοῦ τάς τε κατὰ τῆς Σφιγγὸς, καὶ ὅσα ἄλλα αὐτῷ πέπρακται.

311. Κλύων σοῦ] λείπει ἡ Περί· περὶ σοῦ κλύων.

313. Οὐχ αὑτῷ φίλος] χρήσιμος· ὁ γὰρ ἀγαθὸς, αὑτῷ τε καὶ τοῖς φίλοις ἐστὶ χρήσιμος.

316. Γυναῖχ' ὁρῶ] ἡ Ἰσμήνη πρόσεισι τὰ κατὰ τοὺς ἄρρενας ἀπαγγέλλουσα παῖδας τοῦ Οἰδίπου, πῶς ἔσχον.

317. Αἰτναίας ἔπι] τῆς Σικελικῆς· λέγει δὲ, ἀντὶ τῆς μεγάλης.

318. Ἡλιοστερὴς] σκιαστική. Πλατύπιλος κυνῆ, ἤτοι περικεφαλαία, τὴν ὄψιν αὐτῆς περιέχει, καλύπτουσα, καὶ ἀφαιρουμένη τὴν ἡλίωσιν. Τὸ ἑξῆς δὲ, κρατὶ ἡγιοστερὴς κυνῆ.

319. Κυνῆ πρόσωπα Θεσσαλίς νιν] καὶ γὰρ περισσοὶ ἦσαν οἱ Θεσσαλικοὶ πῖλοι· ὡς καὶ Καλλίμαχος, "Εἴδεος ἀμφὶ δέ οἱ κεφαλῇ νέον "αἱμονίηθεν Μεμβλωκὸς, πίλημά τι πέτρου "ἄλκαρ ἔκειτο." Ἄλλως· Κυνῆ Θετταλικὴ τὴν κεφαλὴν αὐτῆς περιεκάλυπτε πλατύπιλος ἀποπέμπουσα τοῦ προσώπου αὐτῆς τὰς τοῦ ἡλίου ἐκκαύσεις, ἣν ἡλιοστερῆ ὠνόμασεν. Ὅτι δὲ πλατεῖς ἦσαν οἱ Θεσσαλικοὶ πῖλοι· καὶ Καλλίμαχος λέγει, "Εἴδεος ἀμφὶ δέ οἱ," καὶ τὰ ἑξῆς.

321. Ἆρ' ἔστιν] ἆρα ἔστιν ἡ Ἰσμήνη; ἆρα οὐκ ἔστιν;

324. Φαιδρὰ γοῦν] τὸ ἑξῆς, φαιδρὰ προστείχουσα· φαιδρὰ δὲ, ἀντὶ τοῦ, φαιδρῶς.

Σαίνει με προσείχουσα· σημαίνει δ' ὅτι
Μόνης τόδ' ἐσὶ δῆλον Ἰσμήνης κάρα.
ΟΙΔ. Πῶς εἶπας, ὦ παῖ;
ΑΝΤ. Παῖδα σὴν, ἐμὴν δ' ὁρᾷν
Ὅμαιμον· αὐδῇ δ' αὐτίκ' ἔξεσιν μαθεῖν.
ΙΣΜ. Ὦ δισσὰ παῖρὸς καὶ κασιγνήτης ἐμοὶ
Ἥδισα προσφωνήματ', ὡς ὑμᾶς μέλις
Εὑρεῖσα λύπη δεύτερον μόλις βλέπω.
ΟΙΔ. Ὦ τέκνον, ἥκεις;
ΙΣΜ. Ὦ πάτερ δύσμοιρ' ὁρᾷν.
ΟΙΔ. Ὦ σπέρμ' ὅμαιμον.
ΙΣΜ. Ὦ δυσάθλιαι τροφαί.
ΟΙΔ. Τέκνον, πέφηνας;
ΙΣΜ. Οὐκ ἄνευ μόχθου γέ μοι.
ΟΙΔ. Πρόσψαυσον, ὦ παῖ.
ΙΣΜ. Θιγγάνω δυοῖν ὁμοῦ.
ΟΙΔ. Ἦ τῆσδε, κἀμοῦ;
ΙΣΜ. Δυσμόρου δ' ἐμοῦ τρίτης.
ΟΙΔ. Τέκνον, τίδ' ἦλθες;
ΙΣΜ. Σῆ, πάτερ, προμηθίᾳ.
ΟΙΔ. Πότερα πόθοισι;
ΙΣΜ. Καὶ λόγοις αὐτάγγελος,
Ξὺν ᾧπερ εἶχον οἰκέων πισῷ μόνῳ.
ΟΙΔ. Οἱ δ' αὐθόμαιμοι, ποῖ νεανίαι πονεῖν;

325. Σαίνει με] εἰς γνῶσίν με ἐφέλκεται.
329. Αὐδῇ δ' αὐτίκ'] ἐκ τῆς φωνῆς ἔξεσί σοι μαθεῖν.
332. Εὑρεῖσα λύπη δεύτερον] τὸ ἐξῆς, εὑρεῖσα δεύτερον. Ἴσως τὸ δεύτερον διὰ τὸ δὶς μόλις εἰρηκέναι.
335. Ὦ σπέρμ' ὅμαιμον] διότι ἐκ τῆς μητρὸς αὐτῆ ταύτην ἐγέννησεν, ὅμαιμον σπέρμα ἑαυτὴν καλεῖ.
336. Ὦ δυσάθλιαι τροφαί] ἡμῶν δηλονότι.
340. Δυοῖν ὁμοῦ] σοῦ καὶ Ἀντιγόνης.
342. Δυσμόρου δ' ἐμοῦ τρίτης] οἱ γὰς περιλαμβάνοντές τινα, καὶ ἑαυτοὺς τρόπον τινὰ περιλαμβάνουσιν. Ἰδιάζοντως δὲ εἶπεν ὡς ἑαυτῆς τρίτης Θιγγάνει, εἰ μὴ ἆρα πρὸς τὸ δυσάθλιαι ὑπήνικε.
344. Σῆ, πάτερ, προμηθίᾳ] ἀντὶ τοῦ, διὰ τὴν σὴν πρόνοιαν.
348. Ποῖ νεανίαι πονεῖν] ὦ τὸ πονεῖν ἐσί.
349. Δεινὰ

ΙΣΜ. Εἴσ' ὅπερ εἰσι· δεινὰ δ' ἐν κείνοις τὰ νῦν.
ΟΙΔ. Ὦ πάντ' ἐκείνω τοῖς ἐν Αἰγύπτῳ νόμοις
Φύσιν κατεικασθέντε καὶ βίου τροφάς.
Ἐκεῖ γὰρ οἱ μὲν ἄρσενες κατὰ στέγας
Θακοῦσιν ἱστουργοῦντες· αἱ δὲ σύννομοι
Τὰ ἔξω βίου τροφεῖα πορσύνουσ' ἀεί.
Σφῷν δ', ὦ τέκν', οὓς μὲν εἰκὸς ἦν πονεῖν τάδε,
Κατ' οἶκον οἰκουροῦσιν ὥστε παρθένοι·
Σφὼ δ' ἀντ' ἐκείνων τὰ 'μὰ δυστήνου κακὰ
Ὑπερπονεῖτον· ἡ μὲν, ἐξότου νέας
Τροφῆς ἔληξε, καὶ κατίσχυσεν δέμας,
Ἀεὶ μεθ' ἡμῶν δύσμορος πλανωμένη,
Γεροντα γωγεῖ, πολλὰ μὲν κατ' ἀγρίαν
Ὕλην ἄσιτος νηλίπους τ' ἀλωμένη·
Πολλοῖσι δ' ὄμβροις ἡλίου τε καύμασι
Μοχθοῦσα τλήμων, δεύτερ' ἡγεῖται τὰ τῆς
Οἴκοι διαίτης, εἰ πατὴρ τροφὴν ἔχοι.
Σὺ δ', ὦ τέκνον, πρόσθεν μὲν ἐξίκου πατρὶ
Μαντεῖ' ἄγουσα πάντα Καδμείων λάθρα,
Ἃ τοῦδ' ἐχρήσθη σώματος· φύλαξ δέ μου

349. Δεινὰ δ' ἐν κείνοις τὰ νῦν] νῦν δὲ τὰ ἐν ἐκείνοις ἐστὶ δεινά.

350. Ὦ πάντ' ἐκείνω τοῖς ἐν Αἰγύπτῳ] διαβάλλει τοὺς Αἰγυπτίους ὡς παρὰ τὸ πρέπον διαιτωμένους, καὶ γυναῖκας καὶ ἄνδρας. Νυμφόδωρος δὲ ἐν τῷ τρισκαιδεκάτῳ τῶν Βαρβαρικῶν γράφει ὅτως, Ἔθεσι δὲ, τὰ μὲν ἐναντίοις, τὰ δὲ ὁμοίοις χρῶνται τοῖς Ἕλλησι. Τὸ μὲν γὰρ ἐξίστασθαι τοῖς πρεσβυτέροις τοὺς νεωτέρους, ὁμοτρόπως καὶ ἡμῖν διοικοῦσι, τῶν δ' ἄλλων οὐδὲν· ἐν μὲν γὰρ τοῖς Ἕλλησιν οἱ μὲν ἄνδρες τὰ κατὰ τὸν ἀγορὰν οἰκονομοῦσιν, αἱ δὲ γυναῖκες, ἔνδον μένουσαι, ταλασιουργοῦσιν· ἐκεῖ δὲ αἱ μὲν γυναῖκες ἐν ἀγορᾷ περιπατοῦσι καὶ καπηλεύουσιν, οἱ δὲ ἄνδρες κατὰ τὴν οἰκίαν ὑφαίνουσιν· ὁ γὰρ Σέσωστρις ἐκθηλύναι τοὺς ἄνδρας βουλόμενος, ἅτε μεγίστης χώρας γεγενημένους καὶ πολλοὺς ὄντας, ὅπως μη συστραφέντες ἐπ' ἰσομοιρίαν ὁρμήσωσι, τὰ μὲν ἐκείνων ἔργα ταῖς γυναιξὶ, τὰ δὲ τῶν γυναικῶν ἐκείνοις προσέταξεν· ἵνα μὴ μόνον τῶν ὅπλων ἀναγκαίως στερηθέντες, ἀλλὰ καὶ τὴν ψυχὴν ὑπὸ τῶν ἐπιτηδευμάτων ἀνεθέντες, ἀσμένως ἐπὶ τοῖς ὑπάρχουσι καταμένωσιν. Ὅθεν τοὺς μὲν ψιλοὺς εἶναι, τὰς δὲ ἀνιέναι τὰς τρίχας προσέταξε· καὶ τοὺς μὲν ἐπὶ τῶν κεφαλῶν φέρειν τὰ φορτία, τὰς δὲ ἐπὶ τῶν ὤμων ἠναγκάσε· ἔπειτα δὲ τοὺς μὲν, καθημένους, τὰς δὲ, ὀρθὰς ἑστώσας οὐρεῖν· καὶ ταῖς μὲν δύο ἱμάτια περιέβαλε, τοῖς δὲ, ἕν· ὑπολαμβάνων ἅμα τοῖς ἐπιτηδεύμασι καὶ τὰς ψυχὰς αὐτῶν ἐκθηλύνεσθαι· ὃ καὶ Λυδοῖς ὕστερον συμπεσεῖν φασιν.

353. Αἱ δὲ σύννομοι.] αἱ ἀδελφαὶ, ἢ αἱ γυναῖκες.

362. Νηλίπους] ἀνυπόδητος.

367. Μαντεῖ'

Πιςὴ κατέςης, γῆς ὅτ' ἐξηλαυνόμην·
Νῦν δ' αὖ, τίν' ἥκεις μῦθον, Ἰσμήνη, πατρὶ
Φέρουσα; τίς σ' ἐξῆρεν οἴκοθεν ςόλος;
Ἥκεις γάρ οὐ κενή γε· τοῦτ' ἐγὼ σαφῶς
Ἔξοιδα, μὴ οὐχὶ δεῖμ' ἐμοὶ φέρουσά τι.

ΙΣΜ. Ἐγὼ τὰ μὲν παθήμαθ' ἃ ἔπαθον *, πάτερ,
Ζητοῦσα τὴν σὴν ποῦ κατοικοίης τροφὴν †,
Παρεῖσ' ἐάσω· (δὶς γὰρ οὐχὶ βούλομαι
Πονοῦσά τ' ἀλγεῖν καὶ λέγουσ' αὖθις πάλιν)
Ἃ δ' ἀμφὶ τοῖν σοῖν δυσμόροιν παίδοιν κακὰ
Νῦν ἐςι, ταῦτα σημανοῦσ' ἐλήλυθα.
Πρὶν μὲν γὰρ αὐτοῖς ἦν ἔρις, Κρέοντί τε
Θρόνους ἐᾶσθαι, μηδὲ χραίνεσθαι πόλιν·
Λόγῳ σκοποῦσι τὴν πάλαι γένους φθορὰν,
Οἵα κατέσχε τὸν σὸν ἄθλιον δόμον·
Νῦν δ' ἐκ θεῶν του κἀξ ἀλιτηροῦ φρενὸς,
Εἰσῆλθε τοῖν τρισαθλίοιν ἔρις [illegible],
Ἀρχῆς λαβέσθαι καὶ κρατεῖν τυραννικοῦ.
Χὠ μὲν νεάζων καὶ χρόνῳ μείων γεγὼς
Τὸν πρόσθε γεννηθέντα Πολυνείκην ‡ θρόνων
Ἀποςερίσκει, κἀξελήλακεν πάτρας·
Ὁ δ', (ὡς καθ' ἡμᾶς ἔσθ' ὁ πληθύνων § λόγος)

* Ald. Turn. ἃ ἔπαθον.
† Ald. ςροφὴν.
‡ Ald. Πολυνείκη.
§ Ald. πληθύων.

367. Μαντεῖ' ἄγουσα] ποῖα μαντεῖα φησὶν; ὅτι ὅπου δ' ἂν ταφήσεται, σωτήριος ἔςαι τῇ γῇ ἐκείνῃ.

375. Ζητοῦσα τὴν σὴν] τὸ ἑξῆς, ζητοῦσα τὴν σὴν τροφήν· ἀντὶ τοῦ, τὴν δίαιταν.

376. Δὶς γὰρ] τὸ ἑξῆς, δὶς γὰρ οὐ βούλομαι ἄλγεῖν.

380. Πρὶν μὲν γὰρ αὐτοῖς] πρώην ἦσαν σκοπήσαντες, τῷ Κρέοντι παραχωρῆσαι τὴν σὴν βασιλείαν.

Ib. Κρέοντί τε] ὁ Τε πλεονάζει.

382. Λόγῳ σκοποῦσι] μετοχή ἐςιν, οὐ ῥῆμα.

384. Ἀλιτηροῦ] μιαρᾶς.

386. Λαβέσθαι] ἀντιλαβέσθαι.

388. Τὸν πρόσθε γεννηθέντα Πολυνείκη] τὸ Χ παράκειται ὅτι πρεσβύτερόν φησι τὸν Πολυνείκη.

391. Τὸ

Τὸ κοῖλον Ἄργος βὰς φυγὰς, προσλαμβάνει
Κῆδός τε καινὸν καὶ ξυνασπιστὰς φίλους,
Ὡς αὐτίκ' Ἄργος ἢ τὸ Καδμείων πέδον
Τιμῇ καθέξων, ἢ πρὸς ἐρανὸν βιβῶν.
Ταῦτ' ἐκ ἀριθμός ἐσιν, ὦ πάτερ, λόγων,
Ἀλλ' ἔργα δεινά· τὰς δὲ σὰς ὅποι θεοὶ
Πόνες καλοικλιῦσιν ἐκ ἔχω μαθεῖν.

ΟΙΔ. Ἤδη γὰρ ἔσχες ἐλπίδ', ὡς ἐμῆ θυὲς
Ὤραν τιν' ἕξειν, ὥσε σωθῆναί πολε;

ΙΣΜ. Ἔγωγε, τοῖς νῦν γ', ὦ πάτερ, μανθεύμασι.

ΟΙΔ. Ποίοισι τούτοις; τί δὲ τεθέσπισαι, τέκνον;

ΙΣΜ. Σὲ τοῖς ἐκεῖ ζητητὸν ἀνθρώποις ποτὲ
Θανόντ' ἔσεσθαι ζωπλά τ', εὐνοίας * χάριν.

ΟΙΔ. Τίς δ' ἂν τοιῶδ' ὑπ' ἀνδρὸς εὖ πράξειεν ἄν;

ΙΣΜ. Ἐν σοὶ τὰ κείνων φασὶ γίγνεσθαι κράτη.

* Turn. καὶ κατ' εὐσοίας.

391. Τὸ κοῖλον Ἄργος] πολλαχῆ τὸ Ἄργος κοῖλον φησι, καθάπερ καὶ ἐν Ἐπιγόνοις, Τὸ κοῖλον Ἄργος ἐ καλοικήσανΘ' ἔτι. Καὶ ἐν Θαμύρᾳ, Ἐκ μὲν Ἐριχθονίης πολιμάσιον ἔσχεθε κῆρον Αὐτόλυκον, πολέων κλεάνων σίνιν Ἀρῆι κοίλῳ. Καὶ Ὅμηρος·

" Οἱ δ' ἶξον κοίλην Λακεδαίμονα."

393. Ὡς αὐτίκ' Ἄργος] ὡς αὐτίκα καὶ τὸ Ἄργος πρὸς ἐρανὸν βιβῶν, καὶ τὸ Καδμείων πέδον τιμωρίαν ὑπολάβων. Τὸ γὰρ τιμὴ ἔσθ' ὅτε πρόσιμον δηλοῖ. Ὅμηρος·

" Εἰ δ' ἂν ἐμοὶ τιμὴν Πρίαμος Πριάμοιό
" τε παῖδες
" Τίνειν ἐκ ἀθέλωσιν."

Ἑπάτερον δὲ ἢ ἀντὶ τῦ καὶ ἐςί· τὸ δὲ ἕξῃς, ἕτως, αὐτίκα ἢ τὸ Καδμείων πέδον τιμὴ καθέξων, ἢ τὸ Ἄργος πρὸς ἐρανὸν βιβῶν ὑψώσω τῇ εὐκλείᾳ, ὡς πορθησόμενον. Ἀργείων τὰς Θήβας, καὶ κατὰ τῦτο ἐνδόξων γενησομένων. Ὑπερβατὸν ἂν ἐςι, καὶ τὸ ἕξῃς, ἕτως, ὡς αὐτίκα ἢ πρὸς ἐρανὸν τὸ Ἄργος οἴσων, ἤγεν, ἐπὶ μέγα αὔξημα· ἢ τὸ Καδμείων πέδον τιμῇ καθέξων· ἄλλως γὰρ ἀκέειν τραχύτερον.

395. Ταῦτ' ἐκ ἀριθμὸς] ἐ μέχρι λόγων προκόπλοιλα.

399. Ὤραν τιν' ἕξειν] φρονίδα.

401. Ποίοισι τούτοις] οἱ ὑπομνηματισάμενοι γράφεσιν ἕτω, χρησμὸς τοιῦτος γέγονεν, ὁπόλέρᾳ ἂν ὁ Οἰδίπυς πρόσθηται, τῦτον κρατήσειν. Καὶ χωρὶς κατὰ κοινὸν τοῖς Θηβαίοις, ὅτι ἔζαι αὐτοῖς μεγάλων κακῶν αἴτιος, ἐὰν μὴ θάψωσιν αὐτὸν ἐπὶ τῆς χώρας· ἐκλόμην δὲ αὐτὰς μαρτυρίᾳ χρήσασθαι ἢ συγγραφέως τινὸς ἢ ποιητῦ.

403. Εὐνοίας χάριν] ἵνα εὐνοῆς αὐτοῖς· ἐν τοῖς ἀναγκαιοτέροις τῶν ἀντιγράφων γράφεται, εὐσοίας χάριν. Ὃ καὶ οἱ ὑπομνηματισάμενοι ἀξιῦσιν. Εὔσοιαν δέ φασι τὴν εὐσθένειαν. Καθάπερ καὶ ἐν Ἀμφιρύωνι, " Ἐπεὶ δὲ " βλαχοῖ, τῶν τριῶν μίαν λαβεῖν Εὔσοιαν ἀρ- " κεῖ."

408. Γέροντα

ΟΙΔ. Οτ' ἐκέτ' εἰμὶ, τηνικαῦτ' ἄρ' εἶμ' ἀνήρ;
ΙΣΜ. Νῦν γάρ θεοί σ' ὀρθοῦσι, πρόσθε δ' ὤλλυσαν.
ΟΙΔ. Γέροντα δ' ὀρθόν, φλαῦρον, ὃς νέος πέσοι *.
ΙΣΜ. Καὶ μὴν Κρέοντά γ' ἴσθί σοι τύτων χάριν
Ἥξοντα βαιᾶ, κἀχὶ μυρίᾳ χρόνῳ. 410
ΟΙΔ. Ὅπως τί δράσῃ, θύγατερ; ἑρμήνευέ μοι.
ΙΣΜ. Ὡς σ' ἄγχι γῆς ςήσωσι Καδμείας, ὅπως
Κραλῶσι μέν σε, γῆς δὲ μὴ βλαίνης ὅρων.
ΟΙΔ. Ἡ δ' ὠφέλησις τίς θύραισι κειμένη; 415
ΙΣΜ. Κείνοις ὁ τύμβος δυσυχῶν ὁ σὸς βαρύς.
ΟΙΔ. Κἄνευ θεᾶ, τίς τῦτό γ' ἂν γνώμῃ μάθοι;
ΙΣΜ. Τύτου χάριν τοίνυν σὲ πρόσθέσθαι πέλας
Χώρας θέλουσι· μηδ' ἵν' ἂν σαυτᾶ κραλῇς.
ΟΙΔ. Ἦ καὶ καλασκιῶσι Θηβαίᾳ κόνει; 420
ΙΣΜ. Ἀλλ' ἐκ ἐᾷ τὄμφυλον αἷμά σ', ὦ πάτερ.
ΟΙΔ. Οὐκ ἄρ' ἐμὲ γε μὴ κραλήσωσίν ποτε.
ΙΣΜ. Ἔσαι πότ' ἄρα τῦτο Καδμείοις βάρος.
ΟΙΔ. Ποίας φανείσης, ὦ τέκνον, συναλλαγῆς;
ΙΣΜ. Τῆς σῆς ὑπ' ὀργῆς, σοῖς ὅταν ςῶσιν τάφοις. 425
ΟΙΔ. Ἃ δ' ἐννέπεις, κλύσα τᾶ λέγεις, τέκνον;

* Ald. πέσῃ.

408. Γέροντα δ' ὀρθόν, φλαῦρον] τὸν ἄπαξ ἐνεότητι πεσόντα, ἐν γήρᾳ ὀρθοῦσθαι ἀδύνατον, ἢ φλαῦρον, χαλεπόν.

412. Ὡς σ' ἄγχι γῆς ςήσωσι] ὅπως σχῶσί σε, ἢ καλοικίσωσι.

414. Θύραισι κειμένη] ἀντὶ τοῦ, οἰκοῦνλος.

415. Κείνοις ὁ τύμβος] ὁ τύμβος δυσυχῶν ὁ σὸς, κείνοις βαρύς, ἀντὶ τοῦ, ἐπὶ ξένης σε Δαπίομένος, δυσυχήσουσιν ἐκεῖνοι.

416. Κἄνευ θεᾶ] οἶον, πῶς ἂν τις ταῦτα δύναιτο μαθεῖν ἄνθρωπος ὤν, θείας δυνάμεως χωρισθείς; τῦτο δὲ λέγει ἐπεὶ ἐκ ἐπίσταται ὅτι πυθόχρηςόν ἐςι τὸ λεγόμενον.

417. Προσθέσθαι πέλας] ἀντὶ τοῦ, καλοικίσαι.

418. Χώρας] τῆς Θήβης.

Ib. Μηδ' ἵν' ἂν σαυτᾶ κραλῇς] μηδὲ ἐᾶν σε ὅπου ἂν σαυτῆ ἐξυσιάζῃς. Λείπει δὲ τὸ ἐᾶν ῥῆμα, ἢ ἀπὸ κοινοῦ τὸ προσθέσθαι νόει.

419. Ἦ καὶ καλασκιῶσι] οἷον, ἐν Θήβαις με χώσουσι.

420. Τὄμφυλον αἷμα] ὁ πατρῷος φόνος.

421. Μὴ κραλήσωσιν] ἤγεν, Δάπλειν με ἐν Θήβῃ· ὁ δὲ μὴ, πλεονάζει· ἔςι γὰρ τὸ μὴ καὶ τὸ ἐκ παραλλήλου.

422. Ἔσαι πότ' ἄρα] διὰ τὸ μὴ καλασχεῖν σε.

423. Ποίας φανείσης] ποίας αἰτίας γενομένης βλαβησούλης; ἀντὶ τοῦ, ὑπὸ θεῶν; ὑπὸ ἐριννύων; ἢ ὑπὸ τίνος;

426. Ἀνδρῶν

ΙΣΜ. Ἀνδρῶν θεωρῶν Δελφικῆς ἀφ' ἑςίας.
ΟΙΔ. Καὶ ταῦτ' ἐφ' ἡμῖν Φοῖβος εἰρηκὼς κυρεῖ;
ΙΣΜ. Ὥς φασιν οἱ μολόντες εἰς Θήβης πέδον.
ΟΙΔ. Παίδων τίς ἦν ἤκουσε τῶν ἐμῶν τάδε;
ΙΣΜ. Ἄμφω γ' * ὁμοίως, κἀξεπίςασθον καλῶς.
ΟΙΔ. Κᾆθ' οἱ κάκιςοι τῶνδ' ἀκούσαντες, πάρος
Τοῦ 'μοῦ πόθου πρῶθεντο τὴν τυραννίδα;
ΙΣΜ. Ἀλγῶ κλύουσα ταῦτ' ἐγώ· φέρω δ' ὅμως.
ΟΙΔ. Ἀλλ' οἱ θεοὶ σφι μὴτε τὴν πεπρωμένην
Ἔριν κατασβέσειαν, ἐν δ' ἐμοὶ τέλος
Αὐτοῖν γενοίτο τῆσδε τῆς μάχης πέρι,
Ἧς νῦν ἔχονται, κἀπαναιροῦνται δόρυ·
Ὡς οὔτ' ἂν ὃς νῦν σκῆπτρα καὶ θρόνους ἔχει,
Μείνειεν, οὔτ' ἂν οὐξεληλυθὼς πόλιν
Ἔλθοι πότ' αὖθις, οἵγε τὸν φύσαντ' ἐμὲ
Οὕτως ἀτίμως πατρίδος ἐξωθούμενον
Οὐκ ἔσχον, οὐδ' ἤμυναν· ἀλλ' ἀνάςατος
Αὐτοῖν ἐπέμφθην, κἀξεκηρύχθην φυγάς.
Εἴποις ἂν ὡς θέλοντι τοῦτ' ἐμοὶ τότε
Πόλις τὸ δῶρον εἰκότως κατήνυσεν.
Οὐ δῆτ'· ἐπεί τοι τὴν μὲν αὐτίχ' ἡμέραν
Ὁπηνίκ' ἔζει † θυμὸς, ἥδιςον δέ μοι
Τὸ κατθανεῖν ἦν, καὶ τὸ λευσθῆναι πέτροις,

* Aldus, Ἄμφω θ'. † Aldus, ἔζη.

426. Ἀνδρῶν θεωρῶν] παρὰ τῶν θεωρῶν κλύουσα.
427. Ἐφ' ἡμῖν] ἀντὶ τοῦ, δι' ἐμέ.
428. Ὥς φασιν] οἱ θεωροί.
435. Ἐν δ' ἐμοὶ τέλος] ἐν μηδενὶ ἑτέρω τὸ τέλος αὐτοῖς ἀποβαίη τῆς μάχης ἢ ἐν ἐμοί. Οἷον, μηδεὶς ἄλλος κύριος γένοιτο ὥςε διαλῦσαι τὴν ἔριν αὐτῶν, ἢ ἐγώ.
437. Κἀπαναιροῦνται δόρυ] κατ' ἀλλήλων ἐπαίρουσιν.
438. Ὡς οὔτ' ἂν ὃς νῦν σκῆπτρα] εἰ γὰρ ἐν τῇ ἐμῇ ἐξουσίᾳ γένοιτο, οὐδὲ εἷς αὐτῶν ζήσεται.
433. Αὐτοῖν ἐπέμφθην] τὸ ἐφ' ἑαυτοῖς οὐκ ἐπήρκησαν· ἐνῆν γὰρ αὐτοῖς τὸ ἐφ' ἑαυτοῖς τοῦτο πρᾶξαι, ὡς αὐτάρκως κεκολασμένου τῇ πηρώσει.
444. Θέλοντι τοῦτ' ἐμοὶ] τὸ ἐξορισθῆναι.

Οὐδεὶς ἔρωτος τῶδ' ἐφαίνετ' ὠφελῶν·
Χρόνῳ δ' ὅτ' ἤδη πᾶς ὁ μόχθος ἦν πέπων.
Κἀμάνθανον τὸν θυμὸν ἐκδραμοντά μοι
Μείζω κολαστὴν τῶν πρὶν ἡμαρτημένων,
Τοτηνίκ' ἤδη τοῦτο μὲν πολις βίᾳ
Ἤλαυνέ μ' ἐκ γῆς χρόνιον· οἱ δ' ἐπωφελεῖν
Οἱ τοῦ πατρὸς τῷ πατρὶ δυνάμενοι, τὸ δρᾷν
Οὐκ ἠθέλησαν, ἀλλ' ἔπους μικροῦ χάριν
Φυγάς σφιν ἔξω πτωχὸς ἠλώμην ἐγώ.
Κἀκ ταῖνδε δ' οὔσαιν παρθένοιν, ὅσον φύσις
Δίδωσιν αὐτῶν, καὶ τροφὰς ἔχω βίου,
Καὶ γῆς ἄδειαν, καὶ γένους ἐπάρκεσιν·
Τὼ δ' ἀντὶ τοῦ φύσαντος εἰλέσθην θρόνους
Καὶ σκῆπτρα κραίνειν, καὶ τυραννεύειν χθονός.
Ἀλλ' οὔτι μὴ λάχωσι τοῦδε συμμάχου,
Οὔτέ σφιν ἀρχῆς τῆσδε Καδμείας ποτὲ
Ὄνησις ἥξει· τοῦτ' ἐγ' ᾦδα τῆσδέ γε
Μαντεῖ' ἀκούων, συννοῶν τά τ' ἐξ ἐμοῦ
Παλαίφαθ', ἅ μοι Φοῖβος ἤνυσέν ποτε.
Πρὸς ταῦτα, καὶ Κρέοντα πεμπόντων ἐμοῦ
Μαστῆρα, κεἴ τις ἄλλος ἐν πόλει σθένει.
Ἐὰν γὰρ ὑμεῖς, ὦ ξένοι, θέλητέ μου
Σὺν ταῖσι ταῖς σεμναῖσι δημούχοις θεαῖς

449. Οὐδεὶς ἔρωτος τοῦδε] τούτου τοῦ ἔρωτος οὐδείς με ἐποίει ἀπολαῦσαι, τοῦ ἀποθανεῖν δέ φησιν.

450. Ὁ μόχθος ἦν πέπων] ὅτε θυμὸς ἦν πέπειρος.

451. Κἀμάνθανον τὸν θυμὸν] ὅτε ἐκεῖνοι ἔγνωσαν πέψαντά με τὸν θυμόν.

461. Τὼ δ' ἀντὶ τοῦ φύσαντος] ἐκεῖνοι οἱ ἄρρενες δηλονότι.

463. Λάχωσι τοῦδε] ἀντὶ τοῦ, ἐμοῦ.

465. Ἐγ' ᾦδα] ἐγὼ οἶδα.

470. Ἐὰν γὰρ ὑμεῖς] εἰ ὑμεῖς συμβάλλεσθέ μοι, ἑαυτοῖς συμβάλλεσθε· χρησμὸς γὰρ ἦν ὡς ἦν οἱ Ἀθηναῖοι τοῦ τάφου αὐτοῦ ἐγκρατεῖς γένωνται, ἔσοιτο αὐτοῖς ποτὲ σωτὴρ πολιορκουμένοις ὑπὸ Θηβαίων εἴτε κατὰ τὸν Πελοποννησιακὸν πόλεμον, εἴτε καθ' ἕτερον. Ταῦτα δὲ εἰκὸς ποιητικώτερον ὑπὸ τοῦ Σοφοκλέους πεπλάσθαι, ἐπὶ θεραπείᾳ τῶν Ἀθηναίων· πολλαχοῦ γὰρ οἱ ποιηταὶ χαρίζονται ταῖς πατρίσιν ἔνια.

475. Ἐπεὶ

Ἀλκὴν ποιεῖσθαι, τῇδε μὲν πόλει * μέγαν
Σωτῆρ' ἀρεῖσθε, τοῖς δ' ἐμοῖς ἐχθροῖς πόνους.
ΧΟΡ. Ἐπάξιος μὲν Οἰδίπους κατοικτίσαι
Αὐτός τε, παῖδές θ' αἵδ' ἐπεὶ δὲ τῆσδε γῆς
Σωτῆρα σαυτὸν τῷδ' ἐπεμβάλλεις λόγῳ,
Παραινέσαι σοι βούλομαι τὰ ξύμφορα.
ΟΙΔ. Ὦ φίλταθ', ὡς νυν † πᾶν τελοῦντι, προξένει.
ΧΟΡ. Θοῦ νυν ‡ καθαρμον τῶνδε δαιμόνων, ἐφ' ἃς
Τὸ πρῶτον ἵκου καὶ κατέστειψας πέδον.
ΟΙΔ. Τρόποισι ποίοις; ὦ ξένοι, διδάσκετε.
ΧΟΡ. Πρῶτον μὲν, ἱερὰς § ἐξ ἀειῤῥύτου χοὰς
Κρήνης ἐνέγκου δι' ὁσιων χειρῶν θίγων.
ΟΙΔ. Ὅταν δὲ τοῦτο χεῦμ' ἀκήρατον λάβω;
ΧΟΡ. Κρατῆρές εἰσιν, ἀνδρὸς εὔχειρος τέχνη,
Ὧν κρᾶτ' ἔρεψον καὶ λαβὰς ἀμφιστόμους.
ΟΙΔ. Θαλλοῖσιν, ἢ κρόκαισιν; ἢ ποίῳ τρόπῳ;
ΧΟΡ. Οἰὸς νεαρᾶς οἰοπόκῳ || μαλλῷ λαβών §§.

* Aldus, τῇδε τῇ πόλει. † Turn. ὥς νυν. ‡ Turn. νυν.
§ Turn. in marg. ἱερᾶς. || Turn. in marg. νεοτόκῳ. §§ Turn. in marg. βαλών.

475. Ἐπεὶ δὲ τῆσδε γῆς] ὅτι δὲ σώζειν ὑπισχνῆ τὴν πόλιν. ὑποθέσθαι σοὶ βούλομαι τὰ χρήσιμα. Ἀττικῶς δὲ πάνυ τῇ συντάξει· καὶ πιθανὴ λοιπὸν ἡ χάρις τῶν ἐγχωρίων ἀνδρῶν. Παραινοῦσι γὰρ αὐτὸν καθαρσίων τυχεῖν, ἵνα ἧττόν πως ἐναγὴς φαίνοιτο.

478. Προξένει] λέγε μοι καὶ πάρεχε τὰ χρήσιμα· οὐ γὰρ ὀκνήσαιμι τελεῖν· ἢ, πρόξενος ἐμοὶ καὶ φίλος γενοῦ, ὑποσχόμενος πᾶν ὃ λέγω ποιήσειν.

480. Κατέστειψας] κατεβάτευσας ἀπὸ τοῦ στείβω. Γράφεται καὶ κατάστεψον· ἤγουν, μεθ' ἱκετηρίων ἀφηγοῦ. Ἄλλως· κατάστεψον. καθικέτευσον, μετὰ ἱκετηρίων ἀφίκου· ἐὰν δὲ γράφηται κατέστειψας, οἷον, κατεβάτευσας· ὃ καὶ πιθανώτερον. Δι' αὐτὸ γὰρ τοῦτο κελεύουσιν αὐτῷ καθαίρεσθαι ὅτι εἰς ἄβατον ἐπέβη τόπον τοῦ ἱεροῦ τῶν Σεμνῶν.

482. Πρῶτον μὲν ἱερας ἐξ ἀειῤῥύτου] ἐξ ἀεννάου πηγῆς ὕδωρ ἄρυσαι, καὶ οὕτω χοὰς ταῖς θεαῖς ποίησον ἀπὸ τῶν κρατήρων, πλήσας αὐτοὺς, ἀπὸ τοῦ ἀντληθέντος ὕδατος.

484, Ὅταν δὲ τοῦτο χεῦμ' ἀκήρατον λάβω] ἀντὶ τοῦ, καὶ ὅταν ἀρύσωμαι, τί πράξω;

485. Ἀνδρὸς εὔχειρος] εὐπαλάμου, κατὰ τὴν μετάληψιν· ἐπὶ τὸν Δαίδαλον ἡ ἀναφορα, περὶ οὗ Φερεκύδης φησὶν οὕτω· "Μητίνῳ δὲ τῷ Ἐρεχθέως καὶ Ἰφινόη γίγνεται Δαίδαλος, ἀφ' οὗ ὁ δῆμος καλεῖται Δαιδαλίδαι Ἀθήνησι."

486. Καὶ λαβὰς ἀμφιστόμους] Τὰ ὦτα διὰ τὴν προτομὴν, ὧν ἐστι λάβεσθαι. Ἀμφιστόμους δὲ τὰς ἑκατέρωθεν ἐστομωμένας, ἢ διὰ τὸ ἑκατέρωθεν τοῦ στόματος ταύτας εἶναι· ἢ τὰς πρόσωπά τινα θηρίων ἑκατέρωθεν ἐχούσας· ἔρεψον δὲ τῶν κρατήρων τὴν κεφαλήν.

488. Οἰοπόκῳ μαλλῷ λαβών] οἷον, στολισ-

ΟΙΔ. Εἶεν· τὸ δ' ἔνθεν ποῖ τελευτῆσαί με χρή;
ΧΟΡ. Χοὰς χέασθαι ςάντα πρὸς πρώτην ἕω.
ΟΙΔ. Ἦ τοῖσδε κρωσσοῖς οἷς λέγεις χέω τόδε;
ΧΟΡ. Τρισσάς γε πηγὰς, τὸν τελευταῖον δ' ὅλον.
ΟΙΔ. Τῦ τόνδε πλήσας θῶ; δίδασκε καὶ τόδε.
ΧΟΡ. Ὕδατος, μελίσσης· μηδὲ προσφέρειν μέθυ.
ΟΙΔ. Ὅταν δὲ τύτων γῆ μελάμφυλλος τύχῃ;
ΧΟΡ. Τρὶς * ἐννέ' αὐτῇ κλῶνας ἐξ ἀμφοῖν χεροῖν
Τιθεὶς ἐλαίας, τάσδ' ἐπεύχεσθαι λιτάς.
ΟΙΔ. Τύτων ἀκῦσαι βύλομαι· μέγιςα γάρ.
ΧΟΡ. Ὥς σφας καλῦμεν Εὐμενίδας, ἐξ εὐμενῶν
Στέρνων δέχεσθαι τὸν ἱκέτην σωτήριον,
Αἰτῦ σύ γ' αὐτὸς, κεἴ τις ἄλλος ἀντὶ σῦ,
Ἄπυςα φωνῶν, μηδὲ μηκύνων βοήν.

* Ald. Turn, Τρεῖς.

μῳ καὶ κροκισμῷ λαβὼν ςέψον· ἢ ἐρίῳ ςέψον· ὅτι δὲ ςέμματα ἔλεγον τὰ ἔρια· καὶ παρ' Εὐριπίδῃ,

"Ὧι ςέμματα ξήνασ' ἐπέκλωσε θεά."

490. Πρὸς πρώτην ἕω] πρὸς τὴν ἀνατολὴν ἢ περὶ τὸν ὄρθρον· καὶ γὰρ δὴ καὶ τὰς ἐκθύσεις πρὸς ἥλιον ἐποιῦντο· καθάπερ καὶ ἐν Ἠλεκτρᾳ φησί·

"Τοιαῦτά τυ παρόντος, ἡνίχ' ἡλίῳ
"Δείκνυσι τῦναρ, ἔκλυον ἐξηγουμένυ."

Καὶ οἱ τὺς καθαρμὺς δὲ ἐπιτελῦντες πρὸς τὴν ἕω ἵςανται. Κρατίνος ἐν Χείρωνι, "Ἄγε δὴ "πρὸς ἕω πρῶτον ἁπάντων ἴςω, καὶ λάμβανε "χερσὶ σχῖνον μεγάλην."

491. Χέω τόδε] τὸ ὕδωρ ἐπὶ τῶν κρατήρων χέω.

492. Τρισσάς γε πηγὰς] ἀντὶ τῦ, τὸ ὕδωρ ἀπὸ τριῶν πηγῶν.

Ib. Τὸν τελευταῖον] τὸν ὕςερον κρατῆρα.

494. Ὕδατος, μελίσσης] ὕδατος καὶ μέλιτος· λείπει δὲ ὁ καί· ἀπὸ γὰρ τῦ ποιῦντος τὸ ποιύμενον. Καὶ ἐν Ἐραςαῖς, "Γλώσσης μελίσσης "τῷ κατερρυηκότι." βύλεται δὲ λέγειν τὸ μελίκρατον. Ἄλλως. Ὕδατος, μελίσσης, ἤγυν, μέλιτος· ἀπὸ τῦ ποιῦντος τὸ ποιύμενον, ὡς ἐν Ἐραςαῖς, Γλώσσης, καὶ τὰ ἑξῆς.

Ib. Μηδὲ προσφέρειν μέθυ] ἄοινοι γὰρ αἱ θεαί.

495. Ὅταν δὲ τύτων γῆ] ὅταν δὲ τὰς χοὰς χέωμεν ἐπὶ γῆς, τί χρή με ὕςερον δρᾶσαι;

496. Τρὶς ἐννέ' αὐτῇ] τρὶς ἐννέα τιθεὶς κλῶνας ἐλαίας, ταύτας ποιῦ τὰς εὐχάς.

498. Τύτων ἀκῦσαι] ἡδέως ἀκύσαιμι τῶν εὐχῶν· μέγιςον γὰρ ταύτας μαθεῖν.

499. Ὥς σφας καλῦμεν] ὡς καλῦμεν αὐτὰς, Εὐμενίδας δηλονότι, ὕτως αὐτὰς καλῶν κἀξευμενῶν, καὶ ἵλεως ποιύμενος, ἱκέτευε αὐτὰς δέχεσθαί σε τὸν ἱκέτην ἐπὶ σωτηρίᾳ, ἐξ εὐμενῶν ςέρνων· οἷον, μὴ ἐξ ἐπιπολῆς, ἀλλ' ἐνδιαθέτως.

501. Αἰτῦ σύ γ' αὐτὸς] οἷον, ἢ σὺ ταῦτα ποίει, ἢ ἄλλος τις ὑπὲρ σῦ ταῦτα ποιείτω.

502. Ἄπυςα φωνῶν] ἀνήκυςα· ἀντὶ τῦ, ἠρέμα καὶ συντόμως. Τῦτο ἀπὸ τῆς δρωμένης θυσίας ταῖς Εὐμενίσι φησί· μετὰ γὰρ ἡσυχίας τὰ ἱερὰ δρῶσι· καὶ διὰ τῦτο οἱ ἀπὸ Ἡσύχυ καταγόμενοι θύουσιν αὐταῖς, καθάπερ Πολέμων

Ἔπειτ᾽ ἀφέρπειν ἄστροφος· καὶ ταῦτά σοι
Δράσαντι θαῤῥῶν ἂν παρασαίμην ἐγώ·
Ἄλλως δὲ δειμαίνοιμ᾽ ἄν, ὦ ξέν᾽, ἀμφὶ σοί.
ΟΙΔ. Ὦ παῖδε, κλύεθον τῶνδε προσχώρων ξένων;
ΙΣΜ. Ἠκέσαμέν τε, χὤ, τι δεῖ πρόσσσε δρᾶν.
ΟΙΔ. Ἐμοὶ μὲν ἐχ ὁδωθά· λείπομαι γὰρ ἐν
Τῷ μὴ δύνασθαι μήθ᾽ ὁρᾶν, δυοῖν κακοῖν.
Σφῶν * δ᾽ ἡτέρα μολοῦσα παραξάτω τάδε.
Ἀρκεῖν γὰρ οἶμαι κἀντὶ μυρίων μίαν
Ψυχὴν τάδ᾽ ἐκθείνεσαν, ἣν εὖνις παρῇ.
Ἀλλ᾽ ἐν τάχει τι πράσσεθον· μόνον δέ με
Μὴ λείπετ᾽· ἐ γὰρ ἂν σθένοι τέμὸν δέμας
Ἔρημον ἕρπειν, ἔδ᾽ ὑφηγηθῇ γ᾽ ἄνευ †.
ΙΣΜ. Ἀλλ᾽ εἶμ᾽ ἐγὼ τελοῦσα· τὸν τόπον δ᾽ ἵνα
Χρῇ ἴσαι μ᾽ ἐφευρεῖν, τοῦτο βέλομαι μαθεῖν.
ΧΟΡ. Τῦ κεῖθεν ἄλσες, ὦ ξένη, τοῦδ᾽· ἦν δέ τε
Σπάνιν τίν᾽ ἴσχῃς, ἐς᾽ ἔποικος, ὃς φράσει.

* Ald. Σφῶιν. † Turn. δ᾽ ἄνευ.

μων ἐν τοῖς περὶ Ἐραλοσθένην φησὶν, ὅτω, Τὸ δὲ τῶν Εὐπαλριδῶν γένος ἐ μελέχει τῆς Θυσίας ταύτης· εἶτα ἑξῆς, τῆς δὲ πομπῆς ταύτης Ἡσυχίδαι. Ὁ δὴ γένος ἐςὶ παρὰ τὰς σεμνὰς Θεὰς, καὶ τὴν ἡγεμονίαν ἔχει. Καὶ περοθύονται περὶ τῆς Θυσίας ταύτης κριὸν Ἡσύχῳ ἱερὸν ἥρωϊ, τοῦτον ὅτω καλοῦνες διὰ τὴν εὐφημίαν· ἔ τὸ ἱερόν ἐςι παρὰ τὸ Κυδώνιον, ἐκτὸς τῶν ἐννέα πυλῶν. Καὶ Ἀπολλόδωρος δὲ ἐν τῇ περὶ Θεῶν ἐπλακαιδεκάτη περὶ τῦ τῶν Ἡσυχιδῶν γένους καὶ τῆς ἱερᾶς φησί· καὶ Καλλίμαχος·

"Νηφάλιαι καὶ τῆσιν ἀεὶ μελιηδέας ὄμπας
"Δίτειραι καίειν ἔλλαχον Ἡσυχίδαι."

504. Παρασαίμην ἐγώ] ὡς καθαρθένλι.

505. Δειμαίνοιμ᾽ ἄν] μὴ καθαρθένλι.

508. Οὐχ ὁδωτά] ἔκ ἐν ὁδῷ, ἐδὲ ἀνυσά, οἷον, ἐ βαδιςέα μοι, ἐδὲ πρακτέον ταῦτα· λείπομαι γὰρ τῆς πράξεως ὑπὸ δύο κακῶν, τῦ τε μὴ δύνασθαι καὶ τῦ μὴ ὁρᾶν.

510. Σφῶῖν δ᾽ ἡτέρα] εἰρήκεσαν γὰρ ὅτε ἄλλως ἐχρῆν ὑπὲρ αὐτῦ τὸν καθαρμὸν ποιήσασθαι.

512. Ψυχὴν τάδ᾽ ἐκθείνεσαν] τέλαμένως καὶ συνόλως δρῶσαν καὶ διακονῦσαν.

515. Οὐδ᾽ ὑφηγητῦ γ᾽ ἄνευ] ἄνευ χ[illegible]γῦ· ἀπὸ κοινῦ δὲ τὸ ἕρπειν· ἐκ ἰσχύω βαδίζειν.

517. Χρῇ ἴσαι μ᾽ ἐφευρεῖν] χρεία ἔσαι· κατὰ συναλοιφὴν χρῆ ἴσαι, ἀντὶ τῦ, χρεία ἔσαι. Διπλᾶται δὲ ταὐτὸν τῷ δήσει· καὶ ἐν Τριπολέμῳ·

"Χρῆ ἴσαι δέ σ᾽ ἐνθένδε αὖθις."

Ib. Τοῦτο βέλομαι μαθεῖν] ἔνθα τὸ ὕδωρ ἐςὶν, ἡδέως ἂν εἰδείην.

518. Τῦ κεῖθεν ἄλσες] τὸ ἐκεῖθεν τῦ ἄλσες τέτε, ἐὰν δέ τι τέτων ἀγνοῆς, παρά τινος τῶν ἐπιχωρίων τέτο μαθήσῃ.

518, 519. Ἦν δέ τε Σπάνιν τίν᾽ ἴσχῃς] ἀντὶ

ΙΣΜ. Χωροῖμ' ἂν εἰς τόδ', Ἀντιγόνη· σὺ δ' ἐνθάδε
Φύλασσε πᾶλέρα τόνδε. "Τοῖς τεκοῦσι γὰρ
"Οὐδ' εἰ πονεῖ τις, δεῖ πόνε μνήμην ἔχειν."

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

ΧΟΡ. Δεινὸν μὲν τὸ πάλαι κείμενον ἤδη κακὸν,
Ὦ ξεῖν', ἐπεγείρειν,
Ὅμως δ' ἔραμαι πυθέσθαι.

ΟΙΔ. Τί τοῦτο;

ΧΟΡ. Τᾶς δειλαίας ἀπόρου φανείσας
Ἀλιηδόνος, ἃ ξυνέσας.

ΟΙΔ. Μὴ πρὸς ξενίας ἀνοίξῃς
Τᾶς σᾶς· πέπονθ' ἔργ' ἀναιδῆ.

ΧΟΡ. Τό τοι πολύ καὶ μηδαμᾶ λῆγον
Χρήζω, ξέν', ὀρθὸν ἄκουσμ' ἀκοῦσαι.

ΟΙΔ. Ἰώ μοι.

ΧΟΡ. Στέρξον, ἱκεύω.

ΟΙΔ. Φεῦ, φεῦ.

ΧΟΡ. Πείθου· κἀγὼ γὰρ ὅσον σὺ προσχρήζεις.

ΟΙΔ. Ἤνεγκον κακότητ' *, ὦ ξένοι, ἤνεγκον, ἄκων μέν, θεὸς ἴσω.

* Ald. κακότατ'.

ἀντὶ τοῦ, εἴ τι τῆς εἰδήσεως ἀγνοῦς περὶ τὸν τόπον.

521. "Τοῖς τεκοῦσι γὰρ"] ὅταν τὶς ὑπὲρ γονέων πονῇ, μὴ ἡγείσθω πόνον εἶναι τὸν κάματον.

523. Δεινὸν μὲν τὸ πάλαι] τῆς Ἰσμήνης ἀποστάσης, ὁ Χορὸς ἐρωτᾷ τὸν Οἰδίποδα, καὶ φησι, τὸ ἐπεγείρειν μὲν καὶ ἀνακινεῖν τὰ παλαι συμβάντα δυσχερές, ὅμως δὲ μαθεῖν ἐπιθυμῶ τὴν αἰτίαν τῆς πηρώσεως. Καὶ ἐπὶ παθητικά. Καλλίμαχος·

"Τί δάκρυον εὖδον ἐγείρεις;"

526. Τί τοῦτο] οἷον, τί βάλει πυθέσθαι;

527. Τᾶς δειλαίας ἀπόρου] περὶ τῆς ἐκείμένης σοι Ἀλιηδόνος ἡδέως ἂν πυθοίμην· ἔθωθεν δὲ ἡ Περι.

529. Μὴ πρὸς ξενίας] μὴν πρὸς τῆς σῆς ξενίας ἀναπλύξης μου τὰ ἀναιδῆ ἔργα· ἢ, ἐ μὴ τὰς προξενίας σε ἐπὶ ἔργα ἀναιδῆ καλαγάγης. Οἷον, εἰ μὴ κατὰ τὴν προξενίαν τὴν σὴν ἔργων γένοιο φαύλων ἀκροατὴς, ἀναπλύξαι καὶ φανερῶσαι τὰ κατ' ἐμὲ βουληθείς.

531. Τό τοι πολύ] τὸ ἀδιάλειπτον κακὸν τὸ κατὰ τὴν πήρωσιν χρήζω ἀκοῦσαι.

534. Στέρξον, ἱκεύω] στέρξον ὃ λέγω, καὶ μὴ ἀποστραφῇς τὴν αἰτίαν εἰπεῖν· ὅ ἐστι, πρόσδεξαι ἃ λέγω.

536. Πείθου· κἀγὼ γὰρ] πείσομαι, δηλονότι εἰς ὅσον βάλει.

540. Ἀλλ'

Τέτων δ' αὐθαίρετον ἐδέν.
ΧΟΡ. Ἀλλ' ἐς τί;
ΟΙΔ. Κακᾷ μὲν εὐνᾷ πόλις ἐδὲν ἴδρις
Γάμων ἐνέδησεν ἄτᾳ.
ΧΟΡ. Ἦ μηλρόθεν, ὡς ἀκέω,
Δυσώνυμα λέκλρ' ἐπλήσω;
ΟΙΔ. Ὤμοι, θάναλος μὲν τάδ' ἀκήεικ,
Ὦ ξεῖν'· αὗται δὲ δύ' ἐξ ἐμέ.
ΧΟΡ. Πῶς φῄς;
ΟΙΔ. Παῖδες, δύο δ' ἄται.
ΧΟΡ. Ὦ Ζεῦ.
ΟΙΔ. Μαλρὸς κοινᾶς ἀπέβλαςον ὠδῖνος.
ΧΟΡ. Αὐτὰρ εἰσὶν * ἀπόγονοί τε καὶ
Κοιναί γε πάλρὸς ἀδελφαί.
ΟΙΔ. Ἰώ.
ΧΟΡ. Ἰὼ δῆτα.
ΟΙΔ. Μυρίων ἐπιςροφαί κακῶν.
ΧΟΡ. Ἔπαθες;
ΟΙΔ. Ἔπαθον ἄλας' ἔχειν.
ΧΟΡ. Ἐρεξας;
ΟΙΔ. Οὐκ ἔρεξα.
ΧΟΡ. Τί γάρ;
ΟΙΔ. Ἐδεξάμην δῶρον,
Ὃ μήποτ' ἐγὼ ταλακάρδιος

* Ald. Σαί τ' ἄρ' εἶσ'.

540. Ἀλλ' ἐς τί] συγχωρήσει σοι τὰ πραγμαῖα;
541. Οὐδὲν ἴδρις] οἷον, ἐδὲν εἰδυῖα, ἡ πόλις ἐνδήσε με τῇ τῦ γάμυ ἄτῃ.
555. Ἐπιςροφαὶ κακῶν] συναθροίσεις, πλῆθος.
561. Ἐδεξάμην δῶρον] τὸν γάμον τῆς μητρὸς (φησὶν ἀντὶ τῆς λύσεως τῦ αἰνίγματος δῶρον ἐδεξάμην ὃ μήποτε ὄφελον λαβεῖν· ἀντὶ δὲ τῦ εἰπεῖν, μήποτε ὄφελον ἐγὼ παρὰ τῆς πόλεως ἐξαίρετον λαβεῖν, ἵνα μὴ εἰρηκεν, ἐπωφέλησα πόλεως ἐξελέσθαι.

574. Καὶ

Ἐπωφέλησα πόλεως ἐξελέσθαι.
ΧΟΡ. Δύσανε, τί γάρ; ἔθε φόνου;
ΟΙΔ. Τί τοῦτο; τί δ' ἐθέλεις μαθεῖν;
ΧΟΡ. Πάλρός;
ΟΙΔ. Παπαῖ· δευτέραν ἔπαισας ἐπὶ νόσῳ νόσον.
ΧΟΡ. Ἔκανες;
ΟΙΔ. Ἔκανον· ἔχει δέ μοι
ΧΟΡ. Τί τοῦτο;
ΟΙΔ. Πρὸς δίκας τί.
ΧΟΡ. Τί γάρ;
ΟΙΔ. Ἐγὼ φράσω.
Καὶ γὰρ ἄλλως ἐφόνευσα κἀπώλεσα *,
Νόμῳ δὲ καθαρὸς, ἄϊδρις εἰς τόδ' ἦλθον.

ΙΑΜΒΟΙ.

ΧΟΡ. Καὶ μὴν ἄναξ ὅδ' ἡμῖν Αἰγέως γόνος
Θησεὺς κατ' ὀμφὴν σὴν ἀποσταλεὶς † πάρα.
ΘΗΣ. Πολλῶν ἀκύων ἔν τε τῷ πάρος χρόνῳ
Τὰς αἱμαληρὰς ὀμάτων διαφθορὰς,
Ἔγνωκά σ', ὦ παῖ Λαΐου, τανῦν θ' ὁδοῖς
Ἐν ταῖσδ' ἀκύων, μᾶλλον ἐξεπίσαμαι.
Σκευή τε γάρ σε καὶ τὸ δύσηνον κάρα
Δηλοῖτον ἡμῖν ὄνθ' ὃς εἶ· κωί σ' οἰκτίσας
Θήλω σ' ἐρέσθαι ‡, δύσμορ' Οἰδίπε· τίνα
Πόλεως ἐπέσης προσροπὴν ἐμοῦ τ' ἔχων
Αὐτός τε χὴ σὴ δύσμορος παρασάτις,

* Ald. Καὶ ἀπώλεσα. † Ald. ἀπεσάλη. ‡ Ald. Θέλω τί ἔρεσθαι.

574. Καὶ γὰρ ἄλλως ἐφόνευσα] τὰς παρόντας σὺν τῷ Λαΐῳ· ἦγεν, ὡς ἄλλως φονεύσας, ἀθῷος εἶμι καὶ ἐ γέγονα ἔνοχος τῷ μύσει· ἕτω καὶ ἐπὶ τοῦ παλρός· ἐ γὰρ ᾔδειν.

578. Πολλῶν ἀκύων] χρηςὸς ὁ Θησεὺς τὸ ἦθος εἰσάγεται, καὶ ἔχει καὶ ἐπὶ τούτῳ τῆς οἰκονομίας δεξιώσαι.

585. Προσροπὴν] ὠφέλειαν.

589. Ὡς

Δίδασκε· δεινὴν γάρ τιν' ἂν πρᾶξιν τύχοις
Λέξας, ὁποίας ἐξαφισαίμην ἐγώ.
Ὡς οἶδά γ' αὐτὸς ὡς ἐπαιδεύθην ξένος,
Ὥσπερ σὺ, χὤσις πλεῖς' ἀνὴρ ἐπὶ ξένης
Ἤθλησα κινδυνεύματ' ἐν τῷ μῷ κάρᾳ.
Ὥσε ξένον γὰρ ἐδέν' ὄνθ', ὥσπερ σὺ νῦν,
Ὑπεξεραποίμην μὴ 'ξ συνεκσώζειν σ'· ἐπεὶ
Ἔξοιδ' ἀνὴρ ὢν, χὤτι τῆς ἐς αὔριον
Οὐδὲν πλέον μοι σὲ μέτεσιν ἡμέρας.
ΟΙΔ. Θησεῦ, τὸ σὸν γενναῖον ἐν σμικρῷ λόγῳ
Παρῆκεν, ὥσε βραχέ' ἐμοὶ δεῖσθαι φράσαι.
Σὺ γάρ μ' ὅς εἰμι, κἀφ' ὅτε * πατρὸς γεγὼς,
Καὶ γῆς ὁποίας ἦλθον, εἰρηκὼς κυρεῖς.
Ὡς' ἐσί μοι τὸ λοιπὸν ἐδὲν ἄλλο, πλὴν
Εἰπεῖν ἃ χρήζω χῷ λόγος διέρχεσθαι †.
ΘΗΣ. Τἔτ' αὐτό νῦν δίδασχ', ὅπως ἂν ἐκμάθω.
ΟΙΔ. Δώσων ἱκάνω τέμὸν ἄθλιον δέμας
Σοὶ δῶρον, ἐ σπεδαῖον εἰς ὄψιν· τὰ δὲ
Κέρδη πάρ' αὐτῆ κρείσσον' ἢ μορφὴ καλή.
ΘΗΣ. Ποῖον δὲ κέρδος ἀξιοῖς ἥκειν φέρων;
ΟΙΔ. Χρόνῳ μάθοις ἂν, ἐχὶ τῷ παρόντι πε.
ΘΗΣ. Ποίῳ γὰρ ἡ σὴ προσφορὰ δηλώσεται;
ΟΙΔ. Ὅταν θάνω 'γὼ, καὶ σύ με ταφεὺς γένῃ.
ΘΗΣ. Τὰ λοίσθι' αἰτῇ τἔ βίε· τὰ δ' ἐν μέσῳ
Ἢ λῆσιν ‡ ἴσχεις, ἢ δι' ἐδενὸς ποιῇ·

* Ald. κἀπό τε. † Ald. Turn. in marg. διοίχεσθαι. ‡ Turn. λῆσιν.

589. Ὡς ἐπαιδεύθην] τὸ ὡς ἀντὶ τἔ ὅτι.
593. Μὴ 'ξ συνεκσώζειν] συνίζησις.
608. Προσφορὰ] προθήκη, προόσδοσις. τὸ δὲ δηλώσεσθαι, ἀντὶ τἔ, δηλωθήσεσθαι.
610. Τὰ λοίσθι' αἰτῇ τἔ βίε] γράφεται, τὰ λοίσθι' ἄρ' αἰτῇ τἔ βίε.
Ib. Τὰ δ' ἐν μέσῳ ἢ λῆσιν ἴσχεις] τἔ ζῆν, ἢ ἐπιλέλησαι, ἢ ἐ φροντίζεις.

ΟΙΔ. Ἐνταῦθα γάρ μοι κεῖνα συγκομίζεται.
ΘΗΣ. Ἀλλ' ἐν βραχεῖ δὴ τήνδε μ' ἐξαίρῃ χάριν.
ΟΙΔ. Ὅρα γεμήν· ὁ σμικρός ἐς * ἀγὼν ὅδε.
ΘΗΣ. Πότερα δὲ † τῶν σῶν ἐκγόνων, ἢ μῶν λέγεις; 615
ΟΙΔ. Κεῖνοι κομίζειν κεῖσ' ἀναγκάζουσί με.
ΘΗΣ. Ἀλλ' εἰ θέλοιεν ‡, οὐδέ σοι φεύγειν καλόν.
ΟΙΔ. Ἀλλ' ὁδ', ὅτ' αὐτὸς ἤθελον, παρίεσαν.
ΘΗΣ. Ὦ μῶρε· "Θυμὸς δ' ἐν κακοῖς ὁ ξύμφορον."
ΟΙΔ. Ὅταν μάθῃς μου, νουθέτει· τανῦν δ' ἔα. 620
ΘΗΣ. Δίδασκ'· ἄνευ γνώμης γὰρ ἔμ' ἐχρὴ λέγειν.
ΟΙΔ. Πέπονθα, Θησεῦ, δεινὰ πρὸς κακοῖς κακά.
ΘΗΣ. Ἦ τὴν παλαιὰν ξυμφορὰν γένους ἑρεῖς;
ΟΙΔ. Οὐ δῆτ'· ἐπεὶ πᾶς τοῦτο γ' Ἑλλήνων θροεῖ.
ΘΗΣ. Τί γὰρ τὸ μεῖζον ἢ κατ' ἄνθρωπον νοσεῖς; 625
ΟΙΔ. Οὕτως ἔχει μοι· γῆς ἐμῆς ἀπηλάθην
Πρὸς τῶν ἐμαυτοῦ σπερμάτων· ἔξιν δέ μοι
Πάλιν καλεῖν μήποτ', ὡς παλροκλόνῳ.
ΘΗΣ. Πῶς δῆτά σ' ἂν πεμψαίαθ' ὡς οἰκεῖν δίχα;
ΟΙΔ. Τὸ θεῖον αὐτὸς ἐξαναγκάσει σέμα. 630
ΘΗΣ. Ποῖον πάθος δείσαντας ἐκ χρησηρίων;
ΟΙΔ. Ὅτι σφ' ἀνάγκη τῇδε πληγῆναι χθονί.
ΘΗΣ. Καὶ πῶς γένοιτ' ἂν ταμὰ κἀκείνων πικρά;
ΟΙΔ. Ὦ φίλαι Αἰγέως παῖ, μόνοις ἐγίνεται

* Turn. ὁ σμικρὸς γάρ ἐς'. Ald. ὁ σμικρὸς ἐκ. † Ald. Πότερα τὰ.
‡ Ald. Θέλοντ' ἂν γ' ὁδέ.

612. Ἐνταῦθα γάρ μοι κεῖνα] διὰ τῦ τέλους (φησὶ) καὶ τὰ μέσα τῦ βίυ εὐτυχήσει· προσδοκᾶν γὰρ σὺ ὠφεληθήσεσθαι ὑπ' ἐμοῦ ὅταν ἀποθάνω, ζῶνλά με γηροβοσκήσειν.
613. Ἀλλ' ἐν βραχεῖ δὴ] βραχὺ δῶρόν με αἰτεῖς, τὸ ἐν Ἀθήναις θάψαι σε.
619. Θυμὸς δ' ἐν κακοῖς] γνωμικόν.
619. Πῶς δῆτά σ' ἂν] πῶς δῆτα ἔν (φησὶ) μεταπέμψαιντο ἄν σε, εἰ μὴ ἐχι δυνατὸν κατελθεῖν, διὰ τὸ παλροκλόνον εἶναι; ὁ δέ φησι, τὸ θεῖον αὐτὸς ἐξαναγκάσει τῦτο πράτθειν.
632. Τῇδε πληγῆναι χθονί] ἀντὶ τῦ, ὑπὸ ταύτης τῆς χθονὸς πληγῆναι.

646. Ἐν

Θεοῖς τὸ γῆρας *, ὃδὲ καθθανεῖν ποτέ.
" Τὰ δ' ἄλλα συγχεῖ πάνθ' ὁ παγκρατὴς χρόνος·
" Φθίνει μὲν ἰσχὺς γῆς, φθίνει δὲ σώματος·
" Θνήσκει δὲ πίστις, βλασάνει δ' ἀπιστία.
" Καὶ πνεῦμα ταὐτὸν ἕπποτ' ἔτ' ἐν ἀνδράσι
" Φίλοις βέβηκεν, ἔστε πρὸς πόλιν πόλει.
" Τοῖς μὲν γὰρ ἥδη, τοῖς δ' ἐν ὑστέρῳ χρόνῳ
" Τὰ τερπνὰ πικρὰ γίνεται, κἀνθις φίλα."
Καὶ ταῖσι Θήβαις εἰ τανῦν εὐημερεῖ
Καλῶς τε πρὸς σὲ, μυρίας ὁ μυρίος
Χρόνος τεκνοῦται νύκτας ἡμέρας τ' ἰὼν,
Ἐν αἷς τὰ νῦν ξύμφωνα δεξιώματα
Ἐν δορὶ διασκεδῶσιν ἐκ σμικρᾶς λόγου †·
Ἵν' οὗ 'μὸς εὕδων καὶ κεκρυμμένος νέκυς
Ψυχρός ποτ' αὐτῶν θερμὸν αἷμα πίεται,
Εἰ Ζεὺς ἔτι Ζεύς, χὠ Διὸς Φοῖβος σαφής.
Ἀλλ' ἃ γὰρ αὐδᾶν ἡδὺ τἀκίνητ' ἔπη.
Ἔα μ' ἐν οἷσιν ἠρξάμην, τὸ σὸν μόνον
Πισὸν φυλάσσων· κἄποτ' Οἰδίπου ἐρεῖς
Ἀχρεῖον οἰκητῆρα δέξασθαι τόπων
Τῶν ἐνθάδ', εἴπερ μὴ θεοὶ ψεύσουσί με.
ΧΟΡ. Ἄναξ, πάλαι καὶ ταῦτα καὶ τοιαῦτ' ἔπη
Γῇ τῇδ' ὅδ' ἀνὴρ ὡς τελῶν ἐφαίνετο.
ΘΗΣ. Τίς δῆτ' ἂν ἀνδρὸς εὐμένειαν ἐκβάλοι

* Ald. Θεοῖσι γῆρας. † Turn. in marg. μακρᾶς χρόνου.

646. Ἐν αἷς τὰ νῦν ξύμφωνα] τὰ νῦν ξύμφωνα λέγει, ἐπεὶ ὕπω ἦν ἔχθρα Θηβαίοις καὶ Ἀθηναίοις.

650. Φοῖβος σαφὴς] ἀντὶ τοῦ, ἀληθὴς, ὡς καὶ Ὅμηρος·

" Ἐπισάμενος σάφα εἰπεῖν."—ἀντὶ τοῦ, ἀληθῶς.

657. Ἐφαίνετο] ἀντὶ τοῦ, ἀνεφαίνετο. τοιοῦτόν ἐστι καὶ τὸ παρ' Ὁμήρῳ·

——" καὶ εἰρέο δεύτερον αὖτις."

659. Τοιοῦδ',

Τοιῦδ', ὅτῳ * πρῶτον μὲν ἡ δορύξενος
Κοινὴ παρ' ἡμῖν † αἰέν ἐσιν ἑσία;
Ἔπειτα δ' ἱκέτης δαιμόνων ἀφιγμένος
Γῇ τῇδε ‡ κἀμοὶ δασμὸν ἐ σμικρὸν τίνει.
Ἃ γὼ σεβασθεὶς §, ὅποτ' ἐκβαλῶ χάριν
Τὴν τῆδε, χώρᾳ δ' ἔμπαλιν καβοικιῶ·
Εἰ δ' ἐνθάδ' ἡδὺ τῷ ξένῳ μίμνειν, σέ νιν
Τάξω φυλάσσειν· εἰ δ' ἐμὲ σείχειν μέτα
Τόδ' ἡδύ, τέτων, Οἰδίπες, δίδωμί σοι
Κρίναντι χρῆσθαι· τῆδε γὰρ ξυνοίσομαι.

ΟΙΔ. Ὦ Ζεῦ, διδοίης τοῖσι τοιέτοισιν εὖ.

ΘΗΣ. Τί δῆτα χρήζεις; ἐς δόμες || σείχειν ἐμές;

ΟΙΔ. Εἴ μοι θέμις γ' ἦν· ἀλλ' ὁ χῶρός ἐσθ' ὅδε.

ΘΗΣ. Ἐν ᾧ τί πράξεις; ἐ γὰρ ἀνίσησόμαι.

ΟΙΔ. Ἐν ᾧ κραίησω τῶν ἐμ' ἐκβεβληκότων.

ΘΗΣ. Μέγ' ἂν λέγοις δώρημα τῆς συνεσίας.

ΟΙΔ. Εἰ σοίγ' ἅπερ φῂς ἐμμένοι τελεῖλί μοι.

ΘΗΣ. Θάρσει τὸ τῆδέ γ' ἀνδρὸς, ἔ σε μὴ προδῷ.

ΟΙΔ. Οὕτοι σ' ὑφ' ὅρκε γ' ὡς κακὸν πισώσομαι.

ΘΗΣ. Οὔκεν πέρα γ' ἂν ἐδὲν ἢ λόγῳ φέροις.

* Ald. ὅτῳ. † Turn. Κοινή τ' ἄρ' ἡμῖν. ‡ Turn. in marg. Τῇ γῇ τε.
§ Ald. σεβισθεὶς. || Ald. ἢ δόμες.

659. Τοιῦδ', ὅτῳ] φίλῳ δηλονότι.

Ib. Ἡ δορύξενος] φίλος. ἁπλοϊκώτερον δορυξένους καλεῖσι καὶ τὰς ὁπωσδηποῖν ἐπιξενωθείλας, ἢ ἐπισαλικὰς καὶ πολεμίους φίλας.

663. Οὔποτ' ἐκβαλῶ χάριν] ἐ καλαφρονῶ τῆς εἰς αὐτὸν χάριλος, ἀλλὰ καὶ ἐκ τῇ ἐναντίᾳ ὑποδέχομαι.

665. Σέ νιν] σὲ τὸν Χορόν.

666. Εἴτ' ἐμὲ σείχειν μέτα] εἰς τὸ ἄσυ δηλονότι.

668. Συνοίσομαι] συμπράξομαι, ὡς σὺ βέλει.

674. Μέγ' ἂν λέγοις δώρημα] εἰ ἐμμένοι σοι τὰ ἐπαγγελθέντα, ἢ, εἰ δύναιο κραίειν τῶν ἐχθρῶν ἐνθάδε μένων, μέγα ἂν δώρημα λέγοις τῆς ἐνταῦθα διαίρισῆς.

676. Τὸ τῆδέ γ' ἀνδρὸς] ἐφ' ἑαυτῷ ποιῆται τὴν δεῖξιν ὁ Θησεύς.

677. Οὕτοι σ' ὑφ' ὅρκε γ' ὡς κακὸν πισώσομαι] ἐ πίσιν (φησὶ) δι' ὅρκε ἐπιθεῖναί σε παρακελεύσομαι. πρὸς ὃ ἐπάγει, Οὔκεν πέραν γ' ἂν ἐδὲν ἢ λόγῳ φέροις. τετέχνι, ἐκ ἂν πλέον λάβοις ὁρκίσας με, ἢ λόγῳ πισεύσας μοι.

680. Ὅκνος

ΟΙΔ. Πῶς ἔν ποιήσεις;

ΘΗΣ. Τὸ μάλις' ὄκνος σ' ἔχει.

ΟΙΔ. Ἥξουσιν ἄνδρες.

ΘΗΣ. Ἀλλὰ τοῖσδ' ἔσαι μέλον.

ΟΙΔ. Ὅρα με λείπων.

ΘΗΣ. Μὴ δίδασχ' ἃ χρή με δρᾶν.

ΟΙΔ. Ὀκνεῖντ' ἀνάγκη.

ΘΗΣ. Τἀμὸν ἐκ ὀκνεῖ κέαρ.

ΟΙΔ. Οὐκ οἶσθ' ἀπειλάς;

ΘΗΣ. Οἶδ' ἐγώ σε μή τινα
Ἐνθένδ' ἀπάξοντ' ἄνδρα πρὸς βίαν ἐμοῦ.
Πολλαὶ δ' ἀπειλαί, πολλὰ δὴ μάτην ἔπη
Θυμῷ καληπείλησαν· "ἀλλ' ὁ νοῦς ὅταν
"Αὐτὸς γένηται, φροῦδα τἀπειλήματα."
Κείνοις δ' ἴσως καὶ δεῖν' ἐπερρώσθη λέγειν,
Τῆς σῆς ἀγωγῆς (οἶδ' ἐγὼ) φανήσεται
Μακρὸν τὸ δεῦρο πέλαγος ἐδὲ πλώσιμον.
Θαρσεῖν μὲν ἔν ἔγωγε κἀνευ τῆς ἐμῆς
Γνώμης ἐπαινῶ, Φοῖβος εἰ πρὸ πεμψέ * σε·
Ὅμως δὲ κἀμοῦ μὴ πάρουλος, οἶδ' ὅτι
Τἀμὸν φυλάξει σ' ὄνομα μὴ πάσχειν κακῶς.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Εὐίππου, ξένε, τᾶσδε χώρας

* Turn. in marg. προέπεμψέ.

680. Ὄκνος ἔχει] φόβος.
682. Ἀλλὰ τοῖσδ' ἔσαι μέλον] τοῖς τῦ Χορῦ.
685. Ὀκνεῖντ' ἀνάγκη] ἐ νεμεσηθὸν μοι (φησὶν) εἰ ὑπὸ δέους τὰ αὐτὰ συνεχῶς λέγω· τὸν φοβούμενον γὰρ ἀνάγκη ταῦτα λέγειν.
680. Τἀμὸν ἐκ ὀκνεῖ κέαρ] ἐδὲν δέδοικε.
690. Πολλαὶ δ' ἀπειλαὶ] ἀντὶ τῦ, πολλοὶ ἄνθρωποι πολλὰ ἀπειλήσαντες ἐκ θυμῦ, πέψαντες τὸν θυμὸν, καὶ τὸν καθεςηκότα νοῦν ἀναλαβόντες, ἐπαύσαντο τῶν ἀπειλῶν.
693. Κείνοις δ' ἴσως] τοῖς Θηβαίοις.
694. Τῆς σῆς ἀγωγῆς] λείπει ἡ Περί· ἵν' ᾖ, περὶ τῆς σῆς ἀγωγῆς, ἦγεν, ἐπανόδου.
760. Εὐίππου, ξένε, τᾶσδε χώρας] ὦ ξένε, ὦ Οἰδίπου.

Ἵκȣ τὰ κρὰτιςα γᾶς ἔπαυλα,
Τὸν ἀργῆτα Κολωνόν·
Ἔνθα λέγεια μινύρεται *
Θαμίζȣσα μάλις' ἀηδὼν
Χλωραῖς ὑπὸ βάσσαις
Τὸν οἴνωπ' ἀνέχȣσα κισσὸν,
Καὶ τὰν ἄβατον θεȣ̃
Φυλλάδα μυριόκαρπον, ἀνάλιον †,
Ἀνήνεμόν τε πάντων
Χειμώνων· ἵν' ὁ βακχειώτας ἀεὶ
Διόνυσσος ἐμβατεύει,
Θείαις ἀμφιπολῶν ‡ τιθήναις.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

Θάλλει δ' ȣ̓ρανίας ὑπ' ἄχνας
Ὁ καλλίβοτρυς κατ' ἦμαρ αἰεὶ

* Aldus, μύρεται. † Ald. ἀνήλιον. ‡ Ald. ἀμφιπόλων.

ὦ Οἰδίπȣ· μέχρι τȣ̃ ἀηδὼν, ἡ διατριβὴ τȣ̃ Χορȣ̃ πρὸς τὸ ἐγκώμιον τῆς χώρας, αὐτȣ̃ τȣ̃ Σοφοκλέȣς ἐπὶ τὸ ἴδιον ἀπαντῶντος χαρακτηριςικὸν, τὸ γλαφυρὸν καὶ ᾠδικὸν μέλος.

702. Τὸν ἀργῆτα] τὸν λευκόγεων.

706. Ἀνέχȣσα κισσὸν] ὑπὲρ ἑαυτὴν ἔχȣσα τὸ φυτὸν, ἄνω ἔχȣσα τὸν κισσόν. ὡς ἐν Λυκȣ́ργῳ Αἰσχύλος·

"Ἄκȣε δ' ἄν' ȣ̃ς ἔχων."

ἀντὶ τȣ̃, ἄνω τὸ ȣ̃ς ἔχων.

708. Ἀνάλιον] παρὰ τὸ Ὁμηρικόν·

"Τὴν μέν γ' ȣ̓τ' ἀνέμων διάει μένος ὑγρὸν
"ἀέντων,
"Οὔτε μὲν ἠέλιος φαέθων ἀκτῖσιν ἔβαλλεν."

ἀπὸ κοινȣ̃ δὲ τὸ ἀνέχȣσα. ἀνήλιον δὲ, διὰ τὴν δασύτητα τῶν φυτῶν.

713. Θάλλει δ' ȣ̓ρανίας] οἱ μὲν ὑπομνημητισάμενοι τῆς Δήμητρος καὶ Κόρης φασὶ ςεφάνωμα τὸν νάρκισσον εἶναι· ȣ̓ γὰρ μόνον ςάχυσιν αὐτὰς ςέφανȣ̃σι· μήποτε δὲ γραπτέον μεγάλαιν θεαῖν, τῶν ἐριννύων. καὶ γὰρ τὸ χωρίον ἐν ᾧ ἦν ὁ Οἰδίπȣς, αὐταῖς ἀνεῖτο. ὅτι δ' Ἐριννύων ἐςι τὸ ςεφάνωμα, δῆλον ἐν οἷς Εὐφορίων φησὶ, "Πρόπρο δέ μιν δασπλῆτες ὀφει-"λομένην οἶμον, Εὐμενίδες ἀργῆτα θυτατρί-"δαι Φόρκυνος, ναρκίσσοιο ἐπιςεφέες πλοκα-"μῖδες." ἴσως ὅτι παρὰ τοῖς μνήμασιν ὅτι πλεῖςον ἐκφύεται, ἢ ὅτι τȣ̃ φρίττειν καὶ ναρκᾶν εἰσὶν αἱ δαίμονες αἴτιαι, ὥςε διὰ τὸ ὄνομα συνωκειῶσθαι τὸ φυτὸν αὐταῖς. Μηπότε δὲ τὸν νάρκισσον μεγάλαιν θεαῖν ἀρχαῖον ςεφάνωμα ἔφη ὁ Σοφοκλῆς, τῷ συλληπτικῷ χρησάμενος τρόπῳ, ἀντὶ τȣ̃, εἰπεῖν, θεᾶς ἀρχαῖον ςεφάνωμα, τῆς Κόρης. Τί δήποτε; ὅτι πρὶν ἢ τὸν Πλȣ́τωνα αὐτὴν ἁρπάσαι, τȣ́τῳ ἐτέρπετο. συλλέγȣσαν ȣ̃ν φασὶν αὐτὴν τὸν νάρκισσον ἁρπασθῆναι, ὥςε τὸ ἀρχαῖον τȣ́τȣ ἕνεκα προσκεῖσθαι. οἷον, ὃ ἦν αὐτῇ θυμήρες ςεφάνωμα πρὶν ἢ συλληφθῆναι. αὖθις γȣ̃ν φασι τὰς θεὰς ἀνθινοῖς μὴ κεχρῆσθαι, ἀλλὰ καὶ ταῖς θεσμοφοριαζȣ́σαις

Νάρκισσος, μεγάλαιν θεαῖν * 715
Ἀρχαῖον στεφάνωμ', ὅ, τε
Χρυσαυγὴς κρόκος· ὐδ' ἄϋπνοι
Κρῆναι μινύθουσι,
Κηφισοῦ νομάδες ῥεέθρων,
Ἀλλ' αἰὲν ἐπ' ἤματι 720
Ὠκυλόκοις πεδίων ἐπινίσσεται †,
Ἀκηράτῳ ξὺν ὄμβρῳ,
Στερνοῦχε χθονός· ὐδὲ Μουσᾶν χοροί
Νιν ἀπεζύγησαν, ὐδ' αὖ
Ἃ χρυσάνιος ‡ Ἀφροδίτα. 725

ΣΤΡΟΦΗ Β.

Ἔσιν δ' οἷον ἐγὼ
Γᾶς Ἀσίας ὐκ ἐπακούω·
Οὐδ' ἐν τᾷ μεγάλᾳ Δωρίδι νάσ
Πέλοπός πω§ βλασὸν,

* Turn. in marg. μεγαλᾶν θεᾶν. † Ald. ἐπινείσσεται.
‡ Ald. Οὐδὲ χρυσάνιος. § Ald. Πώπω.

φοριαζόσαις τὴν τῶν ἀνθινῶν στεφάνων ἀπειρῆσθαι χρῆσιν· ὁ δ' Ἴσχος τῆς Δήμητρος εἶναι στέμμα τὴν μυρρίνην, καὶ τὴν σμίλακα, περὶ ἧς γίγνεσθαι τὴν διαδικασίαν· καὶ τὸν ἱεροφάντην καὶ τὰς ἱεροφάντιδας καὶ τὸν δαᾷδουχον καὶ τὰς ἄλλας ἱερείας μυρρίνης ἔχειν στέφανον· διὰ ἃ καὶ τῇ Δήμητρι προσθέσθαι ταύτην φησί.

715. Μεγάλαιν θεαῖν] ταῖς ἐριννύσιν.

716, 717. Ὅ, τε χρυσαυγὴς κρόκος] ἀπὸ κοινοῦ, τὸ θάλλει κατ' ἦμαρ. τοῖς τὸν νάρκισσον τῇ Δήμητρι ἀπονέμουσι τοῦτο συμπεράττει, ὅτι καὶ τῇ Νιόβῃ ὁ Σοφοκλῆς τὸν κρόκον ἄνθικρυς τῇ Δήμητρι ἀναλίθεται· ὥστε νῦν τὸν λόγον εἶναι περὶ τῶν Δήμητρος στεφανωμάτων. καὶ αὐτὸ δὲ τοῦτο ἴδιον ἂν εἴη Σοφοκλέους· τοῖς γὰρ ἀνθινοῖς ὐ πάνυ φασὶν ἥδεσθαι τὴν Δήμητρα.

718. Μινύθουσι] λήσουσι τοῦ ῥεῖν.

719. Κηφισοῦ νομάδες] κρῆναι νομάδες, αἱ ἐπινεμόμεναι, ὥσπερ καὶ παΐβρέουσαι τὴν γῆν τοῦ Κηφισοῦ πηγαί· ἢ ἃς ὁ Κηφισὸς ἐπινέμεται. λέγοι δ' ἂν τὸν ἐν τῇ Καδμείᾳ.

720. Ἀλλ' αἰὲν ὑπ' ἤματι] ἀλλ' ἀεὶ καθ' ἡμέραν (φησὶν) ἐπινίσσεται ὁ Κηφισός.

721. Ὠκυλόκοις] ἤγουν, ὠκυλόκα ποιῶν τὰ πεδία καὶ ἔγκαρπα.

723. Στερνοῦχε χθονὸς] ἴσον τῷ γονίμου γῆς, ἢ ἐπιπέδου καὶ πεδιόχου χθονός. μεταφορικῶς γὰρ καὶ στέρνα καὶ νῶτα φασὶ τὰ πεδιώδη καὶ εὐρέα, καθάπερ αὖ πάλιν αὐχένας, τὰ στενά. τὸ δὲ ὅλον πεδίον ἐπὶ στερνόχου χθονὸς, ἀντὶ τοῦ, ἐπὶ τῶν πεδιάδων τῆς γονίμου χθονός.

Ib. Χοροί νιν ἀπεζύγησαν] τὴν Ἀττικήν.

730. Φύτευμ'

Φύτευμ' ἀχείρωλον * αὐτόποιον
Ἐγχέων φόβημα δαΐων,
Ὃ τᾶδε θάλλει μεγίσᾳ χώρᾳ
Γλαυκᾶς παιδοτρόφε φύλλον † ἐλαίας.
Τὴν ‡ μέν τις ἔτε νέος §, ἔτε γήρᾳ
Σημαίνων ἀλιώσει χειρὶ πέρσας.
Ὃ γὰρ εἰσαιὲν ὁρῶν || κύκλος
Λεύσσει νιν Μορίᾳ Διὸς,
Χᾲ γλαυκῶπις Ἀθάνα.

ΑΝΤΙΣΤΡΟΦΗ Β.

Ἄλλον δ' αἶνον ἔχω
Μαλροπόλει τᾶδε κράτιςον
Δῶρον τᾷ μεγάλᾳ δαίμονος εἰπεῖν,
Αὔχημα μέγιςον,
Εὔιππον, εὔπωλον, εὐθάλασσον.
Ὦ παῖ Κρόνε, σὺ γάρ νιν εἰς

* Turn. in marg. ἀχείρωλον. † Turn. in marg. θαλλὸν.
‡ Ald. τὸ. § Ald. νεαρὸς. || Ald. εἰσορῶν.

730. Φύτευμ' ἀχείρωλον αὐτόποιον] ὅτι ἀπέσχιλο τῶν ἐλαιῶν τῆς θεᾶ τῶν μορίων ὀνομαζομένων οἱ Λακεδαιμόνιοι, καὶ ἄλλοι ἰσορρῶσι καὶ Φιλόχορος, ὥςε ταῖς ἀληθείαις ἐγχέων αὐτὰς φόβημα τοῖς πολεμίοις γενέσθαι. Λακεδαιμονιοι γὰρ ἐμβαλόντες ἐν τῇ Ἀτλικῇ δέκα μυριάσι Πελοποννησίων καὶ Βοιωτῶν, ἡγεμόνα Ἀρχιδάμου τοῦ Ζευξιδάμου Λακεδαιμονίων βασιλέως, ἀπέσχιλο τῶν λεγομένων μορίων Ἀθηνᾶς, ὡς καὶ Ἀνδροτίων φησίν. ἀλλὰ καὶ Ἀριστοφάνης ἐν Νεφέλαις γράφει·

"Ἀλλ' εἰς Ἀκαδημίαν καλιὸν, ὑπὸ ταῖς μορίαις ἀποθρέξεις."

ὁ δ' Ἴστρος καὶ τὸν ἀριθμὸν αὐτῶν δεδήλωκε, γράφων ἔτως, εἶναι δὲ κλάδον τῆς ἐν Ἀκαδημίᾳ ἐλαίας, ἣν ἀπὸ τῆς ἐν ἀκροπόλει φυλευθῆναι φασίν· ἐπάρατον δὲ ἐποιήσαντο εἴτις τῶν ἐμβαλόντων αὐτὰς ἐκκόψειε, φίλος ἢ πολέμιος. διὸ Λακεδαιμόνιοι τὴν λοιπὴν γῆν δηοῦντες, τῆς μὲν τετραπόλεως ἀπέσχιλο διὰ τὸς Ἡρακλείδας, τῶν δὲ μορίων, διὰ τὰς ἀρᾶς. Ὁ δὲ Ἀριστοτέλης καὶ τοῖς νικήσασι τὰ Παναθήναια ἐλαίᾳ τῇ ἐκ μορίων γιγνομένῃ δίδοσθαι φησί.

734. Τὸ μέν τις] τὸ φυτὸν τῆς ἐλαίας.

737. Μορίᾳ Διὸς] μορίον Δία εἶπε τὸν ἐπόπτην τῶν μορίων ἐλαιῶν· καὶ ἔςιν ὁ λεγόμενος μόριος Ζεὺς περὶ Ἀκαδημίαν, ὡς φησιν Ἀπολλόδωρος, "Περὶ Ἀκαδημίαν, ἔςιν ὅτε τῇ καταδάτῃ Διὸς βωμὸς, ὃν καὶ μόριον καλοῦσι· τῶν ἐκεῖ μορίων παρὰ τὸ τῆς Ἀθηνᾶς ἱερὸν ἱδρυμένων."

743. Εὔιππον, εὔπωλον] παρ' ὅσον ὁ Κολωνὸς ἱππεὺς ἐλέγετο, καὶ Ποσειδῶν καὶ Ἀθηνᾶ αὐτόθι ἵππιοι.

744. Ὦ παῖ Κρόνε] αὐτόθι φασὶ Ποσειδῶνα

Τόδ' εἶσας αὔχημ' ἄναξ Ποσειδάν·
Ἵπποισιν * τὸν ἀκεςῆρα χαλινὸν
Πρώταισι ταῖσδ' ἔκτισας ἀγυιαῖς.
Ἀ δ' εὐήρετμος ἔκπατλ' ἁλία χερ-
σὶ παραπτομένα πλάτα
Θρώσκει τῶν ἑκατομπόδων
Νηρηΐδων ἀκόλυθος.

ΙΑΜΒΟΙ.

ΑΝΤ. Ὦ πλεῖς' ἐπαίνοις εὐλογούμενον πέδον,
Νῦν σοι τὰ λαμπρὰ ταῦτα δεῖ φαίνειν ἔπη.
ΟΙΔ. Τίδ' ἐςὶν, ὦ παῖ, καινόν;
ΑΝΤ. Ἆσσον ἔρχεται
Κρέων ὅδ' ἡμῖν ὐκ ἄνευ πομπῶν, πάτερ.
ΟΙΔ. Ὦ φίλτατοι γέροντες, ἐξ ὑμῶν ἐμοὶ
Φαίνοιτ' ἂν ἤδη τέρμα τῆς σωτηρίας·
ΧΟΡ. Θάρσει, παρέςαι· "καὶ γὰρ εἰ γέρων κυρῶ,
"Τὸ τῆσδε χώρας ὐ γεγήρακε σθένος."
ΚΡΕ. Ἄνδρες χθονὸς τῆσδ' εὐγενεῖς οἰκήτορες,
Ὁρῶ τιν' ὑμᾶς ὀμμάτων εἰληφότας
Φόβον νεωρῆ τῆς εμης ἐπεισόδυ·
Ὃν μήτ' ὀκνεῖτε, μήτ' ἀφεῖτ' ἔπος κακόν.

* ALDUS, Ἵπποισι.

δῶνα πρῶτον ἵππυς ζεῦξαι καὶ χαλινῶσαι. Καὶ ταῦτα δὲ ἐπὶ θεραπείᾳ φησὶ τῆς οἰκείας πόλεως ὁ Σοφοκλῆς· ὁ γὰρ Κολωνὸς ἱππεὺς ὠνομάσθη παρ' ἃς ἐξεθέμην αἰτίας κατὰ Ἀνδροτίωνα· ἀλλ' ὅτος ἐπὶ τὸ σεμνότατον ἄγει τὸ πρᾶγμα, τῇ ποιητικῇ καταχρώμενος ἀδείᾳ.

747. Πρῶταισι ταῖσδ' ἔκτισας] περὶ τὰ τρία ταῦτα κεφάλαια μάλιςα διατρίβυσι τῦ ἐγκωμίυ, ὅτι εὔφορος ἡ χώρα, καὶ ὅτι ἱππικοὶ Ἀθηναῖοι, καὶ ὅτι ναυτικοί.

749. Πλάτα θρώσκει] κώπη.

751. Νηρηΐδων ἀκόλυθος] ἀκολύθως· Ὅτι αἱ Νηρηΐδες πεντήκοντά εἰσιν.

752. Ὦ πλεῖς' ἐπαίνοις] ἡ Ἀντιγόνη ταῦτά φησιν ὁρῶσα προσιόντα τὸν Κρέοντα μετὰ χαρᾶς.

759. Εἰ γέρων ἐγὼ] κυρῶ δηλονότι.

761. Ἄνδρες χθονὸς] ἐπὶ τὸν Οἰδίπυν ἀφίκται ὁ Κρέων, καὶ μὴ πείσας αὐτὸν ἐλθεῖν εἰς τὴν αὐτῦ πατρίδα, παρασπᾶται αὐτῦ τὴν Ἀντιγόνην, φθάσας κατὰ τὴν ὁδὸν καὶ τὴν Ἰσμήνην ἀφελέσθαι.

764. Ὃν μήτ' ὀκνεῖτε] ὅντινα ἐμὲ δηλονότι μὴ φοβεῖσθε.

Ἥκω γὰρ οὐχ ὡς δρᾷν τι βουληθείς· ἐπεὶ
Γέρων μέν εἰμι, πρὸς πόλιν δ' ἐπίσαμαι
Σθένουσαν ἥκων, εἴ τιν' Ἑλλάδος, μέγα·
Ἀλλ' ἄνδρα τόνδε τηλίκονδ' ἀπεσάλην
Πείσων ἕπεσθαι πρὸς τὸ Καδμείων πέδον·
Οὐκ ἐξ ἑνὸς σείλαντος, ἀλλ' ἀνδρῶν * ὕπο
Πάντων κελευσθεὶς, οὕνεχ' ἧκέ μοι γένει
Τὰ τοῦδε πενθεῖν πήματ', ἢ πλεῖστον πόλεως.
Ἀλλ', ὦ ταλαίπωρ' Οἰδίπους, κλύων ἐμοῦ,
Ἵκου πρὸς οἴκους· πᾶς σε Καδμείων λεὼς
Καλεῖ δικαίως· ἐκ δὲ τῶν, μάλιστ' ἐγώ †
"Ὅσῳ περ (εἰ μὴ πλεῖστον ἀνθρώπων ἔφυν
"Κάκιστος) ἀλγῶ τοῖσι σοῖς κακοῖς, γέρον,"
Ὁρῶν σε τὸν δυστηνον ὄντα μὲν ξένον,
Ἀεὶ δ' ἀλήτην, κἀπὶ προσπόλου μιᾶς
Βιοστερῆ χωροῦντα· τὴν ἐγὼ τάλας
Οὐκ ἄν ποτ' ἐς τοσοῦτον αἰκίας πεσεῖν
Ἔδοξ', ὅσον πέπτωκεν ἥδ' ἡ δύσμορος,
Ἀεί σε κηδεύουσα καὶ τὸ σὸν κάρα
Πτωχῇ διαίτῃ, τηλικοῦτος, οὐ γάμων
Ἔμπειρος, ἀλλὰ τοῦ 'πιόντος ἁρπάσαι.
Ἆρ' ἄθλιον τοὔνειδος, ὦ τάλας ἐγὼ,
Ὠνείδισ' εἰς σὲ, κἀμὲ, καὶ τὸ πᾶν γένος;
Ἀλλ' οὐ γάρ ἐστι τἀμφανῆ ‡ κρύπτειν· σύ νυν

* Turn. in marg. ἀςῶν. † Turn. τῶν πάντων ἐγὼ.
‡ Turn. τὰ ἐμφανῆ.

771. Οὕνεχ' ἧκέ μοι γένει] ἀντὶ τοῦ, ὅτι ωροσήκει μοι πενθεῖν τὰ τούτου ἀτυχήματα ὑπὲρ πάντας Θηβαίους.

775. Ἐκ δὲ τῶνδε μάλιστ' ἐγὼ] ἐγὼ μάλιστά σε καλῶ· ὅσῳπερ πλειστὸν ἀλγῶ τοῖς σοῖς παθήμασι.

779. Κἀπὶ προσπόλου μιᾶς] τῆς Ἀντιγόνης. Εἴληπτο γὰρ ὑπ' αὐτοῦ ἡ Ἰσμήνη.

788. Ἀλλ' οὐ γάρ ἐστι τἀμφανῆ κρύπτειν] ὥστε συγγνώμης εἰμὶ ἄξιος λέγων· οὐ γὰρ δύναμαι κρύπτειν.

794. Ὦ

Πρὸς θεῶν πατρῴων, Οἰδίπους, πεισθεὶς ἐμοὶ,
Κύψον *, θελήσας ἄςυ καὶ δόμους μολεῖν
Τοὺς σοὺς πατρῴους, τήνδε τὴν πόλιν φίλως
Εἰπών· ἐπαξία γάρ· ἡ δ' οἴκοι †, πλέον
Δίκη ‡ σέβοιτ' ἂν οὖσα σὴ πάλαι τροφός.

ΟΙΔ. Ὦ πάντα τολμῶν, κἀπὸ παντὸς ἂν φέρων
Λόγου δικαίου μηχάνημα ποικίλον,
Τί ταῦτα πείρᾳ §, κἀμὲ δεύτερον θέλεις
Ἑλεῖν ἐν οἷς μάλις' ἂν ἀλγοίην ἁλούς;
Πρόσθεν τε γάρ με τοῖσιν οἰκείοις κακοῖς
Νοσοῦνθ', ὅτ' ἦν μοι τέρψις ἐκπεσεῖν χθονὸς,
Οὐκ ἤθελες θέλοντι προσθέσθαι χάριν.
Ἀλλ', ἡνίκ' ἤδη μεςὸς ἦν θυμούμενος,
Καὶ τοὺν δόμοισιν ἦν διατᾶσθαι γλυκὺ,
Κἀμάνθανον τὸν θυμὸν ἐκδραμόντά μοι,
Τότ' ἐξεώθεις, κἀξέβαλλες· οὐδέ σοι
Τὸ συγγενὲς τοῦτ' οὐδαμῶς τότ' ἦν φίλον.
Νῦν τ' αὖθις ἡνίκ' εἰσορᾷς πόλιν τέ μοι
Ξυνοῦσαν εὔνουν τήνδε, καὶ γένος τὸ πᾶν,
Πειρᾷ μετασπᾷν, σκληρὰ μαλθακῶς λέγων.
Καίτοι τοσαύτη τέρψις ἄκοντας φιλεῖν·
Ὥσπέρ τις εἴ σοι λιπαροῦντι μὲν τυχεῖν,
Μηδὲν διδοίη, μηδ' ἐπαρκέσαι θέλοι,

* Turn. in marg. Κρύψον. † Aldus, ἤδ' οἴκοι.
‡ Turn. Δίκη. § Turn. in marg. πείρᾳ.

794. Ὦ πάντα τολμῶν] ὦ ἐν εὐλογοφανέσι λόγοις πανοῦργα βουλευόμενε.

796. Τί ταῦτα πειρᾷ] βαρυτόνως ἀναγνωςέον πείρᾳ, οὐ περισπομένως. Οὕτω Δίδυμος.

801. Ἡνίκ' ἤδη μεςὸς ἦν] ὡς ἐπὶ κεραμείου τινὸς ἢ ἄλλου σκεύους εἴρηκε· τοῦτ' ἔςιν, ὅτε κορεσθεὶς τοῦ θυμοῦ, λοιπὸν τὰ συμφέροντα ἐβουλεύομην, καὶ οὐκ ἔτι ἤθελον φεύγειν.

802. Καὶ τοὺν δόμοισιν] ἐν Θήβαις δηλονότι.

807. Γένος τὸ πᾶν] τὸ Ἀττικόν.

809. Καίτοι τοσαύτη τέρψις] καὶ σὺ οὖν βούλει με εὐεργετεῖν μὴ θέλοντα.

815. Προσφέρειε

Πλήρη δ' ἔχουσι θυμὸν ὧν χρήζεις, τότε
Δωροῖθ', ὅτ' ἐδέν ἡ χάρις χάριν φέρει,
Ἆρ' ἂν μαλαίης τῆσδ' ἂν * ἡδονῆς τύχοις;
Τοιαῦτα μέντοι καὶ σὺ προσφέρεις ἐμοὶ,
Λόγῳ μὲν ἐσθλὰ, τοῖσι δ' ἔργοισιν κακά.
Φράσω δὲ καὶ τοῖσδ', ὡς σε δηλώσω κακόν.
Ἧκεις ἐμὶ ἔξων, ἐχ ἵν' εἰς δόμους ἄγῃς,
Ἀλλ' ὡς πάραυλον οἰκίσῃς πόλις δέ σοι
Κακῶν ἄναλος τῶνδ' ἀπαλλαχθῇ χθονός.
Οὐκ ἔστι σοι ταῦτ'· ἀλλά σοι τάδ' ἔστ', ἐκεῖ
Χώρας ἀλάστωρ δύμος ἐνναίων ἀεί.
Ἔστιν δὲ παισὶ τοῖς ἐμοῖσι τῆς ἐμῆς
Χθονὸς λαχεῖν τοσοῦτον, ἐνθανεῖν μόνον.
Ἆρ' ἐκ ἄμεινον ἢ σὺ ταὐν Θήβαις φρονῶ;
Πολλῷ γ', ὅσῳ περ ἐκ σαφεστέρων κλύω,
Φοίβῳ τε, κἀμοῦ Ζηνὸς, ὃς κείνῳ πατήρ.
Τὸ σὸν δ' ἀφῖχθαι δεῦρ' ὑπόβλητον σέμα
Πολλὴν ἔχον σόμωσιν· ἐν δὲ τῷ λέγειν,
Κάκ' ἂν λάβοις τὰ πλείον' ἢ σωτήρια.
Ἀλλ' οἶδα γάρ σε ταῦτα μὴ πείθων· ἴθι,
Ἡμᾶς † δ' ἔα ζῆν ἐνθάδ'· ἐ γὰρ ἂν κακῶς

* Turn. in marg. τῆσδέ γε. † Turn. Ὑμᾶς.

815 Προσφέρεις ἐμοὶ] ἀντὶ χάριτος δηλονότι.
819. Ὡς πάραυλον] ἀντὶ τοῦ, ἐν ἀγροῖς.
Ib. Πόλις δέ σοι] καὶ ἵν' αἱ Θῆβαι ἀβλαβεῖς ἔσοιλαι ἐκ ταύτης τῆς γῆς. Ἄναλος δὲ, ἀντὶ τοῦ ἀβλαβὴς, ἢ ἀναίτιος.
821. Οὐκ ἔστι σοι ταῦτα] ἐ προδήσεταί σοι ὁ σκοπός.
825. Ἆρ' ἐκ ἄμεινον] ἆρα ἐ πλέον σοῦ τὰ ἀποβησόμενα ἐν ταῖς Θήβαις οἶδα;
826. Ἐκ σαφεστέρων κλύω] ἀντὶ τοῦ, καὶ σαφέστερον οἶδα.
827. Φοίβῳ τε, κἀμοῦ Ζηνὸς] δοκεῖ γὰρ ὁ Ἀπόλλων παρὰ Διὸς λαμβάνειν τὰς χρησμὰς ὡς· καὶ ἐν Ἰφικλείᾳ φησί. Καὶ Αἰσχύλος ἐν Ἱερείαις,
"Στέλλειν ὅπως τάχιστα. Ταῦτα γὰρ πατὴρ Ζεύς,
"Ἐγκαθιεῖ λοξία."
Καὶ Ἀριστοφάνης Ἥρωσιν.
828. Ὑπόβλητον] ἐκ ἀληθὲς, ἀλλὰ πεπλασμένον. Ἀπὸ τῶν ὑπὸ βαλλομένων εἰς τὰ γένη παίδων ἀλλοτρίων.
829. Στόμωσιν] δεινωσιν, καὶ πανουργίαν.
834. Πότερα

Οὐδ' ὧδ' ἔχοντες ζῶμεν, εἰ τερποίμεθα.
ΚΡΕ. Πότερα νομίζεις δυσυχεῖν ἔμ' εἰς τὰ σὰ.
Ἢ σ' εἰς τὰ σαυτῆς μᾶλλον ἐν τῷ νῦν λόγῳ;
ΟΙΔ. Ἐμοὶ μὲν ἐσθ' ἥδιστον, εἰ σὺ μήτ' ἐμὲ
Πείθειν οἷός τ' εἶ, μήτε τόνδε τὰς φρένας.
ΚΡΕ. Ὦ * δύσμορ', ὑδὲ τῷ χρόνῳ φύσας φανῇ
Φρένας ποτ', ἀλλὰ λῦμα τῷ γήρᾳ τρέφῃ;
ΟΙΔ. Γλώσσῃ σὺ δεινὸς· "ἄνδρα δ' ὑδέν οἶδ' ἐγὼ
"Δίκαιον, ὅστις ἐξ ἅπαντος εὖ λέγει.
ΚΡΕ. "Χωρὶς τό, τ' εἰπεῖν πολλὰ, καὶ τὰ καίρια."
ΟΙΔ. Ὡς δὴ σὺ βραχέα, ταῦτα δ' ἐν καιρῷ λέγεις.
ΚΡΕ. Οὐ δῆθ'· ὅτῳ γε νοῦς ἴσος καὶ σοὶ πάρα.
ΟΙΔ. Ἄπελθ'· ἐρῶ γὰρ καὶ πρὸ τῶνδε· μηδέ με
Φύλασσ' ἐφορμῶν ἔνθα χρὴ ναίειν ἐμέ.
ΚΡΕ. Μαρῦρομαι τόσδ', ὑ σέ· πρὸς δὲ τὺς φίλυς,
Οἳ' ἀνῆμείβῃ ῥήματ' ἤν σ' ἔλω πολέ.
ΟΙΔ. Τίς δ' ἄν με τῶνδε συμμάχων ἔλοι βίᾳ;
ΚΡΕ. Ἢ μὴν σὺ κἄνευ τῶνδε λυπηθεὶς ἔσῃ.
ΟΙΔ. Ποίῳ σὺν ἔργῳ τῦτ' ἀπειλήσας ἔχεις;
ΚΡΕ. Παίδοιν δυοῖν σοι τὴν μὲν ἀρτίως ἐγὼ
Ξυναρπάσας ἔπεμψα, τὴν δ' ἄξω τάχα.

* Turn. Ὡς.

834. Πότερα νομίζεις δυσυχεῖν] ἀντὶ τῦ, ἢ τῷ μὴ πείθεσθαί σε μᾶλλον σὺ δυσυχεῖς ἢ ἐγώ.
837. Πείθειν οἷός τ' εἶ] πείθειν με εἰς τὸ ἀκολυθῆσαί σοι.
1b. Τὰς φρένας] τὰς ἀπὸ τῦ Χορῦ.
839. Λῦμα τῷ γήρᾳ] κάθαρμα. Ὅ ἐστιν, ἀπαίδευτος μέχρι γήρως μενεῖς.
841. Δίκαιον, ὅστις ἐξ ἅπαντος] ὅστις βέλεται ἐκ παντὸς δοκεῖν δίκαια λέγειν.
842. Πολλὰ καὶ τὰ καίρια] ἄλλο ἐστὶ τὸ φλυαρεῖν, καὶ ἄλλο τὸ ἀναίσχυντα λέγειν.
844. Οὐ δῆτα] τοῖς κατὰ σὲ ἐ δοκῶ καίρια λέγειν.
845. Καὶ πρὸ τῶνδε] καὶ πρὸ τῦ Χορῦ.
847. Μαρῦρομαι] μάρτυρας καλῶ, ἐάν σε ἕλω, δικαίως τιμωρήσομαι, οἷα ἀνῆμειβῆ με ῥήματα.
849. Τῶνδε συμμάχων] τῶν ἀπὸ τῦ Χορῦ.
1b. Ἕλοι βίᾳ] βιαζόμενος τὺς ἐμὺς συμμάχυς καὶ φύλακας.
850. Ἢ μὴν σὺ κἄνευ] καὶ χωρὶς τῦ λαβεῖν σε εἰς Θήβας.

857. Τήνδε

ΟΙΔ. Ὦιμοι.

ΚΡΕ. Τάχ' ἔξεις μᾶλλον οἰμώζειν τάδε.

ΟΙΔ. Τὴν παῖδ' ἔχεις μου;

ΚΡΕ. Τήνδέ γ' ὑ μακρῷ χρόνῳ.

ΟΙΔ. Ἰὼ ξένοι, τί δράσετ'; ἢ προδώσετε;
Κἀκ ἐξελᾶτε τὸν ἀσεβῆ τῆσδε χθονός;

ΧΟΡ. Χώρει, ξέν', ἔξω θᾶσσον· ὅτε γὰρ τὰ νῦν
Δίκαια πράσσεις, ὅθ' ἃ πρόσθεν εἵρξασαι.

ΧΡΕ. Ὑμῖν ἂν εἴη τήνδε καιρὸς ἐξάγειν
Ἄκουσαν, εἰ θέλουσα μὴ πορεύσεται *.

ΑΝΤ. Οἴμοι τάλαινα, ποῖ φύγω; ποίαν λάβω
Θεῶν ἄρηξιν, ἢ βροτῶν;

ΧΟΡ. Τί δρᾷς, ξένε;

ΚΡΕ. Οὐχ ἅψομαι τοῦδ' ἀνδρὸς, ἀλλὰ τῆς ἐμῆς.

ΟΙΔ. Ὦ γῆς ἄνακτες.

ΧΟΡ. Ὦ ξέν', ὡ δίκαια δρᾷς.

ΚΡΕ. Δίκαια.

ΧΟΡ. Πῶς δίκαια;

ΚΡΕ. Τὰς ἐμὰς ἄγω.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ.

ΑΝΤ. Ἰὼ πόλις.

ΧΟΡ. Τί δρᾷς, ὦ ξέν'; ἐκ ἀφήσεις; τάχ' εἰς
Βάσανον εἶ χερῶν.

ΚΡΕ. Εἶρξα.

* Turn. in marg. πορεύσεται.

857. Τήνδέ λ' ὑ μακρῷ] τὴν Ἀντιγόνην δηλονότι.
858. Ὦ ξένοι] τῷ Χορῷ φησίν.
862. Ὑμῖν ἂν εἴη τήνδε] τὴν Ἀντιγόνην· τοῖς ἀκολούθοις δὲ ἑαυτῷ φησὶν ὁ Κρέων.
866. Τί δρᾷς, ξένε] πρὸς τὸν Κρέοντα ἑλκοντα τὴν Ἀντιγόνην.
867. Ἀλλὰ τῆς ἐμῆς] ἀδελφῆς μου γὰρ θυγάτηρ ἐστίν.
876. Εἶρξα] φυλάττω, χωρίζω.

ΧΟΡ. Σῦ μὲν ἔ· τάδέ γε μωμένω.
ΟΙΔ. Πόλει μάχῃ γὰρ, εἴτι πημαίνεις ἐμέ.
ΧΟΡ. Οὐκ ἠγόρευον ταῦτ' ἐγώ;
ΚΡΕ. Μέθες χεροῖν
Τὴν παῖδα θᾶσσον.
ΧΟΡ. Μὴ 'πίτασσ' ἃ μὴ κραλεῖς.
ΚΡΕ. Χαλᾷν λέγω σοί.
ΧΟΡ. Σοὶ δ' ἔγωγ' ὁδοιπορεῖν.
Προβᾶθ' ὧδε, βᾶτε *, βῶτ' ἐνόπιοι.
Πόλις ἐναίρεται, πόλις ἐμά, σθένει.
Προβᾶτέ μ' ὧδε †.

ΙΑΜΒΟΙ.

ΑΝΤ. Ἀφέλκομαι δύσηνος ‡, ὦ ξένοι, ξένοι.
ΟΙΔ. Πῆ, τέκνον, εἶ μοι;
ΑΝΤ. Πρὸς βίαν πορεύομαι.
ΟΙΔ. Ὄρεξον, ὦ παῖ, χεῖρας.
ΑΝΤ. Ἀλλ' οὐδὲν σθένω.
ΚΡΕ. Οὐκ ἄξεθ' ὑμεῖς;
ΟΙΔ. Ὦ τάλας ἐγὼ, τάλας.
ΚΡΕ. Οὐκεν ποτ' ἐκ τούτοιν γε μὴ σκήπτροιν ἔτι
Ὁδοιπορήσῃς· ἀλλ' ἐαεὶ νικᾶν θέλεις
Παλρίδα τε τὴν σὴν, καὶ φίλους, ὑφ' ὧν ἐγὼ
Ταχθεὶς τάδ' ἔρδω, καὶ τύραννος ὢν ὅμως,
Νίκα· χρόνῳ γὰρ (οἶδ' ἐγὼ) γνώσῃ τάδε,
Ὅθ' ἕνεκ' αὐτὸς αὑτὸν ἔτε νῦν καλὰ
Δρᾷς, ἔτε πρόσθεν εἰργάσω βίᾳ φίλων,

* Ald. Προβᾶθ' ὧδ' ἐμβάτε. † Ald. Προβᾶθ' ὧδέ μοι.
‡ Ald. Ἀφέλκομ', ὦ δύσηνος.

877. σῦ μὲν ἔ] ἐκ ἀπείρξομαι. | 878. Πόλει μάχῃ] ταῖς Ἀθήναις δηλονότι.
906. Πόλει

Ὀργῇ χάριν δὺς, ἥ σ' ἀεὶ λυμαίνεται.
ΧΟΡ. Ἐπίσχες αὐτῦ, ξεῖνε.
ΚΡΕ. Μὴ ψαύειν λέγω.
ΧΟΡ. Οὔτοι σ' ἀφήσω, τῶνδέ γ' ἐςερήμενος.
ΚΡΕ. Καὶ μεῖζον ἆρα ῥύσιον πόλει τάχα
Θήσεις· ἐφάψομαι γὰρ ȣ̓ ταύταιν μόναιν.
ΧΟΡ. Ἀλλ' ἐς τί τρέψῃ;
ΚΡΕ. Τόνδ' ἀπάξομαι λαβών.
ΧΟΡ. Δεινὸν λέγεις.
ΚΡΕ. Ὡς τȣ̃το νῦν πεπράξεται,
Ἢν μή μ' ὁ κραίνων τῆσδε γῆς ἀπειργάθῃ.
ΟΙΔ. Ὦ φθέγμ' ἀναιδὲς, ἦ σὺ γὰρ ψαύσεις * ἐμȣ̃;
ΚΡΕ. Αὔσῶ σιωπᾷν.
ΟΙΔ. Μὴ γὰρ αἵδε δαίμονες
Θεῖέν μ' ἄφωνον τῆσδε γῆς ἀρὰς ἔτι.
Ὅς μ', ὦ κάκιςε, ψιλὸν ὄμμ' ἀποσπάσας
Πρὸς ὄμμασιν τοῖς πρόσθεν ἐξοίχῃ βίᾳ.
Τοιγάρ σε κἀυτὸν, καὶ γένος τὸ σὸν, θεῶν
Ὁ πάντα λεύσσων ἥλιος δοίη βίον
Τοιȣ̃τον οἷον κἀμὲ γηρᾶναι ποτέ.
ΚΡΕ. Ὁρᾶτε ταῦτα, τῆσδε γῆς ἐγχώριοι;
ΟΙΔ. Ὁρῶσι κἀμὲ καί σε. καὶ φρονȣ̃σ' ὅτι
Ἔργοις πεπονθὼς ῥήμασίν σ' ἀμύνομαι.
ΚΡΕ. Οὔτοι καθέξω θυμὸν, ἀλλ' ἄξω βίᾳ,
Κεἰ μȣ̃νός εἰμι, τόνδε, καὶ χρόνῳ βραδύς †.

ΑΝΤΙΣΤΡΟΦΗ.

ΟΙΔ. Ἰὼ τάλας.

* Ald. Ψαύεις. † Turn. βραχὺς.

906. Πόλει τάχα] ταῖς Ἀθήναις.
916. Θεῖέν μ' ἄφωνον] μὴ ἄφωνος γενοίμην εἰς τὸ καταράσθαί σε.
917. Ψιλὸν ὄμμ'] ὄμμα φησὶ τὴν Ἀντιγόνην.
926. Καὶ χρόνῳ βραδὺς] γράφεται καὶ βαρύς.
931. Τάνδ'

ΧΟΡ. Ὅσον λῆμ' ἔχων ἀφίκȣ, ξέν', εἰ
Τάνδε δοκεῖς τελεῖν;
ΚΡΕ. Δοκῶ.
ΧΟΡ. Τάνδ' ἄρ' ȣ̓κέτι νέμω πόλιν.
ΚΡΕ. "Τοῖς τοι δικαίοις, χ' ὡ βραχὺς νικᾷ μέγαν."
ΟΙΔ. Ἀκȣ́εθ' οἷα φθέγγεται;
ΧΟΡ. Τά γ' ȣ̓ τελεῖ.
ΚΡΕ. Ζεὺς ταῦτ' ἂν εἰδείη· σὺ δ' ȣ̓—
ΧΟΡ. Ἆρ' ȣ̓χ ὕβρις τάδ';
ΚΡΕ. Ὕβρις· ἀλλ' ἀνεκτέα.
ΧΟΡ. Ἰὼ πᾶς λεώς· ἰὼ γᾶς τε πρόμοι·
Μόλετε σὺν τάχει, μόλετ'· ἐπεὶ πέραν
Περῶσι δῆτα.

ΤΡΟΧΑΙΟΙ.

ΘΗΣ. Τίς ποθ' ἡ βοή; τί τȣ̓ργον; ἐκ τίνος φόβȣ ποτὲ
Βȣθυτȣ̃ντά μ' ἀμφὶ βωμὸν ἔσχετ' ἐναλίῳ θεῷ,
Τȣ̃δ' ἐπιςάτῃ Κολωνȣ̃; λέξαθ', ὡς ἴδω τὸ πᾶν,
Οὗ χάριν δεῦρ' ᾖξα θᾶσσον ἢ καθ' ἡδονὴν ποδός.

ΙΑΜΒΟΙ.

ΟΙΔ. Ὦ φίλτατ'· (ἔγνων γὰρ τό προσφώνημά σȣ)
Πέπονθα δεινὰ τȣ̃δ' ὑπ' ἀνδρὸς ἀρτίως.

931. Τάνδ' ἄρ' ȣ̓κέτι] ταύτην δ' ἄρα ȣ̓κέτι νομιῷ πόλιν, εἰ σὺ ἀπάξεις τȣ̃τον.

934. Τά γ' ȣ̓ τέλεῖ] ταῦτα ἃ λέγει ȣ̓ πληρώσει.

935. Ζεὺς ταῦτ' ἂν] εἰ τελέσω, Ζεὺς εἰδείη.

937. Ἀλλ' ἀνεκτέα] ἀνεκτέον. Οὕτω γάρ φασι σκαπτέα, φυτευτέα, ἀντὶ τȣ̃, σκαπτέον, φυτευτέον.

941. Τίς ποθ' ἡ βοή] σοφὼς τῇ οἰκονομίᾳ ἐχρήσατο, ὥςε μαθεῖν τὸν Θησέα τὰ γενόμενα, πρὸς ταῖς θυσίαις ὄντα τȣ̃ ἱππείȣ Ποσειδῶνος, ὑπὲρ τȣ̃ μὴ διατριβὴν ἐγγενέσθαι μηνύοντός τινος.

944. Ἧιξα θᾶσσον ἢ] ταχύτερον ἢ ὡς ἔδει βαδίζειν.

Vol. II. Y 954. Θυμά-

ΘΗΣ. Τὰ ποῖα ταῦτα; τίσδ' ὁ πημῆνας; λέγε.
ΟΙΔ. Κρέων ὅδ', ὃν δέδορκας, οἴχεται τέκνων
Ἀποσπάσας μȣ τὴν μόνην ξυνωρίδα.
ΘΗΣ. Πῶς εἶπας;
ΟΙΔ. Οἷάπερ πέπονθ' ἀκήκοας.
ΦΗΣ. Οὔκȣν τὶς ὡς τάχιςα προσπόλων μολὼν
Πρὸς τȣ́σδε βωμȣ̀ς, πάντ' ἀναγκάσει λεὼν,
Ἄνιππον ἱππότην τε θυμάτων ἄπο,
Σπεύδειν ἀπαὶ * ῥυτῆρος, ἔνθα δίςομοι
Μάλιςα συμβάλλȣσιν ἐμπόρων ὁδοὶ,
Ὡς μὴ παρέλθωσ' αἱ κόραι· γέλως δ' ἐμῷ
Ξένῳ γένωμαι τῷδε χειρωθεὶς βίᾳ.
Ἴθ', ὡς ἄνωγα, σὺν τάχει· τȣ̃τον δ' ἐγὼ,
Εἰ μὲν δι' ὀργῆς ἧκον, ἧς ὅδ' ἄξιος,
Ἄτρωτον ȣ̓ μεθῆκ' ἂν ἐξ ἐμῆς χερός·
Νῦν δ', ὥσπερ αὐτὸς τȣ̀ς νόμȣς εἰσῆλθ' ἔχων,
Τȣ́τοισιν, ȣ̓κ ἄλλοισιν, ἁρμοσθήσεται.
Οὐ γάρ ποτ' ἔξει τῆσδε τῆς χώρας πρὶν ἂν
Κείνας ἐναργεῖς δεῦρό μοι ςήσῃς ἄγων,
Ἐπεὶ δέδρακας ȣ̓τ' ἐμȣ̃ καταξίως,
Οὔθ' ὧν πέφυκας αὐτὸς, ȣ̓τε σῆς χθονὸς,

* Ald. ἀπὸ.

954. Θυμάτων ἄπο] ἀπὸ τῶν θυσιῶν· ἀντὶ τȣ̃, ὡς ἔχει σχήματος ἕκαςος.

955. Σπεύδειν ἀπὸ ῥυτῆρος] ἀντὶ τῆς βλαύτης. Τῶν δὲ ἐξηγησαμένων ἁπάντων Πραξιφάνης δοκεῖ ἄμεινον ἀποδιδόναι, ἀκȣ́ων τὸ ὑπόδημα, οἷον τῶν ποδῶν τὸ κάλυμμα.

Ib. Σπεύδειν ἀπαὶ ῥυτῆρος] ἤγȣν, ἀπὸ μιᾶς ὁρμῆς, ἀντὶ τȣ̃, ὡς ἔχει ἕκαςος σχήματος, εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν διωκόντων τινὰς ςρατιώτων, καὶ πάσας ἡνίας χαλώντων ὥςε ταχύτερον φέρεσθαι· ῥυτῆρας γὰρ τȣ̀ς χαλινȣ́ς φασιν, ȣ̓ τὰ ὑποδήματα, ὡς τὰ σχόλια λέγει.

Ib. Ἔνθα δίςομοι] ὡς σχιςῆς ȣ̓σης ὁδȣ̃ ἐκεῖσε.

960. Εἰ μὲν δι' ὀργῆς ἧκον] εἰ μὲν δι' ὀργῆς ἐληλύθειν, ἐν ταύτῃ τῇ ὀργῇ, ἧς ἦν ȣ̓τος ἄξιος.

963. Τȣ́τοισιν, ȣ̓κ ἄλλοισιν] ὡς ἀπὸ ξένης γῆς ἀπέσπασεν, ȣ̓τω καὶ αὐτὸς ἀπὸ ξένης γῆς ἀποσπασθήσεται.

964. Οὐ γάρ ποτ' ἔξει] ȣ̓κ ἀναχωρήσεις γὰρ ἐντεῦθεν πρὶν ἀναγάγῃς τὰς κόρας.

Ὅσις δίκαι᾽ ἀσκῆσαν εἰσελθὼν πόλιν,
Κἄνευ νόμου κραίνουσαν ὀρθῶς, εἶτ᾽ ἀφεὶς
Τὰ τῆσδε τῆς γῆς κύρι᾽, ὧδ᾽ ἐπεισπεσὼν,
Ἄγεις τὰ χρήζεις *, καὶ παρίσασαι βίᾳ·
Καί μοι πόλιν κένανδρον, ἢ δέλην τινὰ
Ἔδοξας εἶναι, καί μ᾽ ἴσον τῷ μηδενί.
Καίτοι σε Θήβαί γ᾽ οὐκ ἐπαίδευσαν κακόν·
Οὐ γὰρ φιλῆσιν ἄνδρας ἐκδίκως τρέφειν·
Οὐδ᾽ ἄν σ᾽ ἐπαινέσειαν, εἰ πυθοίατο
Συλῶντα τἀμά, καὶ τὰ τῶν θεῶν βίᾳ
Ἀγόντα φωτῶν ἀθλίων ἱκτήρια.
Οὔκουν ἔγωγ᾽ ἂν σῆς ἐπεμβαίνων † χθονὸς,
Οὐδ᾽ εἰ τὰ πάντων εἶχον ἐνδικώτατα,
Ἄνευ γε τοῦ κραίνοντος (ὅσις ἦν) χθονὸς,
Οὔθ᾽ εἷλκον, ἔτ᾽ ἂν ἦγον· ἀλλ᾽ ἠπιςάμην
Ξεῖνον παρ᾽ ἀστοῖς ὡς διαῖσθαι χρεών.
Σὺ δ᾽ ἀξίαν ἐκ ἔσαν αἰσχύνεις πόλιν
Τὴν αὐτὸς αὑτοῦ· καί σ᾽ ὁ πληθύνων ‡ χρόνος
Γέροντ᾽ ὀμοῦ τίθησι καὶ τὸ νοῦ κενόν.
Εἶπον μὲν οὖν καὶ πρόσθεν, ἐννέπω δὲ νῦν,
Τὰς παῖδας ὡς τάχιςα δεῦρ᾽ ἄγειν τινὰ,
Εἰ μὴ μέτοικος τῆσδε τῆς χώρας θέλεις
Εἶναι βίᾳ τε κἀχ ἑκών· καὶ ταῦτά σοι

* Ald. Turn. Ἄγεις δ᾽ ἃ χρήζεις.
† Ald. ἐπιβαίνων.
‡ Ald. πληθύων.

971. Καὶ παρίσασαι βίᾳ] ἀντὶ τοῦ, καλαδηλοῖς αὐτὴν βίᾳ, καὶ μεθίσασαι. Εἰώθεσαν δὲ ὕτω λέγειν καὶ ἀντὶ τοῦ ἐφυγάδευσαν. Ἢ μεῖς δ᾽ ἂν εἴποιμεν, μέλες ἠσαν λο, παρεσήσαν λέγησιν. Ἄλλως· Καὶ παρίσασαι βίᾳ, τὸ παρίσασαι, ἴσον ἐςὶ τῷ καλαδηλοῖς, καὶ ὑποχείριον ποιεῖς· καὶ πάλιν παρασήσασθαι τόσδε τινάς φασι, παραφυλάτ λεσθαι. Καὶ δεινοποιεῖ τὰ τοῦ Κρέοντος ὁ Θησεὺς τῇ καλυμένῃ αὐξηλικῇ κεφαλαιώσει, καὶ συνάπλει πολλὰ κεφάλαια.

984. Σὺ δ᾽ ἀξίαν ἐκ ἔσαν] ἐκ ἔσαν ἀξίαν αἰσχύνεσθαι τὴν Θήβην δηλονότι, αἰσχύνεις. αἰσχύνει δὲ παλῄδα πολίτου ἁμαρτία.

989. Εἰ μὴ μέτοικος τῆσδε] ἀντὶ τοῦ, ἔνοικος· ὁ γὰρ αὐτὸ τοῦτο τὸ μέτοικος, ὡς ἡμεῖς φαμὲν, εἴρηται· μέλοικος δὲ καλοῦσι τοὺς ἀπὸ ἑτέρας χώρας μεταβαίνοντας καὶ καλοικοῦντας

Τῷ νῷ θ' ὁμοίως κἀπὸ τῆς γλώσσης λέγω.
ΧΟΡ. Ὁρᾷς ἵν' ἥκεις, ὦ ξέν', ὡς ἀφ' ὧν μὲν εἶ,
Φαίνῃ δίκαιος, δρῶν δ' ἐφευρίσκῃ κακά.
ΚΡΕ. Ἐγὼ ὔτ' ἄνανδρον τήνδε τὴν πόλιν λέγων,
Ὦ τέκνον Αἰγέως, ὔτ' ἄβουλον, ὡς σὺ φῄς,
Τοὔργον τόδ' * ἐξέπραξα· γιγνώσκων δ' ὅτι
Οὐδείς ποτ' αὐτοὺς τῶν ἐμῶν ἂν ἐμπέσοι
Ζῆλος ξυναίμων, ὥς' ἐμοῦ τρέφειν βίᾳ.
Ἤιδειν † δ' ὅθ' οὕνεκ' ἄνδρα καὶ πατροκτόνον
Κἄναγνον ‡ οὐ δεξαίατ', οὐδ' ὅτῳ γάμοι
Ξυνόντες εὑρέθησαν ἀνόσιοι τέκνων.
Τοιοῦτον αὐτοῖς Ἄρεος εὔβουλον πάγον
Ἐγὼ ξυνῄδειν χθόνιον ὄνθ', ὃς οὐκ ἐᾷ
Τοιοῦσδ' ἀλήτας τῇδ' ὁμοῦ ναίειν πόλει·
Ὧι πίστιν ἴσχων, τήνδ' ἐχειρούμην ἄγραν
Καὶ ταῦτ' ἂν οὐκ ἔπρασσον, εἰ μή μοι πικρὰς
Αὐτῷ τ' ἀρὰς ἠρᾶτο καὶ τῷ μῷ γένει·
Ἀνθ' ὧν πεπονθὼς, ἠξίουν τάδ' ἀντιδρᾶν.
" Θυμοῦ γὰρ οὐδὲν γῆράς ἐστιν ἄλλο πλὴν

* Ald. τόγ'. † Ald. Ἤ δη. ‡ Turn. in marg. Κἄνανδρον.

κοῦντας ἐν ἑτέραις. Κέχρηται δὲ καὶ Αἰσχύλος ἐπὶ τῶν οἰώνων, ἐν Ἀγαμέμνονι λέγων οὕτως·

" Τῶνδε μετοίκων."

μετοίκους γὰρ εἶπε τῶν ὑψηλῶν τόπων τοὺς οἰωνοὺς ἐκεῖ, ἀντὶ τοῦ, ἐνοίκους.

994. Ἐγὼ οὔτ' ἄνανδρον] τὴν ῥητορείαν παραφύλαξον, ὅτι τῶν μὲν κατηγορηθέντων αὐτοῦ οὐχ ἅψεται, καινὰ δέ τινα ἐνθυμήματα καὶ πάνυ εὔλογα ἐξευρίσκων ἀντερεῖ.

997. Οὐδείς ποτ' αὐτοὺς] τοὺς Ἀθηναίους.

1000. Οὐδ' ὅτῳ γάμοι] παρόσον αὐτὸς τέκνον ἐστὶ μητέρα γεγαμηκώς.

1002. Τοιοῦτον αὐτοῖς Ἄρεος] ᾔδειν δὲ εὔβουλον ὄντα τὸν Ἄρειον πάγον. Τοῦτον δὲ χθόνιον εἶπεν, οἷον, εὐγενῆ καὶ αὐτόχθονα καὶ ἐγχώριον. Οὐχ ὡς οἱ ἐξηγησάμενοι οἴονται, παρὰ τὸ τοὺς δικαζομένους ἐν αὐτῷ ὑπὸ τὴν χθόνα εἶναι. χθόνιον τοίνυν, τὸν αὐτόχθονα. Λέγοι δ' ἂν τὴν Ἀρεοπαγῖτιν βουλήν· τὸν γὰρ πάγον ὄχθον τινὰ νοητέον· εἴρηται δὲ περὶ τῆς προσηγορίας αὐτοῦ πολλαχοῦ.

1009. Θυμοῦ γὰρ οὐδὲν γῆράς] οἷον, οὐκ ἔστι θυμοῦ κρατῆσαι ἄνθρωπον ὄντα· οὐ καταγηράσκει καὶ ἀποσβέννυται τὸ ὠμὸν τοῦ θυμοῦ, εἰ μὴ ἐξέλθῃ τοῦ βίου ὁ ἄνθρωπος. Ἀδύνατον γάρ ἐστι ζῶντα ἄνθρωπον μὴ θυμῷ χρήσασθαι· τοῦτο δὲ καὶ παροιμιακῶς λέγει, ὅτι ὁ θυμὸς ἔσχατον γηράσκει. Λέγει δὲ διὰ τοὺς πρεσβυτέρους, ὅσῳ γὰρ γηράσκουσι, τὸν θυμὸν ἐρρωμενέστερον ἔχουσι. Καὶ Ἀλκαῖος, ὡς λέγομεν, οὕτω κατὰ κοινοῦ αὐτοῦ μιμνήσκεται.

1015. Ἄ.

" Θανεῖν· θανόντων δ' ὑδὲν ἄλγος ἅπτεται."
Πρὸς ταῦτα πράξεις οἷον ἂν θέλῃς· ἐπεὶ
Ἐρημία με, κεἰ δίκαι' ὅμως λέγω,
Σμικρὸν τίθησι· πρὸς δὲ τὰς πράξεις ὅμως
Καὶ τηλικόσδ' ὢν ἀνδράσιν πειράσομαι.
ΟΙΔ. Ὦ λῆμ' ἀναιδές, τῷ καθυβρίζειν δοκεῖς;
Πότερον ἐμῷ γέροντος, ἢ σαυτῷ τόδε;
Ὅσις φόνως μοι καὶ γάμως καὶ ξυμφορὰς
Τῶν σῶν διῆκας ῥόμαλος, ἃς ἐγὼ τάλας
Ἤνεγκον ἄκων· θεοῖς γὰρ ἦν ἔτω φίλον,
Τάχ' ἄν τι μηνίουσιν εἰς γένος πάλαι *.
Ἐπεὶ καθ' αὑτόν γ' οὐκ ἂν ἐξεύροις ἐμοὶ
Ἁμαρτίας ὄνειδος ὑδέν, ἀνθ' ὅτου
Τάδ' εἰς ἐμαυτὸν τὼς ἐμοὺς θ' ἡμάρτανον.
Ἐπεὶ δίδαξον, εἴτι θέσφατον πατρὶ
Χρησμοῖσιν ἱκνεῖθ', ὥστε πρὸς παίδων θανεῖν,
Πῶς ἂν δικαίως τῆτ' ὀνειδίζοις ἐμοί;
Ὅς ἔτε βλάστας πω † γενεθλίους ‡ πατρὸς,
Οὐ μητρὸς ἔσχον §, ἀλλ' ἀγέννητος τότ' ἦν.
Εἰ δ' αὖ φανεὶς δύσγνος, ὡς ἐγὼ φάνην,
Εἰς χεῖρας ἦλθον πατρί, καὶ κἀξέκτανον,
Μηδὲν ξυνιεὶς ὧν ἔδρων, εἰς ἅς τ' ἔδρων,
" Πῶς γ' ἂν τόγ' ἄκον πρᾶγμ' ἂν εἰκότως ψέγοις;"
Μητρὸς δὲ, τλῆμον, οὐκ ἐπαισχύνῃ γάμους,

* Turn. in marg. πάλιν.
‡ Turn. in marg. γενεθλίω.
† Ald. πῶς.
§ Ald. εἶχον.

1015. Ὦ λῆμ' ἀναιδὲς] εἰκότως τὴν ἀνθυποφορὰν πρὸς τὸν Κρέοντα οὐκ ἀπὸ τῆ Θησέως ποιοῦνται, ἀλλ' ἀπὸ τῆ Οἰδίποδος. Ἡ δὲ αἰτία πρόδηλος. Καὶ ἅμα παραφυλάττε, εἰ καὶ ὅτος πιθανῶς ποιεῖται τὰς ἐπιχειρήσεις· τῷ γὰρ ὄντι ὁ Οἰδίπους (εἴτις ἀκριβῶς ἐξελάζοι) ἄδικος μὲν οὐκ ἔστιν, ἀτυχὴς δὲ καὶ περιπαθής.

1016. Πότερον ἐμῷ, ἢ σαυτῷ τόδε] ἐπεὶ τὴν ἀδελφήν σε λοιδορεῖς.

1020. Μηνίουσιν] ὀργιζομένοις.

1032. Ἄκον πρᾶγμ' ἂν] τὸ ἀκούσιον.

1033. Μητρὸς δὲ, τλῆμον] τὸ ἐξῆς, μητρὸς δὲ γάμους, τλῆμον, ὅσους ὁμαίμων σῶν, ἀναίσχυντε με λέγειν οὐκ ἐπαισχύνῃ;

1056. Λέγειν

Οὔσης ὁμαίμου σῆς, μ' ἀναίκάζων λέγειν;
Οἵας ἐρῶ τάχ'· ἐ γὰρ ἔν σιγήσομαι,
Σὲγ' εἰς τόδ' ἐξελθόνλος ἀνόσιον ςόμα.
Ἔτικλε γάρ μ', ἔτικλεν, (ὦ μοί, μοι κακῶν)
Οὐκ εἰδότ' ἐκ εἰδυῖα· καὶ τεκοῦσά με,
Αὐτῆς ὄνειδος παῖδας ἐξέφυσέ μοι.
Ἀλλ' ἓν γὰρ ἔν ἔξοιδα, σὲ μὲν ἑκόντ' ἐμὲ
Κείνην τε ταῦτα δισομεῖν· ἐγὼ δέ νιν
Ἄκων ἔγημα, φθέγξομαί τ' ἄκων τάδε.
Ἀλλ' ἐ γὰρ ἔτ' ἐν τοῖσδ' ἀκέσομαι κακὸς
Γάμοισιν, ἔθ' ὃς αἰὲν ἐμφέρεις σύ μοι
Φόνυς παλρῴυς, ἐξονειδίζων πικρῶς.
Ἐν γάρ μ' ἄμειψαι μῦνον, ὧν σ' ἀνιςορῶ·
Εἴ τις σε τὸν δίκαιον αὐτίκ' ἐνθάδε
Κτείνοι παραςὰς, πότερα πυνθάνοι' ἂν εἰ
Παλήρ σ' ὁ καίνων, ἢ τίνοι' ἂν εὐθέως;
Δοκῶ μὲν, εἴπερ ζῆν φιλεῖς, τὸν αἴτιον
Τίνοι' ἄν, ἐδὲ τἔνδικον περιβλέποις.
Τοιαῦτα μέλοι κἀὐτὸς εἰσέβην κακὰ,
Θεῶν ἀγόνλων· οἷς ἐγὼ ἐδὲ τὴν παλρὸς
Ψυχὴν ἂν οἶμαι ζῶσαν ἀνλειπεῖν ἐμοί.
Σὺ δ', εἴ γὰρ ἐ δίκαιος, ἀλλ' ἅπαν καλὸν
Λέγειν νομίζων, ῥητὸν ἄῤῥηλόν τ' ἔπος,
Τοιαῦτ' ὀνειδίζεις με τῶνδ' ἐναντίον.
Καί σοι τὸ Θησέως ὄνομα θωπεῦσαι καλὸν,
Καὶ τὰς Ἀθήνας, ὡς καλῴκηνται καλῶς·
Κᾄθ' ὧδ' ἐπαινῶν, πολλὰ τῦδ' ἐκλανθάνῃ,
Ὅθ' ἕνεκ' εἴ τις γῆ θεὸς ἐπίςαται

1056. Λέγειν νομίζων ῥητὸν ἄῤῥηλόν τ' ἔπος] τυλίεσιν, ἀθυρόςομος ἄν.

1061. Ὅθ' ἕνεκ' εἴτις γῆ] ὅτι ἕνεκα, ἐκ παραλλήλυ τὸ αὐτὸ, ὡς τὸ, εἴθ' ὤφελεν· ἀντὶ τοῦ,

Τιμαῖς * σεβίζειν, ἥδε † τῆδ' ὑπερφέρει.
Ἀφ' ἧς σὺ κλέψας τὸν ἱκέτην γέροντ' ἐμὲ
Αὐτόν τε χειρῦ, τὰς κόρας τ' οἴχῃ λαβών.
Ἀνθ' ὧν ἐγὼ νῦν τάσδε τὰς θεὰς ἐμοὶ
Καλῶν ἱκνοῦμαι, καὶ καλασκήπλῳ λιβαῖς
Ἐλθεῖν ἀρωγὰς ξυμμάχυς· ἵν' ἐκμάθῃς.
Οἵων ὑπ' ἀνδρῶν ἥδε φρυρεῖται πόλις.

ΧΟΡ. Ὁ ξεῖνος, ὦ ναξ, χρησὸς αἱ δὲ ξυμφοραὶ
Αὐτῦ πανώλεις, ἄξιαι δ' ἀμυνάθειν.

ΘΗΣ. Ἅλις λόγων· ὡς οἱ μὲν ἐξηρπασμένοι
Σπεύδουσιν, ἡμεῖς δ' οἱ παθόντες, ἔσαμεν.

ΚΡΕ. Τί δῆτ' ἀμαυρῷ ‡ φωτὶ προσάσσεις ποιεῖν;

ΘΗΣ. Ὁδῦ καλάρχειν τῆς ἐκεῖ, πομπὸν δέ με
Χωρεῖν· ἵν' εἰ μὲν ἐν τόποισι τοῖσδ' ἔχεις
Τὰς παῖδας ἡμῶν, αὐτὸς ἐκδείξῃς § ἐμοί·
Εἰ δ' ἐγκραλεῖς φεύγουσιν, ἐδὲν δεῖ πονεῖν.
Ἄλλοι γὰρ οἱ σπεύδοντες, ὃς ἀ μήπολε
Χώρας φυγόντες τῆσδ' ἐπεύχωλαι θεοῖς.
Ἀλλ' ἐξυφηγῦ· γνῶθι δ' ὡς ἔχων ἔχῃ,
Καί σ' εἶλε θηρῶνθ' ἡ τύχη· "τὰ γὰρ δόλῳ
"Τῷ μὴ δικαίῳ κλήματ' ἐχὶ σώζεται."
Κἀκ' ἄλλον ἕξεις εἰς τόδ'· ὡς ἔξοιδά σε
Οὐ ψιλὸν, ἀδ' ἄσκευον ἐς τοσῆνδ' ὕβριν
Ἥκοντα τόλμης τῆς παρεσώσης τανῦν·

* Aldus, Turn. Τιμὰς.
† Aldus, εἰδὲ.
‡ Turn. in marg. ἀφανεῖ.
§ Turn. in marg. ἐνδείξῃ.

τῦ, ἀγνοεῖς τῦτο Κρέων, ὅτι εἴτις χώρα θεὰς ἐπίσαλαι γινώσκειν, ἠπῖται περὶ τὸ φιλόθεον τῆς Ἀτλικῆς.

1071. Οἱ μὲν ἐξηρπασμένοι] οἱ θεράποντες Κρέοντος.

1078. Ἄλλοι γὰρ οἱ σπευδοντες] ἄλλοι γὰρ Ἀθηναῖοι ἐπιδιώκυσιν αὐτές.

1079. Ἐπεύχωλαι θεοῖς] οἷς οἱ θεράποντες.

1086. Ἀλλ'

Ἀλλ' ἔσθ' ὅτῳ σὺ πιςὸς ὢν ἕδρας τάδε *.
Ἃ δεῖ μ' ἀθρῆσαι, μηδὲ τήνδε τὴν πόλιν
Ἑνὸς ποιῆσαι φωτὸς ἀσθενεςέραν.
Νοεῖς τι τούτων, ἢ μάτην τανῦν τέ σοι
Δοκεῖ λελέχθαι, χ' ὥτε ταῦτ' ἐμηχανῶ;
ΚΡΕ. Οὐδὲν σὺ μεμπτὸν ἐνθάδ' ὢν ἐρεῖς ἐμοί·
Οἴκοι δὲ χ' ἡμεῖς εἰσόμεσθ' ἃ χρὴ ποιεῖν.
ΘΗΣ. Χωρῶν ἀπείλει νῦν· σὺ δ' ἡμῖν, Οἰδίπους,
Ἕκηλος αὐτοῦ μίμνε, πιςωθεὶς † ὅτι
Ἢν μὴ θάνω 'γὼ πρόσθεν, οὐχὶ παύσομαι
Πρὶν ἄν σε τῶν σῶν κύριον ςήσω τέκνων.
ΟΙΔ. Ὄναιο, Θησεῦ, τοῦ τε γενναίου χάριν
Καὶ τῆς πρὸς ἡμᾶς ἐνδίκου προμηθείας ‡.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Εἴην ὅθι δαΐων
Ἀνδρῶν τάχ' ἐπιςροφαὶ
Τὸν χαλκοβόαν Ἄρη
Μίξουσιν, ἢ πρὸς Πυθίαις

§ Ald. τόδε. † Ald. πιςηθεὶς. ‡ Ald. προμηθίας.

1086. Ἀλλ' ἔσθ' ὅτῳ σὺ πιςὸς] ἀντὶ τοῦ, πιςεύων. καταςρέφει δὲ ἐπὶ τὸ πεποιθώς.

1099. Εἴην ὅθι δαΐων] ὁ μὲν Κρέων καὶ ὁ Θησεὺς ἀπῆλθον· ὁ δὲ Χορὸς ὑπονοεῖ τὸν Κρέοντα οὐ μόνον ἥκειν, ἀλλὰ μετά τινος χειρὸς, ἣν πλησίον που ἐςρατοπεδευκέναι. Κατὰ τοῦτο οὖν καὶ οἱ τοῦ Χοροῦ προβεβηκότες τὴν ἡλικίαν εὐχὴν ποιοῦνται ταύτην, εἴθε εἴην ὅπου αἱ συμβολαὶ καὶ αἱ μάχαι μέλλουσιν ἔσεσθαι· ὑπονοοῦσι γὰρ τὰ ὅμοια τῷ Θησεῖ περὶ τοῦ Κρέοντος· διὸ καὶ φασὶν, εἴθε ἐπόπτης ἐγενόμην αὐτῶν.

1100. Ἐπιςροφαὶ] ἀναςροφαί.

1101. Τὸν χαλκοβόαν] ςεῤῥόβοαν, μεταλόφωνον.

1102. Ἢ πρὸς Πυθίαις] ἀπὸ κοινοῦ τὸ ἀκταῖς ληπτέον· λέγοι δ' ἂν Πυθίας ἀκτὰς τὸν τοῦ Πυθίου Ἀπόλλωνος βωμὸν τὸν ἐν τῷ Μαραθῶνι, ὅθεν καὶ τὴν θεωρίαν ἔπεμπον. Ἱςορεῖ περὶ τούτων Φιλόχορος ἐν τῇ Τετραπόλει, γράφων οὕτως· "Ὅταν δὲ σημεῖα γένηται παραδεδομένα ἐν τοῖς ἱεροῖς, τότε ἀποςέλλουσι τὴν θεωρίαν οἱ ἐκ τοῦ γένους, Πύθιαι δὲ καὶ Δηλιάδες ὁπότερα ἂν καθήκῃ αὐτοῖς." Θύει δὲ ὁ μάντις, ὅταν μὲν τὰ εἰς Δελφοὺς πόμπιμα γένηται, καὶ θεωρία πέμπηται, ἐν Οἰνόῃ, καθ' ἑκάςην ἡμέραν ἐν τῷ Πυθίῳ· εἰ δὲ εἰς Δῆλον ἀποςέλλοιτο ἡ θεωρία, κατὰ τὰ προειρημένα θύει ὁ μάντις εἰς τὸ ἐν Μαραθῶνι Δήλιον. Καὶ ἔςιν ἱεροσκοπία τῆς

Ἢ λαμπάσιν ἀκταῖς·
Οὗ πότνιαι σεμναὶ τιθη-
νοῦνται τέλη
Θνατοῖσιν, ὧν καὶ χρυσέα
Κληὶς ἐπὶ γλώσσᾳ βέβακεν
Προσπόλων Εὐμολπιδᾶν·
Ἔνθ' οἶμαι τὸν ἐγρεμάχαν *
Θησέα καὶ τὰς διςόλους
Ἀδμήτας ἀδελφὰς †
Αὐτάρκει τάχ' ἐμμίξειν βοᾷ
Τούσδ' ἀνὰ χώρους.

* Ald. Turn. in marg. ὀρειβάταν. † Ald. ἀδελφεὰς.

τῆς μὲν εἰς Δελφοὺς θεωρίας, ἐν τῷ κατὰ τὴν Οἰνόην Πυθίῳ. Τῆς δὲ εἰς Δῆλον, ἐν τῷ κατὰ τὴν Μαραθῶνα Δηλίῳ. Ἄλλως· Ἡ πρὸς Πυθίαις· ὡς ἐπὶ Μαραθῶνα, οὗ τὸ Πύθιόν ἐςιν.

1103. Ἢ λαμπάσιν ἀκταῖς] τὰ ἐν Ἐλευσῖνι τέλη φησί. Καὶ εἴη ἂν λαμπάσιν ἀκταῖς λέγων, ταῖς λαμπαδευμέναις καὶ δαδουχουμέναις καὶ καταλαμπομέναις ὑπὸ τῆς μυςικῆς φλογὸς, και τῶν ἱερῶν δᾴδων· περὶ ὧν Αἰσχύλος φησί·

"Λαμπραῖσιν ἀςραπαῖσι λαμπάδων σθέ-
"νει."

Ἄλλως· Ἀκταῖς περὶ Ἐλευσῖνα, ἀπὸ τῶν αὐτόθι ἐν τοῖς μυςηρίοις λαμπάδων.

1104. Οὗ πότνιαι] αἱ θεσμοφόροι.

Ib. Τιθηνοῦνται] ἐπιμελοῦνται, καὶ ἀξιοῦνται θεραπείας.

1105. Τέλη] τὰς τελετὰς· καὶ Αἰσχύλος·

"Ἔφριξ', ἔρως δὲ τοῦδε μυςικοῦ τέλους."

1106, 1107. Ὧν καὶ χρυσέα Κληὶς] ἐπεὶ ἄῤῥητα τὰ μυςήρια, καὶ καθάπερ κλεισὶν ἡ γλῶσσα κατείληπται ὑπὲρ τοῦ μὴ ἐξενεγκεῖν.

1108. Προσπόλων Εὐμολπιδᾶν] τῶν τετελεσμένων· ζητεῖται δὲ, τί δήποτε οἱ Εὐμολπίδαι τῶν τελετῶν ἐξάρχουσι ξένοι ὄντες· εἴποι δ' ἂν τις ὅτι ἀξιοῦσιν ἔνιοι πρῶτον Εὔμολπον ποιῆσαι τὸν Δηϊόπης τῆς Τριπτολέμου τὰ ἐν Ἐλευσῖνι μυςήρια, καὶ οὗ τὸν Θρᾷκα· καὶ τοῦτο ἱςορεῖν Ἴςρον ἐν τῷ περὶ τῶν ἀτάκτων. Ἀκεσόδωρος δὲ πέμπτον ἀπὸ τοῦ πρώτου Εὐμόλπου εἶναι τὸν τὰς τελετὰς καταδείξαντα, γράφων οὕτως, Κατοικῆσαι δὲ τὴν Ἐλευσῖνα ἱςοροῦσι πρῶτον μὲν τοὺς αὐτόχθονας, εἶτα Θρᾷκας τοὺς μετὰ Εὐμόλπου παραγενομένους πρὸς βοήθειαν εἰς τὸν κατὰ Ἐρεχθέως πόλεμον· τινὲς δέ φασι καὶ τὸν Εὔμολπον εὑρεῖν τὴν μύησιν τὴν συντελουμένην κατ' ἐνιαυτὸν ἐν Ἐλευσῖνι Δήμητρι καὶ Κόρῃ. Ἀνδροτίων μὲν οὖν γράφει οὗ τὸν Εὔμολπον εὑρεῖν τὴν μύησιν, ἀλλ' ἀπὸ τούτου Εὔμολπον πέμπτον γεγονότα· Εὐμόλπου γὰρ γενέσθαι Κήρυκα, τοῦ δὲ Εὔμολπον· τοῦ δὲ, Ἀντίφημον· τοῦ δὲ, Μουσαῖον τὸν ποιητήν· τοῦ δὲ Εὔμολπον τὸν καταδείξαντα τὴν μύησιν, καὶ ἱεροφάντην γεγονότα.

1109. Τὸν ἐγρεμάχαν] γράφεται Ὀρειβάταν· οἱονεῖ, τὸν διὰ τῶν ὀρέων βαίνοντα τῶν προειρημένων χωρίων.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

Ἦ πᾶ τὸν ἐφέσπερον
Πέτρας νιφάδος πελῶ-
σ' Οἰάτιδος ἐκ νομᾶ,
Πώλοισιν ἢ ῥιμφαρμάτοις
Φεύγοντες ἀμίλλαις;
Ἁλώσεται δεινός γ' ὁ προς-
χώρων Ἄρης,
Δεινὰ δὲ Θησειδᾶν ἀκμά.
Πᾶς γὰρ ἀσράπτει χαλινὸς,
Πᾶσα δ' ὁρμᾶται κατ' ἀμ-
πυκλήρια φάλαρα πώλων
Ἄμβασις, οἳ τὰν ἱππίαν
Τιμῶσιν Ἀθάναν,
Καὶ τὸν πόντιον Γαιάοχον,
Ῥέας φίλον υἱόν.

ΣΤΡΟΦΗ Β.

Ἔρδουσιν, ἢ μέλλουσιν; ὡς
Προμνᾶται τί μοι

1114. Ἦ πᾶ τὸν ἐφέσπερον] τὸν Αἰγάλεω φησὶ· καὶ γὰρ τοῦτο ὑπ' ἐσχάτων ἐζὶ τῆ δήμε τούτε· καλαλέγεται δὲ χωρία, παρ' ἃ μάλιςα εἰκάζεσι τὴν συμβολὴν γενέσθαι τοῖς περὶ τὸν Κρέοντα καὶ Θησέα· πέτρας δὲ νιφάδος εἶπ ἂν λέγων τὴν ἔτω λεγομένην λείαν πέτραν, ἢ τὸν Αἰγάλεων λόφον· ἃ δὴ ἐπιχώρια φασὶν εἶναι, καθάπερ Ἴσρος ἐν τῇ πρώτῃ τῶν Ἀτθίδων ἱςορεῖ, ἔτως, ἀπὸ δὲ τῆς χαράδρας ἐπὶ μὲν λείαν πέτραν. Καὶ μετ' ὀλίγα, ἀπὸ τούτε δὲ ἕως Κολωνοῦ παρὰ τὸν χαλκὸν προσαγορευόμενον. Ὅθεν πρὸς τὸν Κηφισὸν ἕως τῆς μυςικῆς εἰσόδε εἰς Ἐλευσῖνα. Ἀπὸ ταύτης δὲ βαδιζόντων εἰς Ἐλευσῖνα τὰ ἐπ' ἀριςερὰ μέχρι τῦ λόφε τῦ πρὸς ἀναλολὰς τῦ Αἰγάλεω. Ἤτοι ὧν τὴν καλυμένην λείαν πέτραν ἢ τὸν Αἰγάλεων λέγει. Ὁ δὲ νῦν, ἆρα ἐπὶ τὸν ἕσπερον χῶρον τῆς λείας πέτρας προσπελάσεσι;

1115. Πελῶσι] γράφεται πελάζεσιν.

1116. Οἰάτιδος ἐκ νομᾶ] σῖα δῆμος τῆς Ἀτθικῆς· ὅθεν καὶ τὸ οἴηθεν· ἐκ νομᾶ δὲ πάλιν, χωρὶς Ἀτθικᾶ ἔτω καλυμένε, ἐν ᾧ νέμεσιν, ὡς νεμήσεως παρακειμένης.

1118. Ὁ πρόσχωρων Ἄρης] ὁ τῶν ἐπιχωρίων.

1121. Δεινὰ δὲ Θησειδᾶν] τῶν Ἀθηναίων· ἁπλέσερον δὲ Θησειδᾶν φησὶ τῶν Ἀτθικῶν τῶν ὑπὸ Θησέα τελαγμένων.

1123. Πᾶσα δ' ὁρμᾶται] τὸ ἑξῆς, πᾶσα δ' ὁρμᾶται ἄμβασις.

1131. Τάχ'

Γνώμα, τάχ' ἂν δώσειν *
Τὰν δεινὰ † τλᾶσαν, δεινὰ δ' εὖ-
ρῦσαν πρὸς αὐθομαίμων πάθη.
Τελεῖ, τελεῖ Ζεύς τι κατ' ‡ ἦμαρ.
Μάλις εἶμ' ἐσθλῶν ἀγώνων. 1135
Εἴθ' ἀελλαία ταχύρ-
ῥωχος πελειὰς
Αἰθερίας νεφέλας
Κύρσαιμ', αὐτῶν δ' ἀγώνων
Θεωρήσασα τέμὸν ὄμμα. 1140

ΑΝΤΙΣΤΡΟΦΗ Β.

Ὦ Ζεῦ § γε παγκράτα || θεῶν,
Παγκόπλα, πόροις
Γᾶς τᾶσδε δαμέντοις
Ἐπινικίῳ σθένει τὸν εὖ-
αγρον τελειῶσαι δὴ λόχον. 1145
Σεμνά τε παῖς Παλλὰς Ἀθάνα,
Καὶ τὸν ἀγρευτὰν Ἀπόλλω,
Καὶ κασιγνήταν πυκνο-
σίκλων ὄπαδὸν
Ὠκυπόδων ἐλάφων, 1150
Στέργω διπλᾶς ἀρωγᾶς |||
Μολεῖν γᾷ τᾷδε καὶ πολίταις.

* Turn. in marg. ἐνδώσειν. † Turn. in marg. πολλά.
‡ Ald. ἄμαρ. § Ald. Ἰὼ Ζεῦ. || Ald. πάγκραχε.
||| Ald. Turn, ἀρωγάς.

1131. Τάχ' ἂν δώσειν] τάχα ἐνδώσει, φησὶν, ὁ Κρέων.

1132. Τὰν δεινὰ τλᾶσαν] τὴν πολλὰ δεινὰ ἀναλᾶσαν. Τὴν παρθένον ἀπὸ τῆς ἑτέρας δηλῶν· ὡς καὶ καλλίερα τῷ ὁμοίῳ σχήματι χρῆται· δύναται δὲ καὶ ἑτέρα πρόσωπα εἶναι, Τὰν δεινὰ τλᾶσαν, δεινὰ δ' εὐρῦσαν, τὰ σὰ δεινὰ δηλονότι.

1151. Στέργω διπλᾶς ἀρωγᾶς] τελέσει, τῇ διπλῇ ἀρωγῇ· τῇ πόλει λέγει καὶ τοῖς πολίταις· νῦν δὲ διὰ τῦ στέργω σημαίνει μὲν οἷον προσίεμαι, τελευτᾷ δὲ εἰς ἴσον τῷ προκαλῦμαι.

ΙΑΜΒΟΙ.

ΧΟΡ. Ὦ ξεῖν' ἀλῆτα, τῷ σκοπῷ μὲν ἐκ ἐρεῖς
Ὡς ψευδόμαντις· τὰς κόρας γὰρ εἰσορῶ
Τάσδ' ἧσσον αὔθις ὧδε προσπολευμένας.
ΟΙΔ. Πῦ, πῦ; τί φῄς; πῶς εἶπας;
ΑΝΤ. Ὦ πάτερ *, πάτερ,
Τίς ἂν θεῶν σοι τόνδ' ἄριστον ἄνδρ' ἰδεῖν
Δοίη τὸν ἡμᾶς δεῦρο προσπέμψαντά σοι;
ΟΙΔ. Ὦ τέκνον, ἦ πάρεσον;
ΑΝΤ. Αἵδε γὰρ χέρες
Θησέως ἔσωσαν, φιλτάτων τ' ὀπαόνων.
ΟΙΔ. Προσέλθετ', ὦ παῖ, παλρὶ, καὶ τὸ μηδαμᾶ
Ἐλπισθὲν ἥξειν σῶμα βασάσαι δότε †.
ΑΝΤ. Αἰτεῖς ἃ τεύξῃ· σὺν πόθῳ γὰρ ἡ χάρις.
ΟΙΔ. Πῦ δῆτα, πῦ 'σον;
ΑΝΤ. Αἵδ' ὁμῦ πελάζομεν.
ΟΙΔ. Ὦ φίλαι' ἔρνη.
ΑΝΤ. Τῷ τεκόνλι πᾶν φίλον.
ΟΙΔ. Ὦ σκῆπτρα φωλός.
ΑΝΤ. Δυσμόρυ τε δύσμορα.
ΟΙΔ. Ἔχω τὰ φίλαι'· ὥδ' ἐτ' ἂν πανάθλιος
Θανὼν ἂν εἴην, σφῶϊν παρεσώσαιν ἐμοί.
Ἐρείσατ', ὦ παῖ, πλευρὸν ἀμφὶ δεξιὸν,
Ἐμφῦτε ‡ τῷ φύσαντι, κἀναπαύσαλον §
Τῦ πρόσθ' ἐρήμυ τῦ τε δυσήνυ πλάνυ.
Καί μοι τὰ πραχθέντ' εἶπαθ' ὡς βράχις', ἐπεὶ

* Ald. Ὦ πάτερ, πάτερ. † Turn. in marg. τόδε.
‡ Turn. in textu, Ἐμφῦσα, in marg. Ἐμφῦτε. § Ald. κἀναπαύσελον.

1181. Ὦ ξεῖνε,

Ταῖς τηλικαῖσδε σμικρὸς ἐξαρκεῖ λόγος.
ΑΝΤ. Ὅδ' ἔσθ' ὁ σώσας· τῆδε χρὴ κλύειν, πάτερ.
Καὶ σοίγε * τέρμον τἠμὸν ἔσαι δὴ βραχύ. 1180
ΟΙΔ. Ὦ ξεῖνε, μὴ θαύμαζε πρὸς τὸ λιπαρές·
Τέκν' ἐμφανέντ' ἄελπτα, μηκύνω λόγον.
Ἐπίσαμαι γὰρ τήνδε σὴν ἐς τάσδέ μοι †
Τέρψιν πάρ' ἄλλε μηδενὸς πεφασμένην·
Σὺ γάρ νιν ἐξέσωσας, ἐκ ἄλλος βροτῶν. 1185
Καί σοι θεοὶ πόροιεν, ὡς ἐγὼ θέλω,
Αὐτῷ τε καὶ γῇ τῇδ'· ἐπεὶ τόγ' εὐσεβὲς
Μόνοις πάρ' ὑμῖν εὗρον ἀνθρώπων ἐγὼ,
Καὶ τἠπιεικὲς, καὶ τὸ μὴ ψευδοσομεῖν.
Εἰδὼς δ', ἀμύνω τοῖσδε τοῖς λόγοις τάδε. 1190
Ἔχω γὰρ ἃ ἔχω διὰ σὲ, κἐκ ἄλλον βροτῶν·
Καί μοι χέρ', ὦ ναξ, δεξιὰν ὄρεξον, ὡς
Ψαύσω, φιλήσω τ', εἰ θέμις, τὸ σὸν κάρα.
Καίτοι τί ‡ φωνῶ; πῶς δ' ἂν ἄθλιος γεγὼς,
Θιγεῖν θελήσαιμ' ἀνδρὸς, ᾧ τις ἐκ ἔνι 1195
Κηλὶς κακῶν ξύνοικος; ἐκ ἔγωγέ σε.
Οὐδ' ἕν ἐάσω· "τοῖς γὰρ ἐμπείροις βροτῶν
"Μόνοις οἷόν τε συλλαλαιπωρεῖν τάδε."
Σὺ δ' αὐτόθεν μοι χαῖρε· καὶ τἀ λοιπά με
Μέλε δικαίως, ὥσπερ ἐς τόδ' ἡμέρας. 1200
ΘΗΣ. Οὔτ' εἴτι μῆκος τῶν λόγων ἔθε πλέον,

* Ald. Καὶ σοί τε. † Ald. τάδέ μοι. ‡ Ald. Καὶ τι τε.

1181. Ὦ ξεῖνε, μὴ θαύμαζε πρὸς τὸ λιπαρές] τὸ ἀρέσκον. ἰδίως ἐσχημάτισε τὸν λόγον, μὴ προσθαύμαζέ με τὸ λιπαρὲς, τὸ λίαν προσκεκαθικὸς τῆς ψυχῆς τοῖς τέκνοις. τὸ δὲ ἐχόμενον ὁ καλαλλήλως εἶπεν· ὁ γάρ φησιν, ἐλπίως φανέντων ἐμοὶ τῶν τέκνων μηκύνω τὸν λόγον, ἀλλὰ τὰ τέκνα φανέντα, εἶτα, μηκύνω τὸν λόγον.

1182. Ἤ, εἰ φανέντ' ἄελπτα μηκύνω λόγον] ἀντὶ τοῦ, πρὸς τὸ κελεύσιμον εἰ μακρηγορήσω.

1200. Μέλε] ἐπιμελοῦ.

1202. Θαυ-

Τέκνοισι τερφθεὶς τοῖσδε, θαυμάσας ἔχω,
Οὐδ' εἰ πρὸ τἀμοῦ πρὸς λαβες τὰ τῶνδ' ἔπη.
Βάρος γὰρ ἡμᾶς ὐδὲν ἐκ τέτων ἔχει.
Οὐ γὰρ λόγοισι τὸν βίον σπεδάζομεν
Λαμπρὸν ποιεῖσθαι μᾶλλον ἢ τοῖς δρωμένοις.
Δείκνυμι δ'· ὧν γὰρ ὤμοσ' ἐκ ἐψευσάμην
Οὐδέν σε, πρέσβυ· τάσδε γὰρ παρειμ' ἄγων
Ὑώσας, ἀκραιφνεῖς τῶν καθηπειλημένων.
Χῴπως ἀγὼν μὲν * ἔτος ἡρέθη, τί δεῖ † 1210
Κομπεῖν, ἄ γ' εἴσῃ κἀυτὸς ἐκ ταύταιν ξυνών;
Λόγον δ' ὃς ἐμπέπλωκεν ἀρίσις ἐμοὶ
Στείχοντι δεῦρο, συμβαλὼν γνώμην· ἐπεὶ
Σμικρὸς μὲν εἰπεῖν, ἄξιος δὲ θαυμάσαι·
" Πρᾶγος δ' ἀτίζειν ὐδὲν' ἀνθρώπων χρεών." 1215
ΟΙΔ. Τίδ' ἔστι, τέκνον Αἰγέως; διδασκέ με,
Ὡς μὴ εἰδότ' αὐτὸν μηδὲν ὧν σὺ πυνθάνῃ.
ΘΗΣ. Φασίν τιν' ἡμῖν ἄνδρα, σοὶ μὲν ἔμπολιν
Οὐκ ὄντα, σωγενῆ δὲ, προσπεσόντα πως
Βωμῷ καθῆσθαι τῷ Ποσειδῶνος, παρ' ᾧ 1220
Θύων ἔκυρον, ἡνίχ' ὡρμώμην ἐγώ.
ΟΙΔ. Ποδαπόν; τί προσχρήζοντα τῷ θακήματι;
ΘΗΣ. Οὐκ οἶδα, πλὴν ἕν· σὲ γὰρ, ὡς λέγουσί μοι,
Βραχύν τιν' αἰτεῖ μῦθον, ἐκ ὄγκε πλέον.
ΟΙΔ. Ποῖόν τιν'; ὐ γὰρ ἥδ' ἔδρα σμικρᾶ λόγε. 1225

* Ald. μὲν ἀγὼν. † Ald. τί δεῖ μάτην.

1202. Θαυμάσας ἔχω] ἀντὶ τοῦ, ἐθαύμασα, Ἀττικῶς.

1215. " Πρᾶγος δ' ἀτίζειν"] ἄνθρωπον δὲ (φησὶν) ὄντα, ὃ δεῖ περάγματα καυίζειν ἀεί.

1218. Φασίν τιν' ἡμῖν ἄνδρα] καθ' ὑπόθεσιν ἰκετεύει ὁ Πολυνείκης πρὸς αὐτὸν παραγενέσθαι καὶ τὸν Οἰδίπουν, καλά τι λόγιον ἐμπεσόν, ὅτι πρὸς ὃν γένοιτο ὁ Οἰδίπους, κρατήσουσι τῆς βασιλείας. τοῦτο οὖν ἀγγέλλει ὁ Θησεύς.

Ib. Σοὶ μὲν ἔμπολιν] ἐν τῇ αὐτῇ πόλει οἰκοῦντα.

1221. Θύων ἔκυρον] ἀντὶ τοῦ, ἐκύρευν. ταὐτὸν δὲ τῷ ἐτύγχανον.

1226. Σοὶ

ΘΗΣ. Σοὶ φασὶν αὐτὸν ἐς λόγους ἐλθεῖν μολόν-
τ' αἰτεῖν ἀπελθεῖν ἀσφαλῶς τῆς δεῦρ' ὁδοῦ.
ΟΙΔ. Τίς δῆτ' ἂν εἴη τήνδ' ὁ προσθακὼν ἕδραν;
ΘΗΣ. Ὅρα κατ' Ἄργος εἴ τις ὑμῖν ἐγγενής
Ἐσθ', ὅστις ἄν σου τοῦτο προσχρῄζοι τυχεῖν.
ΟΙΔ. Ὦ φίλτατ', ἐπίσχες οὗπερ εἶ.
ΘΗΣ. Τί δ' ἐστί σοι;
ΟΙΔ. Μή μου δεηθῇς.
ΘΗΣ. Πράγματος ποίου; λέγε.
ΟΙΔ. Ἔξοιδ' ἀκούων τῶνδ', ὅς ἐσθ' ὁ προστάτης.
ΘΗΣ. Καὶ τίς ποτ' ἐστὶν ὅν γ' ἐγὼ ψέξαιμί τοι;
ΟΙΔ. Παῖς οὐμὸς, ὦ ναξ, στυγνὸς, οὗ λόγων ἐγὼ
Ἄλγιστ' ἂν ἀνδρῶν ἐξανασχοίμην κλύων.
ΘΗΣ. Τί δ'; οὐκ ἀκούειν ἐστὶ, καὶ μὴ δρᾷν ἃ μὴ
Χρῄζεις; τί σοι τοῦτ' ἔστι λυπηρὸν κλύειν;
ΟΙΔ. Ἔχθιστον, ὦ ναξ, φθέγμα τοῦθ' ἥκει πατρί.
Καὶ μή μ' ἀνάγκῃ προσβάλῃς τάδ' εἰκάθειν.
ΘΗΣ. Ἀλλ' εἰ τὸ θάκημ' ἐξαναγκάζει, σκόπει
Μή μοι πρόνοι' ᾖ τοῦ θεοῦ φυλακτέα.
ΑΝΤ. Πάτερ, πιθοῦ μοι, κεἰ νέα παραινέσω.
Τὸν ανδρ' ἔασον τόνδε τῇθ' αὑτοῦ φρενὶ
Χάριν παρασχεῖν, τῷ θεῷ θ' ἃ βούλεται·
Καὶ νῶν ὕπεικε τὸν κασίγνητον μολεῖν·
Οὐ γάρ σε (θάρσει) πρὸς βίαν παρασπάσει

1226. Σοὶ φασὶν αὐτὸν] τὸ ἑξῆς, σοὶ φασὶν αὐτὸν μολόντα αἰτεῖν εἰς λόγους ἐλθεῖν.

1235. Ὁ προστάτης] ὁ ἱκέτης ὁ προσεστηκῶς τῷ βωμῷ.

1237. Παῖς οὐμὸς, ὦ ναξ] πρὸς τὸν Θησέα φησί.

1241. Τοῦθ' ἥκει πατρί] παραγώγως, ἀντὶ τοῦ, ἥκειν.

1245. Πάτερ, πιθοῦ μοι] οὐχ ὡς οὐκ ἂν πεισθησομένου τῷ Θησεῖ τοῦ Οἰδίπου, ὅτως ἐδέησεν αὐτῷ καὶ τῆς ἐκ τῆς θυγατρὸς παρακλήσεως· ἀλλ' αὐξήσεως χάριν καὶ τοῦτο παρειληφε τὸ πρόσωπον ὁ Σοφοκλῆς. ἀμέλει γοῦν πρὸς τὸν Θησέα ἀποκρίνεται, ὡς ἐκείνῳ πεπεισμένος.

1249. Οὐ γάρ σε (θάρσει) πρὸς βίαν παρασπάσει] τὸ ἑξῆς, θάρσει· οὐ γὰρ ἃ μὴ σοὶ συμφέροντα

Γνώμης, ἃ μή σοι συμφέρονθα λέξεθαι.
Λόγων δ' ἀκῦσαι τίς βλάβη; "τά τοι καλῶς
"Εὑρημέν' ἔρθα, τῷ λόγῳ μηνύεθαι."
Ἔφυσας αὐτόν· ὥσε μήτε δρῶνθά σε
Τὰ τῶν κακίσων δυσσεβεσάτων, πάτερ,
Θέμις σέ γ' εἶναι κεῖνον ἀνθιδρᾶν κακῶς,
Ἀλλ' αὐτόν· εἰσὶ χἀτέροις γοναὶ κακαὶ,
Καὶ θυμὸς ὀξύς· ἀλλὰ νεθεθέμενοι
Φίλων ἐπῳδαῖς, ἐξεπάδονθα * φύσιν.
Σὺ δ' εἰς ἐκεῖνα μὴ τανῦν ἀποσκόπει
Πατρῷα καὶ μητρῷα πήμαθ', ἃ 'παθες.
Κἂν κεῖνα λύσῃς, οἶδ' ἐγὼ, γνώσῃ κακῶς
Θυμῷ τελευτὴν, ὡς κακὴ προσγίνεται·
Ἔχεις γὰρ ἃ βίαια τἀνθυμήμαθα,
Τῶν σῶν ἀδέρκτων ὀμμάτων τηλώμενος.
Ἀλλ' ἡμῖν εἶπε· "λιπαρεῖν γὰρ ἃ καλὸν
"Δίκαια προσχρήζουσιν, ὃδ' αὐτὸν μὲν εὖ
"Πάσχειν, παθόνθα δ' ἐκ ἐπίσασθαι τίνειν."
ΟΙΔ. Τέκνον, βαρεῖαν ἡδονὴν νικᾶτέ με
Λέγονθες· ἔγω δ' ἓν ὅπως ὑμῖν φίλον.
Μόνον, ξέν', εἴπερ κεῖνος ὧδ' ἐλεύσεται,
Μηδεὶς κρατείτω τῆς ἐμῆς ψυχῆς πόλε.
ΘΗΣ. Ἄπαξ τὰ τοιαῦτ', ἐχὶ δὶς χρήζω κλύειν,
Ὦ πρέσβυ· κομπεῖν δ' ἐχὶ βέλομαι· σὺ δὲ
Σῶν ἴσθ', ἐάν περ κἀμέ τις σώζῃ θεῶν.

* Turn. in marg. ἐξαπάδονθαι.

συμφέρονθα λέξεθαι, πρὸς βίαν σε παρασπάσει γνώμης. τὸ δὲ λέξεθαι, ἀντὶ τοῦ, λέξει, ὁ Πολυνείκης δηλονότι. Ἄλλως· ὀφείλων εἰπεῖν, ἃ λέξει ὁ Πολυνείκης, λέξεται εἶπε πρὸς τὸ ἃ, ἤγουν, ἃ λεχθήσεται.

1258. Ἐξεπάδονθαι] καθαπραύνονθαι.

1260. Πατρῷα καὶ μητρῷα] τὰ περὶ τὴν πήρωσιν λέγει ἄν· ἐ γὰρ τὰ ἐξ ἀρχῆς πραχθέντα ὀνειδίζει αὐτῷ, ἀλλ' ὑπὸ τῆς ἄγαν ὀργῆς ἀπέβη· τότε γὰρ αὐτὸν ἀπολέσειν βέλεται.

1267. Τίνειν] ἀμείβεσθαι.

1275. Ὅστις

ΕΠΩΔΙΚΑ. ΣΤΡΟΦΗ.

ΧΟΡ. Ὅσις τᾷ πλέονος μέρας
Χρήζει τᾷ μελρίᾳ παρεὶς
Ζώειν, σκαιοσύναν φυλάσσων,
Ἐν ἐμοὶ καλάδηλος ἔσαι.
Ἐπεὶ πολλὰ μὲν αἱ μακραὶ
Ἀμέραι καλέθεν̣το δὴ
Λύπας ἐγγυέρω· τὰ τέρπον-
τα δ' ἐκ ἂν ἴδοις, ὁπό-
τ' ἄν τις ἐς πλέον πέσῃ
Τᾷ θέλονος· ἐδ' ἔπι κόρος
Ἰσόλεκτος Ἄϊδος,
Ὅτε μοῖρ' ἀνυμέναιος,
Ἄλυρος, ἄχορος ἀναπέφνε
Θάναλος ἐς τελευλᾶν.

ΑΝΤΙΣΤΡΟΦΗ.

Μὴ φῦναι τὸν ἄπαυλα νι-
κᾷ λόγον· τὸ δ' ἐπεὶ φανῇ,

1275. Ὅσις τᾷ πλέονος μέρας] καλάδηλός ἐστιν ὁ Χορὸς ἐν ταυτῷ ἀναφωνῶν καὶ ἀλληγορῶν περὶ τῆς τῶν ἀνθρώπων ἀπλησίας· καὶ ἔοικε τῷ Ἡσιόδῳ·

" Νήπιοι οὐδ' ἴσασιν ὅσῳ πλέον ἥμισυ παντὸς."

τείνει δὲ ταῦτα εἰς τὴν δυσπολιμίαν Οἰδίπ.

1282. Ὁπότ' ἄν τις] ὅτε ἄν τις ἐς πλέον πέσῃ τῆ θέλονος, τῆ μελρίᾳ, τῆ ἱκανῆ, τῆ περισσήκονος, ἀφανῆ τὰ τέρποντα γίγνεται, καὶ πᾶσιν ἄδηλα.

1283. Ἐς πλέον πέσῃ] ὁ παύονται, τῆ κόρῳ περὶν εἰς Θάναλον ἔλθωσιν.

1284. Οὐδ' ἔπι κῆρος] γράφεται κόρος· Ταῦτα δὲ καθ' ἑαυτὸν φησὶν ὁ Χορὸς, ὅτι ὁ πλεονεκτεῖν ἐθέλων παρὰ τὸ καίριον καὶ τὸ μέτριον, ἄχορός ἐστιν ἕτος.

1285. Ἰσόλεκτος] ὁμοίως γὰρ ἀποθνήσκουσιν οἱ τοιοῦτοι. τὸ δὲ ἑξῆς δὲ, ἰσόλεκτος Θάναλος· τὰ δὲ ἄλλα, διὰ μέσου. καὶ βῆναι κεῖθεν ὅθεν περ ἥκει, πολὺ δεύτερον, ὡς τάχιστα. Τὸ δ' ὅλον, οὐδὲ ἔπεστιν αὐτοῖς κόρος ἰσόλεκτος τῆς ᾅδου· τότε γὰρ ὁ τοιοῦτος κόρος λαμβάνει τέλος ὅτε ἂν ὁ ᾅδης ἐπέλθῃ.

1287. Ἄλυρος, ἄχορος] ἐπεὶ ἐν θανάτῳ οὐχ ὑμνῶσιν, ἢ μετὰ θάναλον· οἱ τοιοῦτοι οὐχ ὑμνῶνται.

1289. Μὴ φῦναι, τὸν ἄπαυλα] πάνυ ἄριστον ἀνθρώποις τὸ μὴ φῦναι· παρὰ τὸ λεγόμενον, " Ἀρχὴν μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον."

1290. Τὸ δ' ἐπεὶ φανῇ] τοῦτο δὲ τὸ ἑξῆς ἐπεὶ

Βῆναι κεῖθεν ὅθεν περ ἥκει,
Πολὺ δεύτερον, ὡς τάχιστα.
Ὡς εὖτ' ἂν τὸ νέον παρῇ
Κῦφας ἀφροσύνας φέρον,
Τίς πλάγχθη πολύμοχθος ἔξω; 1295
Τίς δ' καμάτων ἔνι;
Φόνοι, ςάσεις, ἔρις, μάχαι,
Καὶ φθόνος· τό, τε καλάμεμπλον
Ἐπιλέλοιχε πύμαλον
Ἀκραλές, ἀπροσόμιλον 1300
Γῆρας ἄφιλον, ἵνα πρόπαλα
Κακὰ κακῶν ξυνοικεῖ.

ΕΠΩΔΟΣ.

Ἐν ᾧ τλάμων ὅδ' οὐκ ἐγὼ μόνος·
Πάντοθεν Βόρειος ὡς τις ἀκτὰ
Κυμάτοπλήξ χειμερία κλονεῖται. 1305
Ὡς καὶ τόνδε καλάκρας
Δειναὶ κυμάτοαγεῖς
Ἄται κλονέουσιν ἀεὶ ξυνέσαι·
Αἱ μὲν ἀπ' ἀελίου
Δυσμᾶν, αἱ δ' ἀναλέλ- 1310
λυθος, αἱ δ' ἀνὰ μέσσαν
Ἀκτῖν, αἱ δὲ νυχίαν ἀπὸ ῥιπᾶν.

ἐπὶ δὲ φανῇ, τὸ βῆναι ἐκεῖθεν ὅθεν περ ἥκει, ὡς τάχιστα, παραπολὺ τῶν ἄλλων δεύτερόν ἐςιν ἐκεῖνα τῇ μὴ φῦναι καθόλα.

1293. Ὡς εὖτ' ἂν τὸ νέον παρῇ] ὡς ἡνίκ' ἂν νηπιότης παρῇ (ταύτας γάρ φησι κῦφας ἀφροσύνας) ἐδὲν ἐπιλογίζεται τῶν δεόντων. ἰδίως δὲ αὐτὸ ἐξήνεγκεν, ὡς εἰ ἔλεγε, τῷ γὰρ νέῳ ἀφροσύνη πύρεσι.

1295. Τίς πλάγχθη πολύμοχθος ἔξω] τοῦτο ἰδίως ἐξήνεγκε· βούλεται δέ τι καὶ τοιοῦτον σημαίνειν, τίς ἂν πλαγχθείη τῶν πολλῶν μόχθων; ἤγουν, τίς ἔξω τῶ πολύμοχθος εἶναι ἐπλανήθη;

1296. Τίς δ' καμάτων ἔνι] ταῦτα ἐρωτηματικῶς εἴρηται κατὰ τοιαύτην ὑπόκρισιν καθ' ἣν ἐμφαίνεται. πρότερον μὲν, ὅταν εἴπῃ, τίς πλάγχθη τῶν μόχθων τῶν πολλῶν, ὑπακουομένῳ τῷ ἐδείς· πάλιν δὲ, ὅταν ἐξῆς ἐπιζεύξῃ, τίς δ' καμάτων ἔνι, τὸ πᾶς· βούλεται γὰρ καὶ τῶν κατὰ τὸ ὅμοιον λέγειν, ἐδεὶς ἐς κάμαλός ὃς οὐκ ἐνέςιν.

1312. Αἱ δὲ νυχίαν ἀπὸ ῥιπᾶν] τὰ ἀπὸ τῶν

ΙΑΜΒΟΙ.

ΑΝΤ. Καὶ μὴν ὅδ' ἡμῖν, ὡς ἔοικεν, ὁ ξένος
Ἀνδρῶν γε μέγος, ὦ πάτερ, δι' ὄμμαλος
Ἀσακτὶ λείβων δάκρυον ὧδ' ὁδοιπορεῖ.
ΟΙΔ. Τίς ἔτος;
ΑΝΤ. Ὅνπερ καὶ πάλαι καλείχομεν
Γνώμῃ, πάρεσι δεῦρο Πολυνείκης ὅδε.
ΠΟΛ. Οἴμοι, τί δράσω; πότερα ταμαυτῆ κακὰ
Πρόσθεν δακρύσω, παῖδες, ἢ τὰ τῆδ' ὁρῶν
Παλῳὸς γέροντος, ὃν ξένης ἐπὶ χθονὸς
Ξὺν σφῶϊν ἐφεύρηκ' ἐνθάδ' ἐκβεβλημένον,
Ἐσθῆτι σὺν τοιᾶδε· τῆς ὁ δυσφιλὴς
Γέρων γέροντι συγκαλῴκηκεν πόνος
Πλευρὰν μαραίνων· κρατὶ δ' ὀμμαλοσερεῖ
Κόμη δι' αὔρας ἀκλένιστος αἴσσεται.
Ἀδελφὰ δ', ὡς ἔοικε, τάτοισιν φορεῖ,
Τὰ τῆς ταλαίνης νηδύος θρεπτήρια·
Ἃ γὼ πανώλης ὄψ' ἄγαν ἐκμανθάνω *·
Καὶ μαρῳυρῶ κάκιστος ἀνθρώπων τροφαῖς
Ταῖς σαῖσιν ἥκειν, τἄλλα μὴ ξ ἄλλων πύθῃ †.
Ἀλλ' ἔσι γὰρ καὶ Ζηνὶ σύνθακος θρόνων
Αἰδὼς ἐπ' ἔργοις πᾶσι, καὶ πρὸς σοί, πάτερ,
Παρασαθήτω· " τῶν γὰρ ἡμαρτημένων

* Turn. ἄγαν γ' ἐκμανθάνω. † Turn. πύθῃ.

τῶν ὁρῶν φησὶ τῶν προσαγορευομένων ῥιπῶν· ἃ τινες καλοῦσι ῥιπαῖα ὄρη. λέγει δὲ αὐτὰ ἐνύχια διὰ τὸ πρὸς τῇ δύσει κεῖσθαι· μέμνηται δὲ καὶ Ἀλκμὰν, λέγων ἔτως, Ῥιπᾶς ὄρος ἔνθεον, ὕλας νυκτὸς μελαίνας σέρνον. καὶ ἐν Ἰλιάσιν Αἰσχύλος·

" Ῥιπαὶ μὲν δὴ πολιός."——

1319. Οἴμοι, τί δράσω] παραφυλάττει πάλιν τὴν τέχνην τῆς ῥήσεως αὐτῇ, ὅτι οὐκ εὐθέως ἐπὶ τὴν ὑπόθεσιν αὐτῇ ἀπαλλᾷ, ἀλλὰ προκαλασκευάζει τὰ ὅλα εἰς εὔνοιαν.

1327. Ἀδελφὰ δ', ὡς ἔοικε] κοινὰ δὲ τάτοις, ὡς ἔοικε, γίγνεται.

1334. Τῶν γὰρ] γνωμικόν.

" Ἀκη μέν ἐσι, προσφορὰ δ' ὐκ ἔς' ἔτι." 1335
Τί σιγᾷς;
φώνησον, ὦ πάτερ, τὶ· μή μ' ἀποστραφῇς·
Οὐδ' ἀνλαμείβῃ μ' ὐδέν, ἀλλ' ἀτιμάσας
Πέμψεις ἄναυδος, ὐδ' ἃ μηνίεις φράσας;
Ὦ σπέρμα] ἀνδρὸς τοῦδ', ἐμαὶ δ' ὁμαίμονες, 1340
Πειράσα] ἀλλ' ὑμεῖς γε κινῆσαι πάρος
Τὸ δυσπρόσοισον καὶ προσήγορον σομα,
Ὡς μὴ μ' ἄτιμον * τῷ θεῷ γε προσάτην
Οὕτως ἀφῇ † γε μηδὲν ἀνλειπὼν ἔπος.
ΑΝΤ. Λέγ', ὦ ταλαίπορ', αὐτὸς ὢν χρείᾳ πάρει. 1345
" Τὰ πολλὰ γάρ τοι ῥήματ', ἢ τέρψανλά τι,
" Ἢ δυσχεράνα], ἢ καλοικλίσανλά πως,
" Παρέσχε φωνὴν τοῖς ἀφωνήτοις τινά."
ΠΟΛ. Ἀλλ' ἐξερῶ· καλῶς γὰρ ἐξηγῇ σύ μοι,
Πρῶτον μὲν αὐτὸν τὸν θεὸν προϊέμενος 1350
Ἀρωγὸν, ἔνθεν μ' ὧδ' ἀνέσησεν μολεῖν
Ὁ τῆσδε τῆς γῆς ‡ κοίρανος, διδοὺς ἐμοὶ
Λέξαι τ' ἀκοῦσαί τ' ἀσφαλεῖ ξὺν ἐξόδῳ.
Καὶ ταῦτ' ἀφ' ὑμῶν, ὦ ξένοι, βελήσομαι,
Καὶ ταῖνδ' ἀδελφαῖν, καὶ πάλαι κυρεῖν ἐμοί.
Ἃ δ' ἦλθον, ἤδη § σοὶ θέλω λέξαι, πάτερ. 1356
Γῆς ἐκ πατρῴας ἐξελήλαμαι φυγάς,
Τοῖς σοῖς πανάρχοις ὕνεκ' ἐνθακεῖν θρόνοις
Γονῇ πεφυκὼς ἠξίουν γεραίτερα.

* Ald. μήτ' ἄτιμον.
† Ald. Οὕτως μ' ἀφῇ.
‡ Ald. Ὁ τῆσδε γῆς.
§ Turn. in marg. ἆδε.

1335. Προσφορὰ δ' ὐκ ἔς' ἔτι] ἐπανάληψις, ἀντὶ τοῦ, ἀναλέσασθαι αὐτὰ καὶ ἀναλῦσαι οὐκ ἔτι.
1342. Τὸ δυσπρόσοισον] τὸ δυσπροσπέλασον.
1356. Ἃ δ' ἦλθον, ἤδη] λείπει ἡ διὰ, ἵν' ᾖ δι' ἃ ἦλθον.

1376. Ξὺν

Ἀνθ' ὧν μ' Ἐτεοκλῆς ὢν φύσει νεώτερος,
Γῆς ἐξέωσεν, ἔτε νικήσας λόγῳ,
Οὔτ' εἰς ἔλεγχον χειρὸς οὔτ' ἔργῳ μολὼν,
Πόλιν δὲ πείσας· ὧν ἐγὼ μάλιστα μὲν
Τὴν σὴν Ἐριννὺν αἰτίαν εἶναι λέγω,
Ἔπειτα κἀπὸ μάντεων ταύτῃ * κλύων.
Ἐπεὶ γὰρ ἦλθον Ἄργος ἐς τὸ Δωρικὸν,
Λαβὼν Ἄδραστον πενθερὸν, ξυνωμότας
Ἔσησ' ἐμαυτῷ γῆς ὅσοιπερ Ἀπίας
Πρῶτοι καλεῖσθαι, καὶ τελεῖσθαι δορί.
Ὅπως τὸν ἑπτάλοχον εἰς Θήβας στόλον
Ξὺν τοῖσδ' ἀγείρας ἢ θανοῦμαι πανδίκως,
Ἢ τὸς τάδ' ἐκπράξαντας ἐκβάλοιμι γῆς.
Εἶεν· τί δῆτα νῦν ἀφιγμένος κυρῶ;
Σοὶ προσροπαίσας, ὦ πάτερ, λιτὰς ἔχων,
Αὐτός γ' ἐμαυτῷ ξυμμάχων τε τῶν ἐμῶν,
Οἳ νῦν ξὺν ἑπτὰ τάξεσι, ξὺν ἑπτά τε
Λόγχαις, τὸ Θήβης πεδίον ἀμφεζᾶσι πᾶν.
Οἷος δορύσσως Ἀμφιάρεως, ταπρῶτα μὲν
Δορὶ κραιπνύων, πρῶτα δ' οἰωνῶν ὁδοῖς,
Ὁ δεύτερος δ' Αἰτωλὸς Οἰνέως τόκος
Τυδεύς· τρίτος δ' Ἐτέοκλος Ἀργεῖος γεγώς·
Τέταρτον Ἱππομέδοντ' ἀπέστειλεν πατὴρ
Ταλαός· ὁ πέμπτος δ' εὔχεται καλασκαφῇ
Καπανεὺς τὸ Θήβης ἄστυ δηώσειν τάχα †·
Ἕκτος δὲ Παρθενοπαῖος Ἀρκὰς ὄρνυται,

* Turn. in marg. ταύτην. † Turn. in marg. πυρί.

1376. Ξὺν ἑπτά τε λόγχαις] Ἕκαστον σύστημα ἑνικῶς ὀνομάζει λόγχην, ὡς εἴτις ἐπὶ πολλῶν ἵππων εἴποι τὴν ἵππον.

1385. Ἕκτος δὲ Παρθενοπαῖος] ἔνιοι δὲ τὸν Ἀταλάντης Παρθενοπαῖον φασι στρατεῦσαι, ἀλλὰ τὸν Ταλαΐ, ὃν ἔνιοι διὰ τὸ Κ Καλαὸν προσαγορεύουσι,

Ἐπώνυμος τῆς πρόσθεν ἀδμήτης χρόνῳ
Μήτρὸς λοχευθεὶς πισὸς Ἀταλάντης γόνος.
Ἐγὼ δὲ σὸς, κεἰ μὴ σὸς, ἀλλὰ τῦ κακῦ
Πότμυ φυτευθεὶς, σὸς γέ τοι καλέμενος,
Ἄγω τὸν Ἄρτες ἄφοβον ἐς Θήβας τραλόν. 1390
Οἵ σ' ἀντὶ παίδων τῶνδε καὶ ψυχῆς, πάτερ,
Ἱκετεύομεν ξύμπανες ἐξαιτέμενοι,
Μῆνιν βαρεῖαν εἰκάθειν ὁρμωμένῳ
Τῷδ' ἀνδρὶ τέμυ πρὸς κασιγνήτε τίσιν,
Ὅς μ' ἐξέωσε *, κἀπεσύλησεν πάτρας. 1395
Εἰ γάρ τι πιτόν ἐσιν ἐκ χρησηρίων,
Οἷς ἂν σὺ προσθῇ, τοῖσδ' ἔφασκ' εἶναι κράτος †.
Πρὸς, νῦν σε, κρηνῶν, πρὸς ‡ θεῶν ὁμογνίων,
Αἰτῶ πιθέσθαι, καὶ παρεικάθειν· ἐπεὶ
Πτωχοὶ μὲν ἡμεῖς, καὶ ξένοι, ξένος δὲ σύ. 1400
Ἄλλυς δὲ θωπεύονλες οἰκῆμεν, σύ τε
Κἀγὼ, τὸν αὐτὸν δαίμον' ἐξειληφότες.
Ὁ δ' ἐν δόμοις τύραννος, ὦ τάλας ἐγὼ,
Κοινῇ καθ' ἡμῶν ἐγγελῶν ἀβρύνεται.
Ὃν, εἰ σὺ τῇ μὴ ξυμπαραςήσεις φρενὶ, 1405
Βραχεῖ σὺν ὄγκῳ καὶ πόνῳ διασκεδῶ·
Ὡς' ἐν δόμοισι τοῖσι σοῖς ςήσω σ' ἄγων,
Στήσω δ' ἐμαυτὸν, κεῖνον ἐκβαλὼν βίᾳ.
Καὶ ταῦτα, σῆ μὲν ξυνθέλονλος, ἐσί μοι

* Ald. ἐξέωσεν. † Turn. in marg. κράτη.
‡ Turn. in marg. καὶ.

αἰρετύθησι, καθάπερ Ἀρίσαρχος ὁ Τελεάτης καὶ Φιλοκλῆς ἱσορεῖσιν· συγγραφέων δὲ, Ἑκαταῖος ὁ Μιλήσιος.

1386. Ἐπώνυμος τῆς πρόσθεν] παρὰ τὸ παρθένος ἔτω κληθείς.

1394. Τῷδ' ἀνδρὶ] δεικλικῶς, καὶ ἔσι πυκνὸν ἐν τῷ ταυτῳ Σοφοκλῆς.

1398. Πρὸς, νῦν σὲ, κρηνῶν] παθηλικόν ἐσι τὸ πρὸς παίδων κρηνῶν ὁρκεῖν· ὡς εἰ ἔφη, πρὸς τῶν ἐκθρεψάντων σε ὑδάτων.

1411. Τὸν

Κομπεῖν· ἄνευ σῦ δ' οὐδὲ σωθῆναι σθένω.
ΧΟΡ. Τὸν ἄνδρα, τῦ πέμψαντος ἕνεκ', Οἰδίπυ,
Εἰπὼν ὁποῖα ξύμφορ', ἔκπεμψαι πάλιν.
ΟΙΔ. Ἀλλ' εἰ μέν, ἄνδρες, τῆσδε δημόχος χθονὸς
Μὴ τύγχαν' αὐτὸν δεῦρο προσπέμψας ἐμοὶ
Θησεύς, δικαιῶν ὥς' ἐμῦ κλύειν λόγυς,
Οὔτ' ἂν ποτ' ὀμφῆς τῆς ἐμῆς ἐπήσθετο·
Νῦν δ' ἀξιωθεὶς εἶσι, κἀκύσας γ' ἐμῦ
Τοιαῦθ', ἃ τὸν τῆδ' ἔπος' εὐφρανεῖ βίον.
Ὃς γ', ὦ κάκιστε, σκῆπτρα καὶ θρόνυς ἔχων
Ἃ νῦν ὁ σὸς ξύναιμος ἐν Θήβαις ἔχει,
Τὸν αὐτὸς αὑτῦ πάλαι τόνδ' ἀπήλασας,
Κἀθηκας ἄπολιν, καὶ σολὰς ταύτας φορεῖν *,
Ἃς νῦν δακρύεις εἰσορῶν, ὅτ' ἐν πόνῳ
Ταὐτῷ βεβηκὼς τυγχάνεις κακῶν ἐμοί.
Οὐ κλαυτὰ † δ' ἐστὶν, ἀλλ' ἐμοὶ μὲν οἰκέα
Τάδ', ὥσπερ ἂν ζῶ σῦ φονέως μεμνημένος.
Σύ γάρ με μόχθῳ τῷδ' ἔθηκας εὑρέσθαι,
Σύ μ' ἐξέωσας· ἐκ σέθεν δ' ἁλώμενος,
Ἄλλυς ἐπαιλῶ τὸν καθ' ἡμέραν βίον.
Εἰ δ' ἐξέφυσα τάσδε μὴ μαυλῷ τροφὲς
Τὰς παῖδας, ἦ τ' ἂν οὐκ ἂν ἦν, τὸ σὸν μέρος·
Νῦν δ' αἵδε μ' ἐκσώζυσιν, αἵδ' ἐμαὶ τροφοὶ,
Αἵδ' ἄνδρες, οὐ γυναῖκες, εἰς τὸ ξυμπονεῖν.
Ὑμεῖς δ' ἀπ' ἄλλυ, κοὐκ ἐμῦ, πεφύκαλον.

* Turn. in marg. φέρειν. † Ald. κλαυσὰ.

1411. Τὸν ἄνδρα, τῦ πέμψαντος] ἤρξαλο πάλιν ὁ Χορὸς χρηςόν τι συμβελεύειν.
1415. Θησεὺς, δικαιῶν] δίκαιον κρίνων.
1419. Ὃς γ', ὦ κάκιστε] δαιμονίως τῇ ἀποσοφῇ χρῆται ἀπὸ τῦ Χορᾶ ἐπὶ τὸν Πολυνείκην ὁ Οἰδίπυς· παραφύλαξον δὲ πῶς οἱ αὐτοὶ τῶν λόγων γίγνοιλαι τῶν μὲν Θηβαίων ἐγκλήμιον, τότε δὲ καληγόρημα.

Τοιγάρ σ' ὁ δαίμων νῦν ὁρᾷ * μὲν ἔτί πω
Ὡς αὐτίκ', εἴπερ οἵδε κινεῖσθαι λόχοι
Πρὸς ἄστυ Θήβης· ἐ γάρ ἐσθ' ὅπως πόλιν
Κείνην ἐρείψεις †· ἀλλὰ πρόσθεν αἵματι
Πεσῇ μιανθείς, χ', ᾧ ξύναιμος ἐξίσω.
Τοιάσδ' ἀρὰς σφῶϊν πρόσθέ τ' ἐξανῆκ' ἐγὼ,
Νῦν τ' ἀνακαλοῦμαι ξυμμάχους ἐλθεῖν ἐμοὶ,
Ἵν' ἀξιῶτον τὸν φυτεύσαντα σέβειν,
Καὶ μὴ ξαλιμάζηλον, εἰ τυφλὸς πατρὸς
Τοιῶδ' ἔφυλον· οἵδε γὰρ τάδ' ἐκ ἔδρων.
Τοιγὰρ τὸ σὸν θάκημα καὶ τὰς σὰς θρόνους
Κραῖσιν, εἴπερ ἐσιν ἡ παλαίφατος
Δίκη ξύνεδρος Ζηνὸς, ἀρχαίος νόμος.
Σύ δ' ἔρρ' ἀπόπτυστός τε, κἀπάτωρ ἐμοῦ,
Κακῶν κάκιστε, τάσδε συλλαβὼν ἀρὰς,
Ἃς σοι καλοῦμαι, μήτε γῆς ἐμφυλίᾳ
Δορὶ κρᾶναι, μήτε νοσῆσαί πόλει
Τὸ κοῖλον Ἄργος, ἀλλὰ συγγενεῖ χερὶ

* Ald. εἰσορᾷ. † Ald. ἐρεῖ τις.

1440. Τοιάσδ' ἀρὰς] τοῦτο ἀπαξάπαντες οἱ περὶ ἡμῶν παραλελοίπασιν. ἔχει δὲ τὰ ἀπὸ τῆς ἱστορίας ἕτως· οἱ περὶ Ἐτεοκλέα καὶ Πολυνείκην δι' ἔθους ἔχοντες τῷ πατρὶ Οἰδίποδι πέμπειν ἐξ ἑκάστου ἱερεῖα μοῖραν τῶν ὤμων, ἐκλαθόμενοι ποτὲ εἴτε κατὰ ῥᾳθυμίαν, εἴτε ἐξ ὀτιοῦν ἰσχίον αὐτῷ ἔπεμψαν· ὁ δὲ μικροψύχως καὶ τελέως ἀγενῶς ἄρας ἔθελο κατ' αὐτῶν, δόξας καλολιωρεῖσθαι. Ταῦτα ὁ τὴν κυκλικὴν Θηβαΐδα ποιήσας ἱστορεῖ ἤτοι, Ἰσχίον ὡς ἐνόησε, χαμαὶ βάλεν, εἶπέ τε μῦθον, Ὦμοι ἐγὼ, παῖδές με ὀνειδείοντες ἔπεμψαν. Εὔκλο Διὶ βασιλῆϊ καὶ ἄλλοις ἀθανάτοισι, Χερσὶν ὑπ' ἀλλήλων καλαβήμεναι ἀΐδος εἴσω· τὰ δὲ παραπλήσια τῷ ἐποποιῷ καὶ Αἰσχύλος ἐν τοῖς Ἑπτὰ ἐπὶ Θήβαις. καὶ ἔοικε τὰ τῆς ἱστορίας ἥκειν ἐπὶ πολλούς· ὡς καὶ παρά τινι ἐκλεθῆναι αὐτὰ πρὸς τὸ γελοιότερον διὰ τῶτων, Ἀεὶ δ' ὀρῶντί γ' ὀξὺ, εἰ καὶ τυφλὸς ἦν. Θυσίας γὰρ ἀπαρχὰς γέρας ἐπέμποντο παῖδες, Περισσὸν ὦμον, ἔκκριτον γέρας· τὸ δὲ Αὐτοί γε συγκόψαντες ἀ μεμνημένοι, Λήσειν δοκοῦντες, ἀντὶ τῦ κεκομμένου Ἐπέμψαμεν βόειον· ὁ δὲ λαβὼν χερὶ, Ἔγνω γ' ἐπαφήσας. εἶπέ τ' ἐκ Τοιῶδε τάδε, Τίς μοῖ τόδ' ἀνθόμοιον μισητὸν κρέας Πέμπει; γέλων δὴ ταμὰ ποιοῦσιν κόροι, Θύοντες ὕβρει· τυφλὸς ἔτοι γνώσεσθαι, Οὕτω λέγοντες, ὦ θεοὶ μαρτύρομαι Ἐγὼ τάδ' ὑμᾶς, καὶ καλεύχομαι κακὰ Αὐτοῖσιν, αὐτὰς τῶνδε δὶς τόσα σχέθειν. Χαλκῷ δὲ μαρμαίροντες ἀλλήλων χρόα Σφάξοιεν ἀμφὶ κλήμασιν τοῖς βασιλικοῖς. καὶ Μέναγδρος, ἐν Ναυκλήροις· "Ὁ τε Πολυνείκης "πῶς ἀπώλετ' ἐχ ὁρᾷς;"

1464. Ὦμοι,

Θανεῖν, κλανεῖν θ' ὑφ' ἕπερ ἐξελήλασαι.
Τοιαῦτ' ἀρῶμαι, καὶ καλῶ * τὲ Ταρτάρε
Στυγνὸν πατρῷον Ἔρεβος, ὡς σ' ἀποικίσῃ· 1455
Καλῶ δὲ τάσδε δαίμονας· καλῶ δ' Ἄρη,
Τὸν σφῶϊν τὸ δεινὸν μῖσος ἐμβεβληκότα.
Καὶ ταῦτ' ἀκέσας εἶχε· κἀξάγγελλ' ἰὼν
Καὶ πᾶσι Καδμείοισι, τοῖς σαυτὲ θ' ἅμα
Πιστοῖσι συμμάχοισιν, ἕνεκ' Οἰδίπους 1460
Τοιαῦτ' ἔνειμε παισὶ τοῖς αὑτὲ γέρα.

ΧΟΡ. Πολύνεικες, ἔτε ταῖς παρελθέσαις ὁδοῖς
Ξυνήδομαί σοι, νῦν τ' ἴθ' ὡς τάχος πάλιν.

ΠΟΛ. Οἴμοι κελεύθε, τῆς τ' ἐμῆς δυσπραξίας,
Οἴμοι δ' ἑταίρων· οἷον ἆρ' ὁδὲ τέλος 1465
Ἄρτι ἀφωρμήθημεν· ὦ τάλας ἐγώ·
Τοιοῦτον οἷον ἐδὲ φωνῆσαί τινα
Ἔξεσθ' ἑταίρων, ἐδ' ἀποστρέψαι πάλιν,
Ἀλλ' ὄνῃ ἄναυδον τῆδε συγκύρσαι τύχῃ.
Ὦ τεῦδ' ὄμαιμοι παῖδες, ἀλλ' ὑμεῖς ἐπεὶ 1470
Τὰ σκληρὰ πατρὸς κλύετε τεῦδ' ἀρωμένου,
Μή τοι με πρὸς θεῶν, σφῶϊν γ' ἂν αἱ τεῦδ' ἀραὶ †
Πατρὸς τελῶνται, καί τις ὑμῖν ἐς δόμους
Νόσος γένηται, μή μ' ἀτιμάσητέ γε,
Ἀλλ' ἐν τάφοισι θέσθε καὶν κληρίσμασι. 1475
Καὶ σφῶϊν ὁ νῦν ἔπαινος, ὃν κομίζετον
Τεῦδ' ἀνδρὸς οἷς πονεῖτον, ἐκ ἐλάσσονα
Ἔτ' ἄλλον οἴσει τῆς ἐμῆς ὑπουργίας.

* Turn. in marg. τὲς ταρτάρες. † Ald. σφῶϊν γ' ἂν αἱ τεῦδ' ἀραὶ. rectè.

1464. Οἴμοι κελεύθε] καὶ αὕτη δευτέρα ἐστὶν ὥσπερ δέησις, καὶ παθητικωτάτη, ἐν τῷ ἀπολοφύρεσθαι αὐτὸν, τεχναζομένη πάνυ πιθανῶς.

ΑΝΤ. Πολυνείκες, ἱκεῦσά σε πεισθῆναί τί μοι.
ΠΟΛ. Ὦ φιλάτη, τὸ ποῖον, Ἀνιγόνη; λέγε.
ΑΝΤ. Στρέψαι στρατευμ᾽ ἐς Ἄργος ὡς τάχιστά γε,
Καὶ μή σε γ᾽ αὐτὸν καὶ πόλιν διεργάσῃ.
ΠΟΛ. Ἀλλ᾽ οὐχ οἷόν τε *· πῶς γὰρ αὖθις αὖ πάλιν
Στράτευμ᾽ ἄγοιμι ταὐτόν, εἰσάπαξ τρέσας;
ΑΝΤ. Τί δ᾽ αὖθις, ὦ παῖ, δεῖ σε θυμεῖσθαι; τί σοι
Πάτραν καθασκάψαντι κέρδος ἔρχεται;
ΠΟΛ. Αἰσχρὸν τὸ φεύγειν, καὶ τὸ πρεσβεύοντ᾽ ἐμὲ
Οὕτω γελᾶσθαι τῷ κασιγνήτῳ πάρα.
ΑΝΤ. Ὁρᾷς τὰ τῷδ᾽ ἓν ὡς ἐς ὀρθὸν ἐκφέρει
Μανθεύμαθ᾽, ὃς σφῶϊν θάνατον ἐξ ἀμφοῖν θροεῖ;
ΠΟΛ. Χρῄζει γάρ· ἡμῖν δ᾽ οὐχὶ συγχωρητέα.
ΑΝΤ. Οἴμοι τάλαινα· τίς δὲ τολμήσει κλύων
Τὰ τῷδ᾽ ἕπεσθαι τἀνδρὸς οἳ᾽ ἐθέσπισεν;
ΠΟΛ. Οὐδ᾽ ἀγγελεῖμεν φλαῦρ᾽· “ ἐπεὶ στρατηλάτῳ
“ Χρῃστέ, τὰ κρείσσω μηδὲ τἀνδεᾶ λέγειν.
ΑΝΤ. Οὕτως ἄρ᾽, ὦ παῖ, ταῦτά σοι δεδογμένα;
ΠΟΛ. Καὶ μή μ᾽ ἐπίσχῃς γ᾽· ἀλλ᾽ ἐμοὶ μὲν ἥδ᾽ ὁδὸς
Ἕσαι μέλεσα, δύσπομός τε καὶ κακὴ
Πρὸς τῷδε πατρὸς, τῶν τε τῷδ᾽ Ἐριννύων.
Σφῶϊν δ᾽ εὐοδοίη Ζεὺς, τάδ᾽ εἰ τελεῖτέ μοι
Θανόντ᾽· ἐπεὶ ἔ μοι ζῶντί γ᾽ αὖθις ἔξεστον.
Μέθεσθε δ᾽ ἤδη, χαίρετόν τ᾽· ἐ γάρ μ᾽ ἔτι

* Ald. οἷόν γε.

1491. Χρῄζει γὰρ] ἐν ἴσῳ τῷ νρησμῳδεῖ· τοῦτο ἐφ᾽ ἑαυτῷ φησὶ καὶ τῇ ἀδελφῇ· ἡμῖν δὲ ἡ συμβουλεία ἀδὲ συγχωρητέα.

1492. Οἴμοι τάλαινα· τίς δὲ] τὸ ἑξῆς, τίς δὲ τολμήσει ἕπεσθαι, κλύων τὰ τῷδε τἀνδρὸς;

1494. Οὐδ᾽ ἀγγελεῖμεν] καὶ ἐν ταῖς τέχναις ἐς τοῦτο, ὅτι ἐ πάλια δεῖ ἀληθεύεσθαι, ἐὰν μὴ χρήσιμα ᾖ, ἀλλὰ δεῖ καί τινα ψεύδεσθαι.

1502. Μέθεσθε δ᾽ ἤδη] καὶ ἐκ τούτου δῆλον ὅτι ἐν τῇ παρακλήσει ἅμα τοὺς λόγους λέγουσα τοῦτο εἰχεῖο αὐτῇ ἡ ἀδελφή.

1514. Καὶ

Βλέποντ' ἐσόψεσθ' αὖθις.

ΑΝΤ. Ὦ τάλαιν' ἐγώ.

ΠΟΛ. Μήτοι μ' ὀδύρȣ.

ΑΝΤ. Καὶ τίς ἄν σ' ὁρμώμενον
Εἰς πρȣ̃πτον ᾅδην ȣ̓ καταςένοι, κάσι;

ΠΟΛ. Εἰ χρὴ, θανȣ̃μαι.

ΑΝΤ. Μὴ σύγ', ἀλλ' ἐμοὶ πιθȣ̃.

ΠΟΛ. Μὴ πεῖθ' ἃ μὴ δεῖ.

ΑΝΤ. Δυςάλαινά τ' ἆρ' ἐγὼ,
Εἴ σȣ ςερηθῶ.

ΠΟΛ. Ταῦτα δ' ἐν τῷ δαίμονι
Καὶ τῇδε φῦναι χ' ἁτέρᾳ· σφῶϊν δ' ȣ̃ν ἐγὼ
Θεοῖς ἀρῶμαι μή ποτ' ἀντῆσαι κακῶν.
Ἀνάξιαι γὰρ πᾶσίν ἐςε δυςυχεῖν.

ΠΕΡΙΚΟΜΜΑΤΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Νέα τάδε νεόθεν ἦλθέ μοι
Βαρύποτμα κακὰ
Παρά γ' ἀλαȣ̃ ξένȣ,
Εἴ τι μοῖρα * μὴ κιχάνει.
Μάτην γὰρ ȣ̓δὲν ἀξίωμα δαιμόνων
Ἔχω φράσαι.

* Turn. in marg. μοίρᾳ.

1514. Καὶ τῇδε φῦναι] καὶ τοιᾷδε τύχῃ καὶ ἐναντίᾳ.

1517. Νέα τάδε νεόθεν ἦλθέ μοι] νεωςί. εἰ καὶ ὁτιμάλιςα ξενικά ἐςι τὰ πρόσωπα, καὶ τὰ κατέχοντα τȣ́τȣς κακὰ, ὅμως συναλγεῖ καὶ εὐλαβεῖται ὁ Χορὸς μὴ ἐκ τῆς ὁμιλίας τῆς σὺν αὐτοῖς, ἀπολαύσωσί τινος κακȣ̃ καὶ αὐτοί· ἐν τοιȣ́τῳ ȣ̃ν ἤθει καὶ ὁ λόγος αὐτοῖς διάκειται, τοιαῦτα πάρεςιν ἡμῖν (φησὶν) ἄτοπα παρὰ τȣ̃ ξένȣ ἀπολαύσαι, ἐκτὸς εἰ μὴ μοῖρά τις καταλαμβάνει ἡμᾶς, καὶ κατὰ μοῖραν ἀπολαύομεν ὧν ἀπολαύομεν.

1520. Εἴ τι μοίρᾳ] εἰ μὴ κατὰ μοῖραν ταῦτα πάσχω, εἴποιμι ἂν ἐκ τȣ̃ Πολυνείκȣς νέα μοι κακὰ ἐληλυθέναι.

1521. Μάτην γὰρ ȣ̓δὲν ἀξίωμα] οἷον, ȣ̓δέν ἐςι μάταιον ὑπὸ Θησέως ἀξιωθὲν πραχθῆναι, ἀλλ' ὃ ἂν γένηται ὑπὸ Θησέως, τȣ̃το καλῶς γίγνεται· τὸ δὲ ἑξῆς, μάτην γὰρ ȣ̓δὲν ἀξίωμα δαιμόνων ἔχω φράσαι. ἐπειδὴ ὁρᾷ ταῦθ' ὁ ἀεὶ

Ὁρᾷ, ὁρᾷ ταῦτ' ἀεὶ
Χρόνος· ἐπεὶ μὲν ἕτερα,
Τὰ δὲ πήματ' αὖθις αὔξων ἄνω.
Ἔκλυπεν αἰθὴρ, ὦ Ζεῦ.

ΣΥΣΤΗΜΑ Α.

Ὦ τέκνα, τέκνα, πῶς ἂν εἴ τις ἔλθοπος
Τὸν πάνθ' ἅρισον δεῦρο Θησέα πόροι *;
ΑΝΤ. Πάτερ, τίδ' ἐσὶ τἀξίωμ', ἐφ' ᾧ καλεῖς;
ΟΙΔ. Διὸς πλερωθὸς ἥδε μ' αὐτίκ' ἄξεται
Βρονλὴ πρὸς ᾅδην· ἀλλὰ πέμψαθ' ὡς τάχος.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

ΧΟΡ. Ἴδε μάλα μέγας ἐρείπεται
Κτύπος ἄφαλος ὅδε
Διόβολος· ἐς δ' ἄκραν
Δειμ' ὑπῆλθε κραλὸς φόβαν.
Ἔπηξα θυμόν· ἐρανία γὰρ ἁσραπὴ
Φλέγει πάλιν·
Τί μὰν ἀφήσει τέλος,
Δέδια τόδ' †· ἐ γὰρ ἅλιον

* Ald. Θησέα πόροι. † Turn. Δέδια δ'.

ὁ ἀεὶ Χρόνος, ἕτερα μὲν αὔξων ἄνω, τὰ δὲ παρ' ἦμαρ αὖθις· ὅ ἐσιν, εἰς τὸ ἔμπαλιν τρέπων τὰ ὧδη αὐξηθέντα. οἷον, πάντα ἔχει ὑφ' ἑαυτῷ ὁ Χρόνος· τὰ μὲν ὁρᾷ, τὰ δὲ καὶ αὐτὸς ὁρᾶται ποιῶν· τὰ γὰρ παρατιθέμενα, τῷ Χρόνῳ φαίνεται. τυλέγιν, ἐν τῷ χρόνῳ πολλαὶ μεταβολαὶ γίγνεσθαι, καὶ ὁρᾶται ὁ Χρόνος πολλὰ μὲν αὔξων πως' ἦμαρ, πολλὰ δὲ εἰς τὸ ἔμπαλιν τρέπων.

1526. Ἔκλυπεν αἰθὴρ] τὰ συνεκλικώταλον τῇ δράμαλος ἐν τύτῳ. καθάπερ στρεῖπεν ὁ Οἰδίπους, Σημεῖα δ' ἴξειν τῶνδέ μοι παρηγύα, Ἢ σεισμὸν, ἢ βρονλήν τιν', ἢ Διὸς σέλας. μεταξὺ ὧν τῇ Χορῇ λόγων γίγνεσθαι τύτο· ἐφ' ᾧ ὁ Χορὸς ἀναβοᾷ· ὅπερ ἦν σύμβολον τῇ τὸν Οἰδίποδα τεθνάξεσθαι. ὅπερ γνωρίσας ὁ Οἰδίπους, ἀξιοῖ τὸν Θησέα ἐν τάχει παραγενέσθαι.

1529. Τἀξίωμα] τὸ βύλημα.

1534. Ἐς δ' ἄκραν] ἄκραν φόβαν κραπὸς, ἤτοις ἀποδώσεις.

1536. Οὐρανία γὰρ ἀσραπὴ] ἀντὶ τῆ, ταχεῖα.

1539. Οὐ γὰρ ἅλιον· ἐ μάταιον. τύτο φησὶν) ἐ μάτην γίγνεται τὸ κατὰ τὴν διοσημείαν, ἀλλ' ἐπί τινι μεγάλῃ συμφορᾷ· νῦν δὲ συμφορὰν φησι τὸ μέσον ὄνομα τῆς συνυχίας· οἷον, ἐπί τινι γίγνεται ἡ διοσημεία.

1540. Ἀφορμᾷ]

Ἀφορμᾷ ποτ', ἐκ ἄνευ ξυμφορᾶς. 1540
Ὦ μέγας αἰθὴρ, ὦ Ζεῦ.

ΑΝΤΙΣΤΣΤΗΜΑ Α.

ΟΙΔ. Ὦ παῖδες, ἥκει τῷδ' ἐπ' ἀνδρὶ θέσφαλος
Βίᾳ τελευτὴ, κἀκέτ' ἐς' ἀποστροφή.
ΧΟΡ. Πῶς οἶσθα τοῦτο; τῷ δὲ συμβαλὼν * ἔχεις;
ΟΙΔ. Καλῶς κάτοιδ'· ἀλλ' ὡς τάχιστά μοι μολὼν 1545
Ἀναπλα χώρας τῆσδέ τις πορευσάτω.

ΣΤΡΟΦΗ Β.

ΧΟΡ. Ἔα, ἔα.
Ἰδὲ μάλ' αὖθις ἀμφίσαλαι
Διαπρύσιος ὄτοβος.
Ἴλαος, ὦ δαῖμον †, ἵλαος, εἴ τι γᾷ 1550
Μαλέρι τυγχάνεις ἀφθεγὲς ‡ φέρων.
Ἐναισίᾳ § δὲ συνίχοιμι,
Μηδ' ἄλαστον ἄνδρ' ἰδὼν,
Ἀκερδῆ χάριν μεθάσχοιμί πως.
Ζεῦ ἄνα, σαὶ φωνῶ. 1555

ΣΥΣΤΗΜΑ Β.

ΟΙΔ. Ἆρ' εἴγὺς ἀνὴρ; ὦρ' ἔτ' ἐμψύχῳ, τέκνα,

* Ald. Πῶς οἶσθα; τῶ, δὲ τοῦτο συμβαλὼν. † Ald. ὦ δαῖμον.
‡ Turn. in marg. ἄφθεγγες. § Turn. ἐν αἰσίᾳ.

1540. Ἀφορμᾷ] ἀπὸ κοινοῦ τὸ ἀφορμᾶ.
1542. Τῷδ' ἐπ' ἀνδρὶ] ἐπ' ἐμοὶ δηλονότι.
Ib. Θέσφαλος βίᾳ τελευτὴ] ἡ θεσπισθεῖσα τελευτή.
1543. Ἀποστροφὴ] ἀποφυγή.
1544. Τῷ δὲ συμβαλὼν] τίνι τεκμηρίῳ νοήσας, ζοχασάμενος.
1548. Ἀμφίσαλαι] περιῖσαλαι ἡμῖν μέγας φόφος.
1550. Ἴλαος, ὦ δαῖμον] λείπει τὸ ἔσω. εὐσεβῶς δὲ ὁ Χορὸς εὐχεῖται πρὸς τὸν Θεὸν, εἰ ἐπί τινι χαλεπῷ ταῦτα πράτλει, ἵλεων αὐτὸν γενέσθαι· ὅρα ἂν ὅτι ἡ συμφορὰ ἐπὶ τῆς μέσης ἐννοίας κεῖται.
1551. Μαλέρι] τῇ Ἀτλικᾷ.
Ib. Ἀφθεγὲς] χαλεπόν.
1552. Ἐναισίᾳ δὲ συνίχοιμι] μηδὲ πονηρῷ τίνι συνίχω.
1554. Ἀκερδῆ χάριν] ἧς φαῦλον τὸ κέρδος.
Ib. Μεθάσχοιμί πως] ἀντὶ τοῦ, σχοίην.
1556. Ἆρ' εἴγὺς ἀνὴρ] ὁ Θησεύς.
1558. Τίδ'

Κιχήσεταί μȣ καὶ κατορθȣ̃ντος φρένα;
ΧΟΡ. Τίδ' ἂν θέλοις τὸ πιςὸν ἐμφῦναι φρενί;
ΟΙΔ. Ἀνθ' ὧν ἔπασχον εὖ, τελεσφόρον χάριν
Δȣ̃ναί σφιν, ἥνπερ τυγχάνων ὑπεσχόμην.

ΑΝΤΙΣΤΡΟΦΗ Β.

ΧΟΡ. Ἰȣ̀, ἰȣ́.
Ἰὼ παῖ, βᾶθι, βᾶθ'· εἴτ' ἄκραν
Ἐπὶ γύαλον ἐναλίῳ
Ποσειδαωνίῳ θεῷ τυγχάνεις
Βȣ́θυτον ἑςίαν ἁγίζων, ἵκȣ.
Ὁ γὰρ ξένος σε καὶ πόλισμα
Καὶ φίλȣς ἐπαξιοῖ
Δικαίαν χάριν παρασχεῖν παθῶν.
Σπεῦσον, ἄϊσσ', ὦ ἄναξ *.

ΑΝΤΙΣΥΣΤΗΜΑ Β.

ΘΗΣ. Τίς αὖ παρ' ὑμῶν κοινὸς ἠχεῖται κτύπος,
Σαφὴς μὲν αὐτῶν, ἐμφανὴς δὲ τȣ̃ ξένȣ;
Μή τις Διὸς κεραυνὸς, ἤ τις ὀμβρία
Χάλαζ' ἐπιῤῥάξασα; πάντα γὰρ θεȣ̃
Τοιαῦτα χειμάζοντος εἰκάσαι πάρα.

* Aldus, Ἄϊσσ', ὦ 'ναξ.

1558. Τίδ' ἂν θέλοις τὸ πιςὸν] τί πιςὸν (φησὶ) θέλις ἐμβαλεῖν τῇ φρενὶ ἐκείνȣ; τῇ τȣ̃ Θησέως δηλονότι. ἀντὶ τȣ̃, τί βȣ́λει πιθανὸν ἀνακοινώσασθαι τῷ Θησεῖ;

1560. Δȣ̃ναί σφιν] ἀντὶ τȣ̃, αὐτῷ (κατὰ τιμὴν δὲ πληθυντικῶς) ἃ πάροιθ' ὑπεσχόμην· Ἄλλως· ἡ σφὶν ἀντὶ τῆς οἱ ἀντωνυμίας κεῖται· ἔδει γὰρ εἰπεῖν, τελεσφόρον δȣ̃ναί οἱ χάριν.

1562. Ἰὼ παῖ] θαυμαςῶς ὁ Χορὸς βοᾷ· ἐπάγει γὰρ τὸ πρᾶγμα.

1563. Ἐπὶ γύαλον] ἡ ἐπὶ πρὸς τὸ ἄκραν· ἵν' ᾖ, ἐπ' ἄκραν πέτραν.

1564. Ποσειδαωνίῳ] Ποσειδῶνι· διὸ κεῖται τὸ Χ. Ἄλλως· Ποσειδαωνίῳ, ἀντὶ τȣ̃, Ποσειδῶνος, ὅ ἐςιν ἐναλίȣ θεȣ̃· ὁ δὲ ἑτέρως ἐσχημάτισε, κτητικώτερόν πως· διὸ κεῖται τὸ Χ.

1565. Ἁγιάζων] ἀντὶ τȣ̃, ἁγίζων.

1570. Παρ' ὑμῶν] ὑμῶν τε καὶ Οἰδίποδος.

1573. Ἐπιῤῥάξασα] ἀντὶ τȣ̃, ἐπέῤῥαξεν.

1575. Θεῶν

ΙΑΜΒΟΙ.

ΟΙΔ. Ἄναξ, ποθοῦντι πρὀφάνης· καί σοι θεῶν
Τύχην τις ἐσθλὴν θῆκε τῆσδε τῆς ὁδοῦ.
ΘΗΣ. Τί δ' ἐςὶν, ὦ παῖ Λαΐου, νέορτον αὖ;
ΟΙΔ. Ῥοπὴ βίου μοι· καί σ', ἅπερ ξυνῄνεσα,
Θέλω πόλιν τε τήνδε μὴ ψεύσας, θανεῖν.
ΘΗΣ. Ἐν τῷ δὲ κεῖσαι τοῦ μόρου τεκμηρίῳ;
ΟΙΔ. Αὐτοὶ θεοὶ κήρυκες ἀγγέλλουσί μοι
Ψεύδοντες οὐδὲν, σημάτων προκειμένων.
ΘΗΣ. Πῶς εἶπας, ὦ γεραιὲ, δηλοῦσθαι τάδε;
ΟΙΔ. Τὰ πολλὰ * βρονταὶ διατελεῖς, τὰ πολλά τε
Στρέψαντα χειρὸς τῆς ἀνικήτου βέλη.
ΘΗΣ. Πείθεις με· πολλὰ γάρ σε θεσπίζονθ' ὁρῶ,
Κοὐ ψευδόφημα †· χ' ὥ,τι χρὴ ποιεῖν, λέγε.
ΟΙΔ. Ἐγὼ διδάξω, τέκνον Αἰγέως, ἅ σοι
Γήρως ἄλυπα τῇδε ‡ κεισεται πόλει.
Χῶρον μὲν αὐτὸς αὐτίκ' ἐξηγήσομαι,
Ἄθικτος ἡγητῆρος, οὗ με χρὴ θανεῖν.
Τοῦτον δὲ φράζε μήποτ' ἀνθρώπων τινὶ,
Μήθ' οὗ κέκευθε, μήτ' ἐν οἷς κεῖται τόποις.
Ὥς σοι § πρὸ πολλῶν ἀσπίδων ἀλκὴν ὅδε
Δορός τ' ἐπακτοῦ γειτόνων || ἀεὶ τιθῇ·

* ALD. Αἱ πολλαὶ. † TURN. in marg. ψευδόθυμα. ‡ TURN. in marg. σῇδε.
§ ALD. Ὡς σοὶ. || TURN. in marg. γειτονῶν.

1575. Θεῶν τύχην] ἐπιτυχίαν.
1577. Νέορτον αὖ] ἀντὶ τοῦ, νέον.
1578. Καί σ' ἅπερ] τὸ ἑξῆς, καὶ σὲ μὴ ψεύσας.
1582. Σημάτων προκειμένων] οἷον, διὰ τῶν σημείων.
1589. Γήρως ἄλυπα] ἕως γήρως.
1589. Τῇδε κείσεται] γράφεται, σῇτε κείσεται.
1593. Μήθ' οὗ κέκευθε] μήτε ὅπου κρύπτεται ὁ χῶρος.
1595. Γειτόνων] εἰ μὲν βαρυτόνως γειτόνων, τῶν Θηβαίων νοήσεις· εἰ δὲ περισπωμένως γειτονῶν, ἀντὶ τοῦ, γειτνιῶν ὁ τάφος.

Ἃ δ' ἐξάγιςα, μηδὲ κινεῖται λόγῳ,
Αὐτὸς μαθήσῃ, κεῖσ' ὅταν μόλῃς μόνος.
Ὡς ὄτ' ἂν ἀςῶν τῶνδ' ἂν ἐξείποιμί τῳ,
Οὔτ' ἂν τέκνοισι τοῖς ἐμοῖς, ςέργων ὅμως·
Ἀλλ' αὐτὸς αἰεὶ σῶζε, χ' ὅταν εἰς τέλος
Τοῦ ζῆν ἀφίκνῃ *, τῷ προφερτάτῳ μόνῳ
Σήμαιν'· ὁ δ' αἰεὶ τῷ 'πιόντι δεικνύτω.
Χ' οὕτως ἀδήϊον τήνδ' ἐνοικήσεις πόλιν
Σπαρτῶν ἀπ' ἀνδρῶν· αἱ δὲ μυρίαι πόλεις,
Κἂν εὖ τις οἰκῇ, ῥᾳδίως καθύβρισαν.
"Θεοὶ γὰρ εὖ μὲν, ὀψὲ δ' εἰσορῶσ', ὅταν
"Τὰ θεῖ' ἀφείς τις εἰς τὸ μαίνεσθαι τραπῇ."
Ὃ μὴ σὺ, τέκνον Αἰγέως, βούλου παθεῖν.
Τὰ μὲν τοιαῦτ' οὖν εἰδότ' ἐκδιδάσκομεν.
Χῶρον δ' (ἐπείγει γάρ με τοὐκ θεοῦ παρὸν)
Στείχωμεν ἤδη, μηδέ γ' ἐντρεπώμεθα.
Ὦ παῖδες, ὧδ' ἕπεσθ'· ἐγὼ γάρ ἡγεμὼν
Σφῶϊν αὖ πέφασμαι καινὸς, ὥσπερ σφὼ πατρί.
Χωρεῖτε, καὶ μὴ ψαύετ', ἀλλ' ἐᾶτέ με
Αὐτὸν τὸν ἱερὸν τύμβον ἐξευρεῖν, ἵνα
Μοῖρ' ἀνδρὶ τῷδε τῇδε κρυφθῆναι χθονί.
Τῇδ' ὧδε τῇδε βᾶτε· τῇδε γὰρ μ' ἄγει

* Ald. ἀφικνῇ. rectè.

1596. Ἃ δ' ἐξάγιςα] καθαρά· σημαίνει γὰρ τὸ ἅγος τοῦτο, καὶ τὸ ἁγιὸν καὶ μὴ οἷόν τε ῥηθῆναι· καὶ ἐπὶ τούτου γὰρ τούτῳ χρῶνται πολλαχοῦ.

1601. Τῷ προφερτάτῳ μόνῳ] χρησίμως καὶ τοῦτο, ὥςε παρὰ τὸν καιρὸν τῆς τελευτῆς παραδιδόναι τὸ ἀπόῤῥητον τῷ πρεσβυτέρῳ υἱῷ, ὑπὲρ τοῦ μέχρι τοῦ παντὸς διαμεῖναι τὴν ὠφέλειαν τοῖς Ἀθηναίοις, δι' ἧς τῶν Θηβαίων κρατήσουσι.

1603. Ἀδήϊον] ἀδήωτον.

1605. Κἂν εὖ τις οἰκῇ] κἂν δικαίως τὶς πολιτεύηται, πολλαὶ πόλεις ἀδίκως ἐπέρχονται.

1611. Μηδὲ γ' ἐντρεπώμεθα] ἀντὶ τοῦ, ἐπιςρεφάμεθα (Ὅμηρος, ἐντροπαλιζόμενος) ἐγὼ γὰρ ἡγεμὼν ὑμῖν πέφηνα, ὥσπερ ὑμεῖς τῷ πατρί.

1617. Τῇδε γάρ μ' ἄγει] οὐ πταίει ὁ ὑποκριτὴς, ἀλλ' εὐθὺ ἄπεισιν, ὥσπερ ἀγόμενος ὑπὸ τοῦ

Ἑρμῆς ὁ πομπὸς, ἥ τε νερϑέρα θεός.
Ὦ φῶς ἀφεγγὲς πρόσθε σὸ ποτ' ἦσθ' ἐμόν;
Νῦν δ' ἔσχαλόν σε τἀμὸν ἅπτεσθαι δέμας·
Ἤδη γὰρ ἕρπω τὸν τελευταῖον βίον
Κρύψων παρ' ἅδην· ἀλλὰ, φίλταϑε ξένων,
Αὐτός τε, χώρα θ' ἥδε, πρόσπολοί τε σοὶ,
Εὐδαίμονες γένοισϑε· κἀπ' εὐπραξίᾳ
Μέμνησϑέ μ' ϑανόντος, εὐτυχεῖς ἀεί.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ.

ΧΟΡ. Εἰ ϑέμις ἐσί μοι τὰν ἀφανῆ ϑεὸν
Καὶ σὲ λιταῖς σεβίζειν,
Ἐννυχίων ἄναξ
Ἀϊδωνεῦ, Ἀϊδωνεῦ,
Λίσσομαι μήτ' * ἐπιπόνῳ †,
Μήτ' ἐπὶ βαρυαχεῖ
Ξένον ἐκλανύσαι
Μόρῳ, τὰν παγκευθῆ κάτω
Νεκρῶν ‡ πλάκα, καὶ Στύγιον
Δόμον· πολλῶν γὰρ ἂν
Καὶ μάταν πημάτων ἰκνεμένων,
Πάλιν σὲ δαίμων δίκαιος ἀέξοι §.

* Ald. μήτ'. † Ald. ἐπίπονα. Turn. in textu, ἐπὶ πόνῳ, et in marg. ἐπιπόνῳ.
‡ Ald. Νεκύων. § Ald. αὔξοι.

τῷ Θεῷ· πάνυ δὲ σεμνῶς καὶ τὸ τῷ Ἑρμεῖ προσέθηκεν.

1619. Ὦ φῶς ἀφεγγὲς] ὃ τῷ νῷ ὁρᾷ, ἀ τοῖς αἰσθητοῖς ὀφθαλμοῖς.

1623. Πρόσπολοί τε σοὶ] οἱ Ἀθηναῖοι.

1626. Τὰν ἀφανῆ ϑεὸν] τὴν Περσεφόνην φησίν.

1628. Ἐννυχίων ἄναξ] τῶν ἐν νυκτὶ ἀεὶ καὶ σκότῳ διαιρεϑέντων· τεθνηκότων.

1630. Λίσσομαι μήτ' ἐπιπόνῳ] τὰ ἐξῆς μὲν, δῆλα ἐκ τῆς λέξεως. Τὸ δὲ δίδυ μοι, τούτῳ ἀσυνάρτητον πως φαίνεται ἡμῖν· ἐπιζῆσαι ἂν ἄξιον λαβόντας παλὸν ἀνύγραφον, δίδυ μοι τὸν ξένον καϑανύσαι τὰν παγκευθῆ κάτω νεκύων πλάκα, καὶ σύγιον δόμον, μήτ' ἐπιπόνῳ μήτ' ἐπὶ βαρυαχεῖ μοίρῳ· εὔχονται δὲ αὐτῷ [τῷ Οἰδίποδι] μὴ δυσθαναῖσαι.

1636. Καὶ μάταν πημάτων] ἀποτρέφει τὰ λόγον

ΑΝΤΙΣΤΡΟΦΗ.

Ὦ χθόνιαι θεαὶ, σῶμά τ' ἀνικήτου
Θηρὸς, ὃν ἐν πύλαισι
Φασὶ πολυξέστοις
Εὐνᾶσθαι, κνυζεῖσθαί τ' ἐξ ἄντρων
Ἀδάμαστον φύλακα παρ' Ἀΐδα,
Ὡς λόγος αἰὲν ἔχει *.
* * * * * * * *
Ὃν, ὦ Γᾶς παῖ καὶ Ταρτάρου,
Κατεύχομαι ἐν καθαρῷ
Βῆναι ὁρμωμένῳ
Νερτέρας τῷ ξένῳ νεκρῶν πλάκας.
Σέ τοι κικλήσκω τὸν αἰένυπνον.

ΙΑΜΒΟΙ.

ΑΓΓ. Ἄνδρες πολῖται, ξυντομωτάτως μὲν ἂν
Τύχοιμι λέξας Οἰδίπου ὀλωλότα·
Ἃ δ' ἦν τὰ πραχθέντ', ὄθ' ὁ μῦθος † ἐν βραχεῖ

* Ald. Turn. in marg. ἀνέχει. † Turn. ὄ τῳ μῦθος.

λόγον πρὸς τὸν Οἰδίποδα. τὸ δὲ μάτην κνυμένων, ἔν τινι τρόπῳ εἴρηκε, παρ' ὅσον σχεδὸν πάντα τὰ ἁμαρτήματα τῷ Οἰδίποδι ἀκουσίως ἐγένετο· καὶ νῦν ὂν κατὰ τοῦτο μάτην ἂν λέγοι τιμωρίαν ὑπέχειν αὐτόν.

1638. Ὦ χθόνιαι θεαὶ] ὦ Ἐριννύες.

1639. Θηρὸς] τοῦ Κερβέρου.

1641. Εὐνᾶσθαι] κοιμᾶσθαι. λείπει τὸ φασίν· ὁ γὰρ νοῦς τοιοῦτος, ὅν φασι κοιμᾶσθαι, κνύζεσθαί τε φασί· τοῦτο δὲ καὶ ἑξῆς αὐτὸς ἀποδέδωκεν, εἰπὼν, λόγος αἰὲν ἀνέχει. ἤρκει δὲ εἰ κατ' ἔλλειψιν ἐξενήνεκτο ὁ λόγος.

1643. Λόγος αἰὲν ἀνέχει] ἀντὶ τοῦ, φασίν.

1644. Ὃν, ὦ Γᾶς παῖ] τὸν Κέρβερον (φησὶν) ἐξευμενίζομαι τῷ ξένῳ ὁρμωμένῳ καὶ περῶντι νερτέρας νεκρῶν πλάκας, ἀβλαβῶς ὑπαντῆσαι.

1645. Κατεύχομαι ἐν καθαρῷ] ἐπανέλαβε. τῷ δὲ ἑνικῷ κέχρηται, ἀντὶ τοῦ πληθυντικοῦ· λέγει γὰρ τὰς Εὐμενίδας. ταύτας δὲ ὅτω καὶ ἐν ἀρχῇ γενεαλογεῖ.

1648. Τὸν αἰένυπνον] ὑφ' ἓν ἀναγνωστέον αἰένυπνον, τὸν ἀείϋπνον, τὸν διὰ παντὸς κοιμώμενον· φησὶ δὲ τὸν Θάνατον, ὥσπερ δαίμονά τινα ὄντα· πρὸς πάντας γὰρ σχεδὸν τοὺς ὑποχθονίους τὴν παράκλησιν ἐποιήσαντο, τὸν Πλούτωνα, τὴν Περσεφόνην, τὸν Κέρβερον· καὶ νῦν πρὸς τὸν Θάνατον αὐτόν.

1649. Ἄνδρες πολῖται, ξυντομωτάτως] ἀντὶ τοῦ, συντόμως· ἔστι δὲ ὁ Ἄγγελος, εἷς τῶν ἀκολουθησάντων Θησεῖ θεραπόντων, καὶ ἀφῖκται ἔνια ἀπαγγέλλων τῶν πραχθέντων ἐπὶ τῆς ἐρημίας· οὐ γὰρ πάντα δυνατὸν ἦν θεᾶσασθαι.

1655. Κεῖνον

Φράσαι πάρεςιν, ȣ̓τε τἄργ' ὅσ' ἦν ἐκεῖ.
ΧΟΡ. Ὄλωλε γὰρ δύςηνος;
ΑΓΓ. Ὡς λελοιπότα
Κεῖνον τὸν αἰεὶ βίοτον ἐξεπίςασο.
ΧΟΡ. Πῶς; ἆρα θείᾳ κἀπόνῳ τάλας τύχῃ;
ΑΓΓ. Ταῦτ' * ἐςὶν ἤδη κἀποθαυμάσαι πρέπον.
Ὡς μὲν γὰρ ἐνθένδ' εἶρπε, καὶ σύ πȣ παρὼν
Ἔξοισθ', ὑφ' ἡγητῆρος ȣ̓δενὸς φίλων,
Ἀλλ' αὐτὸς ἡμῖν † πᾶσιν ἐξηγȣ́μενος.
Ἐπεὶ δ' ἀφῖκτο τὸν καταῤῥάκτην ὁδὸν ‡
Χαλκοῖς βάθροισι γῆθεν ἐῤῥιζωμένον;
Ἔςη κελεύθων ἐν πολυσχίςῳ μιᾷ,
Κοίλȣ πέλας κρατῆρος· ȣ̓ τὰ Θησέως
Περίθȣ τε κεῖται πίς' ἀεὶ ξυνθήματα·
Ἐφ' ȣ̓ μέσȣ ςὰς, τȣ̃ τε Θορικίȣ πέτρȣ,
Κοίλης τ' Ἀχέρδȣ, κἀπὸ λαΐνȣ τάφȣ,

* Ald. Τȣ̃τ'. † Turn. ὑμῖν. ‡ Turn. in marg. ȣ̓δὸν. Ald. ὁδὸν.

1655. Κεῖνον τὸν ἀεὶ βίοτον] τὸ μακρὸν γῆρας, ἢ τὴν μακρὰν ζωήν· εἰώθασι γὰρ τὸ ἀεὶ καὶ ἐπ' ὀλίγȣ χρόνȣ τάσσειν. Ὅμηρος·
——"ἔχων κότον ἐμμενὲς ἀεί."

1658. Ὡς μὲν γὰρ ἐνθένδ'] ὑπερβατόν. ὡς μὲν γὰρ ἐνθένδ' εἶρπεν, ὑφ' ἡγητῆρος ȣ̓δενὸς φίλων, ἀλλ' αὐτὸς ἡμῖν πᾶσιν ἐξηγȣ́μενος, καὶ σὺ παρὼν οἶδας. Ἄλλως· Ὑφηγητῆρος, κατὰ συναλοιφήν· λέγει δὲ ὅτι ὑπ' ȣ̓δενὸς ἡγητῆρος.

1660. Ἐξηγȣ́μενος] προηγȣ́μενος.

1661. Ἐπεὶ δ' ἀφῖκτο τὸν καταῤῥάκτην ὁδὸν] ἀντὶ τȣ̃, ȣ̓δόν. ὃν ἐν ἀρχῇ εἶπε χαλκόπȣν ȣ̓δὸν, τȣ̃τον νῦν ὑποτίθεται ἐκτὸς τῆς σκηνῆς, καὶ ȣ̓κέτι ἐν ὄψει τȣ̃ θεάτρȣ καὶ νῦν καταῤῥάκτην προσηγόρευσε, διὰ τὸ νομίζειν ἐκεῖνον τὸν τόπον κατάβασιν ἔχειν εἰς ᾅδȣ· καί εἰσιν οἱ δι' αὐτῆς τὴν ἁρπαγὴν φασὶ τῆς Κόρης γενέσθαι.

1663. Κελεύθων ἐν πολυσχίςῳ] ὡς πλειόνων ȣ̓σῶν τῶν ὁδῶν.

1664. Κοίλȣ πέλας κρατῆρος] τȣ̃ μυχȣ̃· τὰ γὰρ κοῖλα ȣ̓τως ἐκάλȣν ἐκ μεταφορᾶς· ὅθεν καὶ τὰ ἐν τῇ Αἴτνῃ κοιλώματα, κρατῆρες καλȣ̃νται· λέγει δὲ δι' ȣ̓ καταβῆναι φασὶ τὴν Κόρην ἁρπαγεῖσαν. Πειρίθȣ δέ φησι κεῖσθαι συνθήματα, οἷον, ὑπομνήματα τῆς πίςεως ἧς ἔθεντο πρὸς ἀλλήλȣς περὶ τῆς εἰς ᾅδȣ καταβάσεως· ἀμάρτυρον δὲ εἰ διὰ τȣ́τȣ τȣ̃ τόπȣ κατῆλθον. πιθανῶς δὲ ὁ Σοφοκλῆς πρὸς χάριν τῆς Ἀττικῆς φησὶν ἐνταῦθα τὴν εἰς ᾅδȣ κατάβασιν Οἰδίποδος γενέσθαι.

1666. Ἐφ' ȣ̓ μέσȣ ςὰς] ἀντὶ τȣ̃, μεταξὺ τȣ̃ κρατῆρος, ὅ ἐςι, τȣ̃ μυχȣ̃, ςὰς καὶ μηκέτι ὁδεύσας.

Ib. Τȣ̃ τε Θορικίȣ πέτρȣ] ταῦτα γνώριμα τοῖς ἐγχωρίοις. Θόρικος δὲ δῆμος τῆς Ἀκαμαντίδος φυλῆς.

1667. Κοίλης τ' Ἀχέρδȣ] ἀπὸ κοινȣ̃ τὸ ςάς· κοίλης δὲ Ἀχέρδȣ, τῆς τὸν πυθμένα ἐχȣ́σης ὑπόκενον, σαπέντα.

1669. Ἠνώγει

Καθέζετ' *· εἶτ' ἔλυσε † δυσπινεῖς ςολάς.
Κἄπειτ' ἀΰσας παῖδας, ἠνώγει ῥυτῶν
Ὑδάτων ἐνεγκεῖν λουτρὰ καὶ χοάς ποθεν.
Τάδ' ‡ εὐχλόου Δήμητρος εἰς ἐπόψιον
Πάγον μολούσα, τάσδ' ἐπιςολὰς πατρὶ
Ταχεῖ πόρευσαν ξὺν χρόνῳ· λουτροῖς τέ νιν
Ἐσθῆτί τ' ἐξήσκησαν, ᾗ νομίζεται.
Ἐπεὶ δὲ παντὸς εἶχε δρῶντος ἡδονὴν,
Κοὐκ ἦν ἔτ' ἀργὸν οὐδὲν ὧν ἐφίετο,
Κτύπησε μὲν Ζεὺς χθόνιος, αἱ δὲ παρθένοι
Ῥίγησαν ὡς ἤκουσαν· ἐς δὲ γούνατα
Πατρὸς πεσοῦσαι, κλαῖον, οὐδ' ἀνίεσαν
Στέρνων ἀραγμοὺς, οὐδὲ παμμήκεις γόους.
Ὁ δ', ὡς ἀκούει φθόγγον ἐξαίφνης πικρὸν,
Πτύξας ἐπ' αὐταῖς χεῖρας, εἶπεν· Ὦ τέκνα,
Οὐκ ἔς' ἔθ' ὑμῖν τῇδ' ἐν ἡμέρᾳ πατήρ.
Ὄλωλε γὰρ δὴ πάντα τἀμὰ, κοὐκέτι
Τὴν δυσπόνητον ἕζετ' ἀμφ' ἐμοὶ τροφήν·
Σκληρὰν μὲν οἶδα, παῖδες· ἀλλ' ἓν γὰρ μόνον
Τὰ πάντα λύει ταῦτ' ἔπος μοχθήματα.
Τὸ γὰρ φιλεῖν οὐκ ἔςιν ἐξ ὅτου πλέον

§ Ald. Καθέθετ'. † Ald. Turn. ἔδυσε. ‡ Ald. Τάδ'.

1669. Ἠνώγει ῥυτῶν ὑδάτων ἐνεγκεῖν] ἐπὶ τῷ ἀφαγνισθῆναι αὐτὸν πρὸ τελευτῆς.

1671. Τάδ' εὐχλόου Δήμητρος] εὐχλόου Δήμητρος ἱερόν ἐςι πρὸς τῇ ἀκροπόλει· καὶ Εὔπολις Μαρικᾷ, Ἀλλ' εὐθὺ πόλεως εἶμι· Θῦσαι γάρ με δεῖ Κριὸν χλόῃ Δήμητρι. ἔνθεν δῆλον ὅτι καὶ κριὸς θήλεια τῇ θεῷ ταύτῃ θύεται· οὕτω δὲ τιμᾶται ἐκ τῆς τῶν κήπων χλόης· θύουσι γὰρ αὐτῇ Θαργηλιῶνος ἕκτῃ, ἤτοι, Σεπτεμβρίου.

1672. Ἐπιςολὰς] ἐντολάς, πράξεις.

1674. Ἦ νομίζεται] ὡς νομίζεται ἐπὶ τοῖς νεκροῖς.

1677. Κτύπησε μὲν Ζεὺς χθόνιος] οἷον, μύκημα ἐγένετο, καὶ ἐσείσθη ἡ γῆ, προδηλοῦντος τοῦ θεοῦ τὸν καιρὸν, ἐν ᾧ ἔδει ἀποθανεῖν τὸν Οἰδίποδα· πάνυ δὲ σεμνῶς τὸ χθόνιος εἴρηκε.

1679. Οὐδ' ἀνίεσαν] οὐκ ἀνέπεμπον.

1682. Πτύξας] περιπλέξας.

1685. Δυσπόνητον τροφὴν] γηροκομίαν.

1688. Τὸ γὰρ φιλεῖν, οὐκ ἔςιν ἐξ ὅτου] ἀντὶ τοῦ, οὐδεὶς πλέον ἐμοῦ ὑμᾶς ἐφίλησε.

1692. Λύγδην]

Ἦ τῶδε τἀνδρὸς ἔσχεθ' ἕ τηλώμεναι,
Τὸν λοιπὸν ἤδη βίοτον αὖ διάξεἰον *.
Τοιαῦτ' ἐπ' ἀλλήλοισιν ἀμφικείμενοι,
Λύγδην ἔκλαιον πάντες. Ὡς δὲ πρὸς τέλος
Γόων ἀφίκοντ', ἐδ' ἔτ' ὠρώρει † βοή·
Ἦν μὴν σιωπὴ, φθέγμα δ' ἐξαίφνης τινὸς
Θώϋξεν αὐτὸν, ὥσε πάντας ὀρθίας
Στῆσαι φόβῳ δείσαντας ἐξαίφνης τρίχας.
Καλεῖ γὰρ αὐτὸν πολλὰ πολλαχῆ θεός.
Ὦ ἕτος, ἕτος Οἰδίπους, τί μέλλομεν
Χωρεῖν; πάλαι δὴ τἀπὸ σοῦ βραδύνεται.
Ὁ δ', ὡς ἐπήσθετ' ἐκ θεοῦ καλούμενος,
Αὐδᾷ μολεῖν οἱ γῆς ἄνακτα Θησέα.
Κἀπεὶ προσῆλθεν, εἶπεν· Ὦ φίλον κάρα,
Δός μοι χερὸς σῆς πίστιν ἀρχαίαν τέκνοις,
Ὑμεῖς τε, παῖδες, τῷδε· καὶ καλαίνεσον
Μήποθ' προδώσειν τάσδ' ἐκὼν, τελεῖν δ' ὅσ' ἂν
Μέλλῃς φρονῶν εὖ ξυμφέρονθ' αὐταῖς ἀεί.
Ὁ δ' ὡς ἀνὴρ γενναῖος, ἐκ οἴκου μέτα
Καθήνεσεν τάδ' ὅρκιος δράσειν ξένῳ.
Ὅπως δὲ ταῦτ' ἔδρασεν, εὐθὺς Οἰδίπους
Ψαύσας ἀμαυραῖς χερσὶν ὧν παίδων, λέγει·
Ὦ παῖδε, τλάσας χρὴ τὸ γενναῖον φρενὶ ‡
Χωρεῖν τόπων ἐκ τῶνδε, μηδ' ἃ μὴ θέμις

* Ald. Βίοτον διάξειον. † Ald. Turn. ἐδέ τ' ὠρώρει.
‡ Turn. in marg. φέρειν.

1692. Λύγδην] λύζοιλες.

1b. Ἔκλαιον πάντες] ἐντὶ τοῦ, ὁμοῦ πάντες· πιστ' ἐπικράσειαν δὲ πάντες φησὶν, ἑνὸς μὲν ὄντος ἄῤῥενος, τοῦ Οἰδίποδος, δύο δὲ τῶν Θηλειῶν· ὅμοιον τῷ·

"Μῶσαι καλαὶ, Κἄπολλον, οἷς ἐγὼ σπένδω."

1695. Θώϋξεν] ἐκάλεσεν· ἐβόησεν.

1701. Αὐδᾷ μολεῖν οἱ γῆς] ἀντὶ τοῦ, πρὸς αὐτόν.

1703. Πίστιν ἀρχαίαν] διὰ τοῦ ἀρχαίαν βάλλει λέγειν ἀρχὴν πίστεως.

Λεύσσειν δικαιῶν, μηδὲ φωνέντων κλύειν.
Ἀλλ' ἕρπετ' ὡς τάχιστα· πλὴν ὁ κύριος
Θησεὺς παρέσω μανθάνων τὰ δρώμενα.
Τοσαῦτα φωνήσαντος εἰσηκέσαμεν
Ξύμπαντες· ἀσακτὶ δὲ σὺν ταῖς παρθένοις
Στένοντες ὡμαρτέμεν· ὡς δ' ἀπήλθομεν,
Χρόνῳ βραχεῖ τραφέντες, ἐξαπείδομεν
Τὸν ἄνδρα, τὸν μέν, ἐδαμῶ παρόντ' ἔτι,
Ἀνακλα δ' αὐτὸν ὀμμάτων ἐπίσκιον
Χεῖρ' ἀνέχοντα * κρατὸς, ὡς δεινῶ τινος
Φόβῳ φανέντος, ὁδ' ἀνασχεῖν βλέπειν.
Ἐπεῖτα μέντοι βαιὸν, ἐδὲ σὺν χρόνῳ,
Ὁρῶμεν αὐτὸν γῆν τε προσκυνοῦνθ' ἅμα,
Καὶ τὸν θεῶν Ὄλυμπον ἐν ταὐτῷ λόγῳ.
Μόρῳ δ' ὁποίῳ κεῖνος ὤλετ', ὁδ' ἂν εἷς
Θνητῶν φράσειε, πλὴν τὸ Θησέως κάρα.
Οὐ γάρ τις αὐτὸν ἤτε πυρφόρος θεῶ
Κεραυνὸς ἐξέπραξεν, ἤτε πομπία
Θύελλα κινηθεῖσα τῷ τότ' ἐν χρόνῳ·
Ἀλλ' ἤ τις ἐκ θεῶν πομπὸς, ἢ τὸ νερτέρων
Εὔνυον διασὰν γῆς ἀλύπητον βάθρον.
Ἀνὴρ γὰρ ὁ ξενακτὸς, ὁδὲ σὺν νόσοις

* Turn. in marg. Ἔχοντα χεῖρα.

1713. Δικαιῶν] δίκαιον κρίνειν.

1717. Ἀσακτὶ] πολύσακλι, πολυδακρύτως.

1719. Στραφέντες, ἐξαπείδομεν] ἴδιον αὐτῆ τὸ πολλαῖς κεχρῆσθαι ταῖς προθέσεσι· παραφυλακτέον δὲ πῶς καὶ τὰ ἀρρήτα ὑπ' ὄψιν ἤγαγεν ὁ ἄγγελος, ἐκ τῶν σχημάτων μηνύων.

1721. Ἀνακλα δ' αὐτὸν] τὸν Θησέα εἴδομεν κατὰ τὴ κρατὸς ἔχοντα χέρα ἐπίσκιον ὀμμάτων, ὅ ἐστι, τῇ χειρὶ σκέπουσα τὰς ὀφθαλμὰς, φρὸς τὸ μὴ θεωρῆσαι τὸ δεινὸν τῆ πάθες· ἢ τὸ σχῆμα τῶν θαυμαζόντων ἐνδεικνύμενον.

1724. Ἐπεῖτα μέντοι βαιὸν] ἀντὶ τῆ, μετ' ὀλίγον· ἢ μετὰ πολύ.

1730. Κεραυνὸς ἐξέπραξεν] ἐνεῖλεν.

1732. Ἢ τὸ νερτέρων] ἢ τὸ νερτέρων γῆς πέδον εὔνυον διασάν. Ὅ ἐστι, χάσμα αὐτῷ εὔνυον ἐγένετο.

1733. Ἀλύπητον] γράφεται ἀλάμπετον.

1735. Ἀλλ',

Ἀλλ᾽ εἰνὸς ἐξεπέμπετ᾽, ἀλλ᾽ εἴ τις βροτῶν, 1735
Θαυμαστός· εἰ δὲ μὴ δοκῶ φρονῶν λέγειν,
Οὐκ ἂν παρείμην οἷσι μὴ δοκῶ φρονεῖν.

ΧΟΡ. Πῦ δ᾽ αἵ τε παῖδες, χ᾽οἱ προπέμψαντες φίλων;

ΑΓΓ. Αἵδ᾽ ἔχ ἑκάς· γόων γὰρ οὐκ ἀσήμονες
Φθόγγοι σφε * σημαίνουσι δεῦρ᾽ ὁρμωμένας. 1740

ΠΕΡΙΚΟΜΜΑΤΑ. ΣΤΡΟΦΗ Α.

ΑΝΤ. Αἵ, αἵ· φεῦ· ἔσιν, ἔσι νῶϊν δὴ
Οὐ τὸ μὲν, ἄλλο δὲ μὴ, παλρὸς ἔμφυλον
Ἄλαστον αἷμα δυσμόροιν ξενάζειν.
Ὤι τινι τὸν πολὺν
Ἀλλόθε μὲν πόνον ἔμπεδον εἴχομεν †, 1745
Ἐν θυμάτῳ δ᾽ ἀλόγισα παροίσομεν
Ἰδόντε καὶ παθόσα.

* Turn. in marg. δὲ. † Aldus, ἔχομεν.

1735. Ἀλλ᾽, εἴ τις βροτῶν] ὡς ἀδεὶς ἄλλος.
1736. Εἰ δὲ μὴ δοκῶ φρονεῖν] εἰ δέ τις οἴεται με μὴ φρονοῦντα λέγειν, ἐκ ἂν αὐτῷ συγχωρήσαιμι ἀδὲ συγκαλαθείμην, ὅτι ταῦτα ὡς ἄφρων λέγω.
1737. Οὐκ ἂν παρείμην] παραχωρήσαιμι.
1738. Χ᾽οἱ προπέμψαντες] ἀντὶ τοῦ, ὁ Θησεύς.
1741. Αἵ, αἵ· φεῦ] αἱ Θυγατέρες ἐν μέρει αὐτοῦ ἀπολοφύρονται, ἐφ᾽ οἷς τε νῦν σὺν τῷ παλρὶ ἔπαθον, καὶ ἅπερ ἐκδέξεται αὐτάς. Καὶ ἐςὶ τὰ ἐφεξῆς τῆ δράματος ἐκ εὐκαταφρόνητα. Τὸ ἐξῆς, ἐςὶ νῶϊν ξενάζειν ἡ τὸ ἔμφυλον μὲν παλρὸς αἷμα, ἄλλο δὲ μὴ, ἀλλὰ πολλὰ δηλονότι.
1745. Ἀλλόθε μὲν πόνον] πρότερον μὲν τινὰ ἐπάσχομεν ἐπὶ τῷ παλρί· τὸ δὲ τύμαλον τοῦτο καὶ ἔσχαλον τὸ κατὰ τὴν ἀφάνισιν αὐτοῦ, ὥτω παράδοξόν ἐςιν ὡς μηδὲ λόγον εἰρέσθαι ἐπ᾽ αὐτῷ δυνατὸν εἶναι.
1746. Ἀλόγισα] ἀδιήγητα παπὰ βασάζομεν.
1747. Ἰδόντε καὶ παθόσα] ἀντὶ τοῦ, ἰδοῦσαι καὶ παθοῦσαι. πολλαχοῦ δὲ τῷ σχήματι χρῆται, ἀντὶ τῶν δηλυκῶν τὰ ἀρρενικὰ τιθεὶς καὶ ἐν Ἡλέκτρᾳ·

" Ὦ τοῖσιν ἐχθροῖς εὖ βεβηκόσιν ποτὲ,
" Ψυχῆς ἀφειδήσαντε περὶ σήτην φόνε."

Καὶ πάλιν·

——" Ὅρα, κακᾶς
" Πράσσοντε, μὴ μείζω πακὰ κλησώμεθα."

Καὶ Ὅμηρος·

" Τώδε βάτην τρήρωσι πελειάσιν ἴθμαθ᾽
" Ὁμοῖαι."

Καὶ Ἡσίοδος·

" Καὶ τότε δὴ περὶς Ὄλυμπον ἀπὸ χθονὸς
" Εὐρυοδείης
" Λευκοῖσιν φαρέεσσι καλυψαμένω χρόα
" καλὸν,"
" Ἀθανάταν μετὰ φῦλον ἴσαν, περολιπόντ᾽
" ἀνθρώπους,
" Αἰδὼς καὶ Νέμεσις."—

1749. Οὐκ

ΣΥΣΤΗΜΑ Α.

ΧΟΡ. Τίδ' ἐσίν;

ΑΝΤ. Οὐκ ἐσίν μὲν εἰκάσαι, φίλοι.

ΧΟΡ. Βέβηκεν;

ΑΝΤ. Ὡς μάλις' ἂν εἰ πόθῳ λάβοις.

Τί γὰρ, ὅτῳ μήτ' ἄρης
Μήτε πόντος ἀνέκυρσεν,
Ἄσκοποι δὲ πλάκες
Ἔμαρψαν ἐν ἀφανεῖ
Τινὶ μόρῳ φαινόμεναι;
Τάλαινα· νῶϊν δ' ὀλεθρία
Νὺξ ἐπ' ὄμμασι βέβηκε·
Πῶς γὰρ, ἤ τιν' ἀπίαν γᾶν, ἢ
Πόντιον κλύδων' ἀλώμεναι, βίᾳ
Δύσοιζον ἔξομεν τροφάν;

ΣΤΡΟΦΗ Β.

ΙΣΜ. Οὐ κάτοιδα· καλά με φόνιος
Ἀΐδας ἕλοι πελᾶ
Ξυνθανεῖν γεραιῷ
Τάλαιναν· ὡς ἔμοιγ' ὁ μέλλων
Βίος ἐ βιωλός.

1749. Οὐκ ἔσι μὲν εἰκάσαι] ἐδὲ εἰκόνα ἔχω λαβεῖν τῦ πάθες.

1751. Ὡς μάλις' ἂν εἰ πόθῳ λαβοῖς] ὡς ἂν ἐπιποθήσαις τὸν τρόπον τῆς τελευτῆς μαθεῖν ἢ, ὡς μάλιςα ἄν τις πόθησαι μαθεῖν ὅπως βέβηκεν, οἷον, παραδόξως· καὶ ἐπιφέρει τὴν αἰτίαν τῦ παραδόξε δοκεῖν εἶναι.

1752. Τί γὰρ ὅτῳ μήτ' ἄρης] πρὸς τὸ ἄνω· τί γάρ ἔςιν εἰκάσαι ἐκείνῳ, ὅτινι μήτε πόλεμος μήτε νόσος ἐπῆλθεν, ἀλλ' ἀφανῶς διὰ χάσμαίος ἀπολομένῳ;

1757. Νῶϊν δὲ] ἡμῖν· ἐμοὶ καὶ Ἰσμήνῃ. τὸ δὲ τάλαινα, διὰ μέσε ἀναπεφώνηαι.

1759. Πῶς γὰρ, ἤ τίν' ἀπίαν γᾶν] πῶ γῆς πλανηθῆσαι, τροφῆς τύχοιμεν; ἀπίαν γᾶν, τὴν μακρὰν καὶ ἀπόθεν ὖσαν.

1761. Δύσοιζον] τὴν δυσπόριςον. Ἵν' ᾖ τὸ πάθος ἐπίτασις, ὅτι εἰ καὶ τροφῆς εὐπορήσομεν, ἀνδρῶς προσοισόμεθα, τῦ πάλαι ἐςερημένοι.

1767. Ὦ

ΣΥΣΤΗΜΑ Β.

ΧΟΡ. Ὦ δίδυμα τέκνων ἄρισα,
" Τὸ φέρον ἐκ θεῦ, καλῶς
" Χρὴ φέρειν," μηδ' ἄγαν ἔτω
Φλέγεσθον· ἔ-
τοι καλάμεμπτ' ἔβηλον.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

ΑΝΤ. Πόθος καὶ κακῶν ἆρ' ἦν τις.
Καὶ γὰρ ὃ μηδαμῆ δὴ τὸ φίλον, φίλον,
Ὁπότε γε καὶ τὸν ἐν χεροῖν καλεῖχον.
Ὦ πάτερ, ὦ φίλος,,
Ὦ τὸν ἀεὶ κατὰ γᾶς σκότον εἰμένος·
Οὐδὲ γέρων ἀφίλητος ἐμοὶ πολε·
Καὶ τάδε * μὴ κυρήσῃς.

ΑΝΤΙΣΤΗΜΑ Α.

ΧΟΡ. Ἔπραξεν ἔν †.
ΑΝΤ. Ἔπραξεν οἷον ἤθελε.
ΧΟΡ. Τὸ ποῖον;
ΑΝΤ. Ἃς ἔχρῃζε γᾶς ἐπὶ ξένας

* Aldus, τάδε. † Aldus, Ἔπραξεν.

1767. Ὦ δίδυμα τέκνων] ταῦτα ὁ Χορὸς, παραινῶν ἐμμένειν τοῖς ἐγνωσμένοις παρὰ θεῶν· φέρειν γὰρ (φησὶ) χρὴ τὸ ἐκ θεῶν εἱμαρμένον καλῶς.

1769, 1770. Μηδ' ἄγαν ἔτω—Φλέγεσθον] ἀντὶ τῦ, μὴ ἄκρως φλέγεσθε, τὸ ἐκ τῦ θεῦ πεμφθὲν δυσανασχέτως φέρουσαι.

1771. Οὗτοι καλάμεμπτα] ἐκ ἐν τοιύτοις ἐςὲ ὥςε καλαμέμφεσθαι. Ἤτοι, ὡς ἂν ἐπικυφίζοιλος αὐταῖς τὴν συμφορὰν τῦ βασιλέως· ἢ, οἷον ἐκ ἐν χείροιν νῦν ὑμῖν ἔσαι τὰ πράγματα.

1772. Πόθος καὶ κακῶν ἆρ' ἦν τις] οἱ μὲν περὶ τὸν Χορὸν παραμυθεῖσθαι πειρῶνται αὐτάς. Αἱ δὲ ἐδὲν ἧσσον ἐπὶ τὰ ἐαυτῶν χαρεῦσι, καὶ ὀλοφύρονται· καί φασιν, ἦν ἄρα τις καὶ κακῶν πόθος· ὡς ἡμεῖς ἐν κακοῖς ὄντες τῦ παλρὸς καὶ μὴ ὁρῶντος, ἐςέρομεν αὐτὸν, καὶ νῦν μὴ παρόντα ποθῦμεν, ὡς ὅτε ἐν χερσὶν καλεῖχον τὸν Οἰδίποδα, περιέςελλον καὶ ἐθεράπευον. Ἢ ἔτως, καὶ γὰρ δυςυχῆντα τὸν παλέρα ἐποθῦμεν θεραπεύειν, καὶ νῦν μὴ παρόντα ποθῦμεν.

1777. Γέρων ἀφίλητος] λείπει τὸ ἦς.

1778. Καὶ τάδε μὴ κυρήσῃς] καὶ ταῦτα μὴ γένοιτό μοι ἄφιλος.

1782. Ἃς ἔχρῃζε γᾶς] ἐφ' ἧς ἤθελε ξένης γῆς ἀπῆλθανε.

Ἔθανε· κοίταν δ' ἔχει
Νέρθεν εὐσκίαστον αἰεν,
Οὐδὲ πένθος ἔλι-
πε· πολλὰ γὰρ ὑμ-
μά σε τόδ', ὦ πάτερ, ἐμὸν
Στένει δακρύρροον *· ὐδ' ἔχω
Πῶς με χρὴ τὸ σὸν τάλαιναν
Ἀφανίσαι τοσόνδ' ἄχος· ἰώ, μὴ †
Γᾶς ἐπὶ ξένας θανεῖν ἔχρηζες, ἀλ-
λ' ἔρημος ἔθανες ὧδέ μοι.

ΑΝΤΙΣΤΡΟΦΗ Β.

ΨΣΜ. Ὦ τάλαινα, τίς ἄρα με πότμος
Αὖθις ὧδ' ἔρημος, ἄπορος,
Ἐπιμένει, σέ τ' ‡, ὦ φίλα,
Πάλροὸς ὧδ' ἐρήμας;

ΑΝΤΙΣΤΣΤΗΜΑ Β.

ΧΟΡ. Ἀλλ' ἐπεὶ ὀλβίως γ' ἔλυσε
Τὸ τέλος, ὦ φίλαι, βίᾳ,
"Λήγελον § τᾶδ' ἄχεος.
"Κακῶν γὰρ ὅ-
"τοι δυσάλωλος ὐδείς."

* Ald. δακρύον. † Turn. in marg. μοι. ‡ Ald. ἐπιμένεις ἔπ'.
§ Aldus, λήγελε.

1790. Τοσόνδ' ἄχος] τοιόνδε, τὸ παρὰ σε ἄχος, τηλικοῦτόν ἐστιν.
Ib. Ἰὼ, μὴ] τὸ ἐξῆς, μὴ ἔχρηζες· ἀντὶ τοῦ, μὴ ὄφελες.
1792. Ἔρημος] μεμονωμένος τῶν συγγενῶν.
1797. Ἀλλ' ἐπεὶ ὀλβίως γ' ἔλυσεν] ἐπεὶ ὁ Οἰδίπους εὐδαιμόνως ἀπέθανε μὴ λίαν θρηνεῖτε.
1801. Δυσάλωλος ὐδείς] ὐδεὶς δύσληπτος, ἀλλ' εὐάλωτος.
1803. Ὡς

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

ΑΝΤ. Πάλιν, φίλα, συθῶμεν.
ΙΣΜ. Ὡς τί ῥέξωμεν;
ΑΝΤ. Ἵμερος ἔχει με.
ΙΣΜ. Τίς; 1805
ΑΝΤ. Τὰν χθονίαν * ἐσίαν ἰδεῖν.
ΙΣΜ. Τίνος;
ΑΝΤ. Παῖρὸς, τάλαιν' ἔγωγε.
ΙΣΜ. Θέμις δὲ πῶς τάδ' ἐσί; μῶν δῆτ' ἐχ ὁρᾷς †;
ΑΝΤ. Τί τόδ' ἐπέπληξας; 1810
ΙΣΜ. Καὶ τόδ' ὡς.
ΑΝΤ. Τί τόδε μάλ' αὖθις;
ΙΣΜ. Ἄταφος ἔπιλνε, δίχα τε πανιτός.
ΑΝΤ. Ἄγε με, καὶ τότ' ἐνάριζον.
ΙΣΜ. Αἰ αἰ δυσάλαινα· ποῖ δῆ- 1815
τ' αὖθις ὧδ' ἔρημος, ἄπορος,
Αἰῶνα τλάμων ἔξω;
ΧΟΡ. Φίλαι, τρέσητε μηδέν.
ΑΝΤ. Ἀλλὰ ποῖ φύγω;
ΧΟΡ. Καὶ πάρος ἀπεφεύγετον 1820
Σφῶϊν τὸ μὴ πιλνεῖν κακῶς.

* Turn. in marg. χθόνιον. † Ald. μῶν ἐχ ὁρᾷς.

1803. Ὡς τί ῥέξωμεν] κατὰ κῶλον ἀλλήλαις διαλέγονται πάνυ παθητικῶς· καὶ μή τινι ἀπίθανον δόξῃ ἀνομαγόμενον, καὶ τὸ ἐπιθυμεῖν τὴν Ἀντιγόνην ὀπίσω ἰέναι ἐπὶ τὸν τοῦ πατρὸς τάφον, μὴ ἐπισαμένην τὸ κατ' αὐτὸν ὅπως ἀπίθανεν. ἀλλὰ τὸ ἦθος ἐννοείτω τὸ παθητικὸν, καὶ ὁ μάλιστα παράγουσιν αἱ γυναῖκες ἐν τοῖς τοιούτοις συμπαθήμασιν, ἀεὶ ἐπιφοιτᾶν θέλησαι τοῖς τῶν θανόντων τάφοις.

1809. Μῶν δῆτ' ἐχ ὁρᾷς] ἐχ ὁρᾷς καὶ τόδε, ὡς ἄταφος ἔπιλνε δίχα τε πανιτός; τὰ δὲ ἄλλα διὰ μέσου κατ' ἀκόλουθον τῆς Ἀντιγόνης.

1820. Καὶ πάρος ἀπεφεύγετον] καὶ πρόσθεν φησὶν, ὡς εἰς καλαφυγήν τινα πρὸς τὰ ἐνταῦθα καλισφύγετε, καὶ τοιαῦτα εὔρατε; καὶ νῦν πάλιν ζητεῖτε καλαφεύγειν.

1821. Σφῶϊν τὸ μὴ πιλνεῖν] κακῶς ἡ ἀλλαγμία. διὸ τὸ χ.

ΑΝΤ. Φρονῶ.

ΧΟΡ. Τί δῆθ' ὑπερνοεῖς;

ΑΝΤ. Ὅπως μολόμεθ' ἐς δόμους ἐκ ἔχω.

ΧΟΡ. Μηδέ γε μάτευε· μόγος ἔχει. 1825

ΑΝΤ. Καὶ πάρος· ἐπεὶ

Τοτὲ μὲν πέρα, τοτὲ δ' ὕπερθεν.

ΧΟΡ. Μέγ' ἄρα πέλαγος ἐλάχεῖόν τι,

ΑΝΤ. Ναὶ, ναί.

ΧΟΡ. Ξύμφημι καὐτός. 1830

ΑΝΤ. Φεῦ, φεῦ· ποῖ μόλωμεν, ὦ Ζεῦ;

Ἐλπίδων γὰρ ἐς τί με

Δαίμων ταύτην γ' ἐλαύνει.

ΑΝΑΠΑΙΣΤΟΙ.

ΧΟΡ. Παύεῖε θρήνων, παῖδες· ἐν οἷς γὰρ

Χάρις ἡ χθονία ξυναπόκειται, 1835

Πενθεῖν ἐ χρή· νέμεσις γάρ.

ΑΝΤ. Τέκνον Αἰγέως, προσπίτνομέν σοι.

ΘΗΣ. Τίνος, ὦ παῖδες, χρείας ἀνύσαι;

ΑΝΤ. Τύμβον θέλομεν

Προσιδεῖν αὐταὶ παλρὸς ἡμεῖέρυ. 1840

ΘΗΣ. Ἀλλ' ἐ θεμιτόν σοι κεῖσε μολεῖν.

ΑΝΤ. Πῶς εἶπας, ἄναξ κοίρανε Ἀθηνῶν;

ΘΗΣ. Ὦ παῖδες, ἀπεῖπεν ἐμοὶ κεῖνος

Μήτε πελάζειν ἐς τόσδε τόπους,

1834. Παύεῖε θρήνων, παῖδες] τῇ μὲν ἑρμηνείᾳ ἐπισῆσαι ἄξιον· τὸ δὲ τῆς διανοίας, ἀσαφές· φησὶ γὰρ ὁ Χορὸς, μὴ θρηνεῖτε, ὦ παῖδες· νέμεσις γάρ ἐςι τοῦτον θρηνεῖν, ὧ τὰ τῆς τελευτῆς κατὰ χάριν ἀπέβη. Οὐ χρὴ ἓν τούτους πενθεῖν, οἷς κεχαρισμένον ἐςὶ τὸ ἀποθανεῖν.

1843. Ὦ παῖδες, ἀπεῖπεν ἐμοὶ] παραφύλαξον τὴν τέχνην. πῶς αἱ μὲν εἰσὶ νέαι καὶ ἄπειροι τῶν κατὰ τὴν ὑπόθεσιν· ὁ δὲ Θησεὺς ἔνια λέγει τῶν εἰρημένων αὐτῷ ὑπὸ τῶ Οἰδίποδος· τὰ δὲ τελευταῖα, καὶ δυσεραπελώτερα· καὶ ὁ ῥᾴδιως ἐςὶν αὐτῶν καλακραῖῆσαι ἐν τῇ ἐξηγήσει· πεποίηται γὰρ ταῦτα εἰς τὸ ἀσαφέςερον.

Μήτ' ἐπιφωνεῖν μηδένα θνητῶν
Θήκην ἱερὰν, ἣν κεῖνος ἔχει.
Καὶ ταῦτά μ' ἔφη πράσσοντα, καλῶς
Χώραν ἕξειν αἰὲν ἄλυπον.
Ταῦτ' ἦν ἔκλυε δαίμων ἡμῶν,
Χ' ὡ πάντ' αἰῶν Διὸς ὅρκος.
ΑΝΤ. Ἀλλ' εἰ τάδ' ἔχει καλὰ νῦν κείνῳ,
Ταῦτ' ἂν ἀπαρκοῖ· Θήβας δ' ἡμᾶς
Τὰς Ὠγυγίας πέμψον, ἐάν πως
Διακωλύσωμεν ἰόντα φόνον
Τοῖσιν ὁμαίμοις.
ΘΗΣ. Δράσω καὶ τάδε, καὶ πάνθ' ὅσα ἂν
Μέλλω πράσσειν πρόσφορά θ' ὑμῖν
Καὶ τῷ καλὰ γῆς, ὃς νέον ἔρρει,
Πρὸς χάριν· ἐ γὰρ δεῖ μ' ἀποκάμνειν.
ΧΟΡ. Ἀλλ' ἀποπαύεο, μήτ' ἐπὶ πλείω
Θρῆνον ἐγείρεο.
Πάντως γὰρ ἔχει τάδε κῦρος.

1851. Ἀλλ' εἰ τάδ' ἔχει κατὰ νῦν κείνῳ] εἰ ἀρέσκει τέτῳ τὸ μὴ λεχθῆναι ἡμῖν ταῦτα, καὶ ἡμῖν ἀρκεῖ τὸ μὴ ἀκῦσαι.

1855. Τοῖσιν ὁμαίμοις] Ἐτεοκλεῖ καὶ Πολυνείκῃ.

1857. Πρόσφορα] ἀντὶ τῦ, χρήσιμα.

ΣΟΦΟΚΛΕΟΥΣ

ΑΝΤΙΓΟΝΗ.

ΥΠΟΘΕΣΙΣ

ΑΝΤΙΓΟΝΗΣ.

Ἀποθανόντα Πολυνείκην ἐν τῇ πρὸς τὸν ἀδελφὸν μονομαχίᾳ, Κρέων ἄταφον ἐκβαλὼν, κηρύττει μηδένα αὐτὸν θάπτειν, θάνατον τὴν ζημίαν ἀπειλήσας. Τοῦτον Ἀντιγόνη ἡ ἀδελφὴ αὐτοῦ θάπτειν πειρᾶται· καὶ δὴ λαθοῦσα τοὺς φύλακας, ἐπιβάλλει τῷ νεκρῷ χῶμα *· οἷς ἐπαπειλεῖ θάνατον ὁ Κρέων, εἰ μὴ τὸν τοῦτο δράσαντα ἐξεύροιεν· ἔτοι δὲ τὴν † κόνιν τὴν ἐπιβεβλημένην καθάραντες ‡, ὑδὲν ἧττον ἐφρούρουν. Ἐπελθοῦσα δὲ ἡ Ἀντιγόνη, καὶ γυμνὸν εὑροῦσα τὸν νεκρὸν §, ἀνοιμώξασα, ἑαυτὴν εἰσαγγέλλει· ταύτην δὲ ὑπὸ ‖ τῶν φυλάκων παραδεδομένην Κρέων καθαδικάζει, καὶ ζῶσαν εἰς τύμβον καθεῖρξεν· ἐπὶ τούτοις Αἵμων ὁ Κρέοντος, ὃς ‖‖ ἐμνᾶτο αὐτὴν, ἀγανακτήσας ἑαυτὸν προσεπισφάζει τῇ κόρῃ ἀπολομένῃ ἀγχόνῃ, Τειρεσίου ταῦτα προθεσπίσαντος. Ἐφ' ᾧ λυπηθεῖσα Εὐρυδίκη ἡ τοῦ Κρέοντος γαμετὴ, ἑαυτὴν ἀποσφάζει §§· καὶ τέλος, θρηνεῖ Κρέων τὸν τοῦ παιδὸς καὶ τῆς γαμετῆς θάνατον.

* Ald. ἐπιβάλλει χῶμα. † Ald. ἔτοι τὴν. ‡ Ald. καθαιρέντες.
§ Ald νέκυν. ‖ Ald. ταύτην ὑπὸ. ‖‖ Ald. ὁ Κρέοντος υἱός.
§§ Ald. καθασφάζει.

ΑΛΛΩΣ,

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Ἀντιγόνη παρὰ τὴν πρόσαξιν τῆς πόλεως θάψασα τὸν Πολυνείκην, ἐφωράθη· καὶ εἰς μνημεῖον κατάγειον ἐληθεῖσα παρὰ τῦ Κρέοντος ἀνήρηται· ἐφ' ᾗ καὶ Αἵμων δυσπαθήσας διὰ τὸν εἰς αὐτὴν ἔρωτα, ξίφει ἑαυτὸν διεχρήσατο· ἐπὶ δὲ τῷ τότε θανάτῳ καὶ ἡ μήτηρ Εὐρυδίκη ἑαυτὴν ἀνεῖλε.

Κεῖται δὲ ἡ * μυθοποιΐα αὕτη καὶ † ἐν Εὐριπίδε ΑΝΤΙΓΟΝΗι ‡· πλὴν ἐκεῖ φωραθεῖσα τῷ Αἵμονι δίδοται § πρὸς γάμε κοινωνίαν, καὶ τέκνον τίκτει || τὸν Μαίμονα.

Ἡ μὲν σκηνὴ τῦ δράματος ὑπόκειται ἐν Θήβαις ταῖς Βοιωτικαῖς· ὁ δὲ Χορὸς συνέσηκεν ἐξ ἐπιχωρίων γερόντων. προλογίζει δὲ ἡ Ἀντιγόνη. ὑπόκειται δὲ τὰ πράγματα ἐπὶ τῶν Κρέοντος βασιλείων· τὸ δὲ κεφάλαιόν ἐστι, τάφος Πολυνείκες, καὶ Ἀντιγόνης ἀναίρεσις, καὶ θάνατος Αἵμονος, καὶ Εὐρυδίκης §§ τῆς Αἵμονος ||| μητρός. φασὶ δὲ τὸν Σοφοκλέα ἠξιῶσθαι τῆς ἐν Σάμῳ στρατηγίας, εὐδοκιμήσαντα ἐν τῇ διδασκαλίᾳ τῆς Ἀντιγόνης. λέλεκται δὲ τὸ δρᾶμα τῦτο τριακοσὸν δεύτερον.

* Ald. Κεῖται ἡ. † Ald. μυθοποιΐα καὶ. ‡ Ald. παρ' Εὐριπίδῃ.
§ Ald. φωραθεῖσα μετὰ τῦ Αἵμονος, δίδοται. || Ald. καὶ τίκτει.
§§ Ald. καὶ μόρος Εὐρυδίκης. ||| Ald. τῆς τῦ Αἵμονος.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΑΝΤΙΓΟΝΗ.

ΙΣΜΗΝΗ.

ΧΟΡΟΣ, ΕΚ ΘΗΒΑΙΩΝ ΓΕΡΟΝΤΩΝ.

ΚΡΕΩΝ.

ΦΥΛΑΣ, ΑΓΓΕΛΟΣ.

ΑΙΜΩΝ.

ΤΕΙΡΕΣΙΑΣ.

ΑΓΓΕΛΟΣ ΑΛΛΟΣ.

ΕΥΡΥΔΙΚΗ.

ΕΞΑΓΓΕΛΟΣ.

Προλογίζει δὲ ἡ ΑΝΤΙΓΟΝΗ.

ΑΝΤΙΓΟΝΗ.

ΑΝΤΙΓΟΝΗ, ΙΣΜΗΝΗ, ΧΟΡΟΣ.

ΙΑΜΒΟΙ.

ΑΝΤ. Ὦ κοινὸν αὐτάδελφον Ἰσμήνης κάρα,
Ἆρ' οἶσθ' ὅ,τι Ζεὺς τῶν ἀπ' Οἰδίπε κακῶν
Ὁποῖον οὐχὶ νῶϊν ἔτι ζώσαιν τελεῖ;
Οὐδὲν γὰρ ὔτ' ἀλγεινὸν, ὔτ' ἄτης ἄτερ,
Οὔτ' αἰσχρὸν, ὔτ' ἄτιμόν ἐσθ', ὁποῖον ἐ
Τῶν σῶν τε κἀμῶν ἐκ ὄπωπ' ἐγὼ κακῶν.
Καὶ νῦν, τί τῆτ' αὖ φασὶ πανδήμῳ πόλει
Κήρυγμα θεῖναι τὸν στρατηγὸν ἀρτίως;
Ἔχεις τι, κεἰσήκουσας; ἢ σε λανθάνει
Πρὸς τοὺς φίλους στείχοντα τῶν ἐχθρῶν κακά;

ΙΣΜ. Ἐμοὶ μὲν ἀδεὶς μῦθος, Ἀντιγόνη, φίλων

1. Ὦ κοινὸν αὐτάδελφον] Περιφραστικῶς, ὦ ἀδελφὴ Ἰσμήνη. Αὐτάδελφον δὲ εἶπεν, ὅτι ἐκ τῶν αὐτῶν γεγόνασι· πολλάκις δὲ ὁ Σοφοκλῆς ἐπὶ τῆ ἀδελφῆ τὸ κοινὸν τίθησιν, ὡς νῦν· ἐπειδὴ τὸ ἀδελφὸς κοινῶς λέγεται ἐπὶ τῶν μὴ ἐξ ἀμφοτέρων τῶν γονέων ὄντων ἀδελφῶν, ἐπήγαγε τὸ αὐτάδελφον· ὅπερ παρίστησι τὴν ἐκ τῆ αὐτῆ πατρὸς καὶ μητρὸς γεγονότας· τὸ δὲ κοινὸν ὁ Σοφοκλῆς συνεχῶς ἐπὶ τῆ ἀδελφῆ τίθησιν, οἷον καὶ ἐν ταῖς Ὑδροφόροις τέταχε, Πολύκοινον Ἀμφιτρίτην, ἀντὶ τῆ πολυάδελφον.

2. Ἆρ' οἶσθ' ὅ,τι Ζεὺς] τὸ ὅ,τι ἀντὶ τῦ, ὁποῖον· ὁ δὲ νῦς, ἆρά γέ ἐστι τῶν ἀπ' Οἰδίποδος κακῶν ὁποῖον οὐχὶ ὁ Ζεὺς ζώσαις ἡμῖν ἐπιτελεῖ; ὡς εἰ ἔλεγεν, ἆρα ἔχει τι ὁ Ζεὺς τούτων τῶν κακῶν μεῖζον ποιῆσαι εἰς ἡμᾶς. εἶπε δὲ διτλῶς, πρῶτον μὲν, ὅ,τι, ἐπεὶα δὲ ὁποῖον, ἀρκοῦντος θαλέρου.

4. Οὔτ' ἄτης ἄτερ] Δίδυμος φησὶν ὅτι ἐν τούτοις, τὸ ἄτης ἄτερ, ἐναλλὰξ συλλέγεται τοῖς συμφραζομένοις· λέγει γὰρ ὅτως, ἐδὲν γάρ ἐστιν ὔτε ἀλγεινὸν, ὔτε ἀτηρὸν, ὔτε αἰσχρὸν, ὃ οὐκ ἔχομεν ἡμεῖς. Ἄτης ἄτερ δέ ἐστι τὸ ἀγαθόν· περισσὸν δὲ ἐστι καὶ τὸ ἕτερον ὡ, ὥστε ὥσπερ ἀπόφασιν εἶναι· σύνηθες δὲ τοῦτο τραγικοῖς.

7. Καὶ νῦν τι τῆτ' αὖ φασὶν] ἐγκλιτικῶς προσενεκλέον τὸ τι· ἐ γὰρ ἔστιν ἓν ἐρωτήσει ὁ λόγος, ἀλλ' ἐν ἀποφάσει ἀορίστως.

1b. Πανδήμῳ πόλει] πάσῃ τῇ πόλει.

9. Ἢ σε λανθάνει] ἢ λανθάνει σε τὰ τῶν ἐχθρῶν μηχανήματα ἐπὶ τοὺς φίλους ἰόντα. Τὰ ἀπὸ τῶν ἐχθρῶν κακὰ ἡμᾶς στείχοντα· ἢ δὲ πρὸς, ἀντὶ τῆς ἐπὶ λημμέα.

11. Ἀντιγόνη, φίλων] λεῖπει ἡ περὶ, ἵν' ᾖ περὶ φίλων.

1b. Ἀντιγόνη, φίλων] μὴ λάβῃς εἰς τὸ φίλων ἔξωθεν ὑπὲρ, ἀλλὰ πρὸς τὸ μῦθός ἐστιν ἡ τοιαύτη γενικὴ.

Οὔθ' ἡδὺς, οὔτ' ἀλγεινὸς ἵκετ', ἐξότου
Δυοῖον ἀδελφοῖν ἐστερήθημεν δύο,
Μιᾷ θανόντων ἡμέρᾳ διπλῇ χερί·
Ἐπεὶ δὲ φροῦδός ἐστιν Ἀργεῖος στρατὸς *
Ἐν νυκτὶ τῇ νῦν, οὐδὲν οἶδ' ὑπέρτερον,
Οὔτ' εὐτυχοῦσα μᾶλλον, οὔτ' ἀτωμένη.
ΑΝΤ. Ἥδειν καλῶς, καί σ' ἐκτὸς αὐλείων πυλῶν
Τοῦδ' οὕνεκ' ἐξέπεμπον, ὡς μόνη κλύοις.
ΙΣΜ. Τίδ' ἔστι; δηλοῖς γάρ τι καλχαίνουσ' ἔπος.
ΑΝΤ. Οὐ γὰρ τάφου νῷν † τὼ κασιγνήτω Κρέων,
Τὸν μὲν προτίσας, τὸν δ' ἀτιμάσας ἔχει;
Ἐτεοκλέα μὲν, ὡς λέγουσι, σὺν δίκῃ

* Ald. Turn. in marg. Ἀργείων στρατὸς. † Turn. νῶϊν.

14. Διπλῇ χερὶ] τῇ ὑπ' ἀλλήλων· τοῦτο γὰρ δηλοῖ τὸ διπλῇ· οἷον ὑπ' ἀλλήλων ἀναιρεθέντων ἀδελφῶν.

15. Ἐπεὶ δὲ φροῦδος] ἀντὶ τοῦ, ἀφ' οὗ. Ὅμηρος·

"Ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον."

Τὸ δὲ φροῦδος, καθ' ὑπερβολὴν εἴρηται.

Ib. Ἐπεὶ δὲ φροῦδος] μὴ εἴπῃς τὸ ἐπεὶ, ἀντὶ τοῦ, ἀφ' οὗ, ἀλλ' ὃν τρόπον λέγομεν, ἐπεὶ συνέβη ἐκεῖνο, γέγονε τοῦτο· οὕτω καὶ τοῦτο, ἐπεὶ δ' ἐν νυκτὶ τῇ νῦν ὁ στρατὸς τῶν ἀργείων ἐστὶ φροῦδος, ἤτοι ἐντεῦθεν διπῆρεν ἐπ' οἴκου, οὐδὲν οἶδ' ὑπέρτερον καὶ ἐπέκεινα τούτου. Εἶθ' ὥσπερ ἐφερμηνεύουσα τὸ ὑπέρτερον, φησὶν, οὔτ' εὐτυχοῦσα μᾶλλον, οὔτ' ἀτωμένη· τοῦτ' ἐστιν, οὔτ' εἰ εὐτυχῶ μᾶλλον, οὔτ' εἰ ἀτυχῶ ἐπίσταμαι.

16. Οὐδὲν οἶδ' ὑπέρτερον] ἀντὶ τοῦ πλέον· οἷον, οὐκ οἶδα ἐν τίσιν εἰμὶ, ἢ ἐν ἀγαθοῖς, ἢ ἐν κακοῖς.

17. Ἀτωμένη] ἄτῃ συνεχομένη.

18. Ἥδειν καλῶς] ἀντὶ τοῦ, ᾔδεα καὶ ᾔδειν σε καλῶς τὰ τοιαῦτα μὴ πολυπραγμονοῦσαν.

19. Τοῦδ' οὕνεκ' ἐξέπεμπον] ἀντὶ τοῦ, διὰ τοῦτό σε ἤγαγον ἐνταῦθα· τὸ δὲ ἐξέπεμπον, ἀντὶ τοῦ, μετεπεμπόμην.

20. Καλχαίνουσα] ἀντὶ τοῦ, πορφύρουσα, καὶ τεταραγμένως φροντίζουσα· κάλχη γάρ ἐστιν ὁ κόχλος τῆς πορφύρας, ἥτις ἐκ τοῦ βυθοῦ τῆς θαλάσσης ἀνιοῦσα βάπτει τὴν καλλίστην πορφύραν· ἀφ' οὗ καὶ Κάλχας ὁ μάντις. Ἄλλως. Ἐκ βάθους τι μερεμνῶσα, ὡς τὸ βυσσοδομεύων.

Ib. Καλχαίνουσ' ἔπος] τὸ καλχαίνω ἐκ μεταφορᾶς τοῦ κόχλου τοῦ τὴν πορφύραν ἐντὸς κρύπτοντος εἴρηται· κάλχη γὰρ ὁ κόχλος· εἰκότως δ' ἐτέθη ἡ λέξις. Ὥσπερ γὰρ ἡ πορφύρα ἐντὸς οὖσα τοῦ κόχλου ἐν ἀφανεῖ ἐστιν, ἢ καὶ ὅτι πρὸς τὸ σκοτεινὸν καὶ μελάντερον χρωματίζεται, οὕτω καὶ ὃν αὐτὸς ἔμελλεν εἰπεῖν λόγον, μήπως ἐκφανθεὶς, ἄγνωστος καὶ σκοτεινὲς ἦν.

21. Οὐ γὰρ τάφου νῷϊν] ἀντὶ τοῦ, ἡμῖν· ὁ δὲ λόγος κατ' ἐρώτησιν οὕτω πρὸς τὸ ἑξῆς· οὐ γὰρ τῶν κασιγνήτων ἡμῶν τὸν μὲν ἐτίμησε τάφῳ ὁ Κρέων, τὸν δὲ οὔ;

Ib. Οὐ γὰρ τάφου] τὸ τάφου οὐ πρὸς τὸ προτίσας, ἀλλὰ πρὸς τὸ ἀτιμάσας ἐστὶν, οὕτως· ὁ γὰρ Κρέων τὼ κασιγνήτω καὶ τοὺς ἀδελφοὺς ἡμῶν, τὸν μὲν, ἤτοι τὸν Ἐτεοκλέα, προτίσας καὶ προτιμήσας τοῦ Πολυνείκους ἔχει, ἤτοι θάψας· τὸν δὲ, ἤγουν, τὸν Πολυνείκην, ἀτιμάσας τάφου, τοῦτ' ἔστιν, ἀνάξιον καὶ ἄτιμον ταφῆς κρίνας.

23, 24. Σὺν δίκῃ χρησθεὶς] οἱ λέγοντες χρησθεὶς,

Χρησθεὶς δικαίᾳ καὶ νόμῳ, κατὰ χθονὸς
Ἔκρυψε, τοῖς ἔνερθεν ἔντιμον νεκροῖς·
Τὸν δ' ἀθλίως θανόντα Πολυνείκους νέκυν
Ἀςοῖσι φασὶν ἐκκεκηρύχθαι τὸ μὴ
Τάφῳ καλύψαι, μηδὲ κωκῦσαι τινα *·
Ἐᾷν δ' ἄκλαυςον, ἄταφον, οἰωνοῖς γλυκὺν
Θησαυρὸν, εἰσορῶσι πρὸς χάριν βορᾶς.
Τοιαῦτα φασι τὸν ἀγαθὸν Κρέοντά σοι,
Κἀμοὶ (γέγω γὰρ κἀμὲ) κηρύξαντ' ἔχειν·
Καὶ δεῦρο νεῖσθαι ταῦτα τοῖς μὴ εἰδόσι
Σαφῆ προκηρύξοντα· καὶ τὸ πρᾶγμ' ἄγειν
Οὐχ ὡς παρ' οὐδὲν, ἀλλ' ὃς ἂν τούτων τι δρᾷ,
Φόνον προκεῖσθαι δημόλευςον ἐν πόλει.
Οὕτως ἔχει σοι ταῦτα· καὶ δείξεις τάχα
Εἴτ' εὐγενὴς πέφυκας, εἴτ' ἐσθλῶν κακή.

ALD. TURN. κωκῦσαί τινα.

θεὶς, ἀντὶ τοῦ, χρησάμενος, καὶ διὰ τοῦτο τὸ σὺν ἀργὸν λαμβάνοντες, ἀμαθεῖς. Τὸ δ' ἐςὶ τοιοῦτο· Ἐτεοκλῆς, ὅτε πρὸς πόλεμον ἐξῄει, παρήγγειλε Κρέοντι αὐτὸν μὲν θάπτειν, Πολυνείκην δ' οὐ, εἰ τελευτὴ σφᾶς κατασχήσοι· ἔςιν οὖν τὸ χρησθεὶς, ἀντὶ τοῦ, παραγγελθείς. Καὶ μὴ εἴπῃς ὅτι τὸ χρησθεὶς, ἀντὶ τοῦ, χρησμὸν δεξάμενος, λέγεται· ὥσπερ γάρ ἐςι τὸ ἐθέσπισεν, οὐ μόνον ἐπὶ θεοῦ, ἀλλὰ καὶ ἐπὶ βασιλέως, οὕτω καὶ τοῦτο· βασιλεὺς γὰρ ἦν ὁ παραγγείλας· σύντασσε δ' οὕτω, τὸν Ἐτεοκλέα μὲν ἔθαψε κατὰ τῆς χθονὸς σὺν δίκῃ δικαίᾳ, ὡς λέγουσιν οἱ τὰ ἐκείνου φρονοῦντες, δηλονότι χρησθεὶς καὶ παραγγελθεὶς παρ' αὐτοῦ. σὺν δίκῃ δὲ δικαίᾳ, ἐπειδὴ τὸν ὑπὲρ τῆς πατρίδος τετελευτηκότα καὶ ταφῆς ἠξιῶσθαι δίκαιον.

29. Γλυκὺν θησαυρὸν] ἕρμαιον, εὕρημα.

30. Πρὸς χάριν βορᾶς] πρὸς τέρψιν τροφῆς.

Ib. Πρὸς χάριν βορᾶς] ἤγουν, ἐάν τις αὐτοῖς βορὰν χαρίσηται· ἢ τὸ πρὸς χάριν, ἀντὶ τοῦ, πρὸς ἡδονήν.

31. Τοιαῦτά φασι] τὸ ἑξῆς, τοιαῦτά φασι τὸν ἀγαθὸν Κρέοντα σοὶ κἀμοὶ κεκηρυχέναι, τὸ δὲ ἀγαθὸν, ἐν εἰρωνείᾳ.

32. Λέγω γὰρ κἀμὲ] διὰ μέσου μετὰ πάθους ἀνεφώνησε· λέγω γὰρ (φησὶν) ὅτι κἀμὲ προσπεριείληφε τῷ κηρύγματι. ἔτι γὰρ καὶ ἐμαυτὴν ἐν τοῖς ζῶσι καταριθμῶ.

Ib. Κηρύξαντ' ἔχειν] ἀντὶ τοῦ, κεκηρυχέναι· ὡς τὸ σιγήσας ἔχω, ἀντὶ τοῦ, σιγῶ. Λέγει δὲ, εἴπερ δεῖ κἀμὲ συγκαταριθμεῖσθαι ἐν τοῖς ζῶσι.

Ib. Κηρύξαντ' ἔχειν] εἰκότως εἶπε τὸ ἔχειν καὶ οὐκ εἶναι, ἐπειδὴ ἅπαξ κηρύξας εἶχε τοῦτο κεκηρυγμένον.

33. Καὶ δεῦρο νεῖσθαι] ἀντὶ τοῦ, ἡγεῖσθαι.

35. Οὐχ ὡς παρ' οὐδὲν] οὐχ ὡς ἔτυχεν ἔχειν τὸ πρᾶγμα· ἀντὶ τοῦ, οὐκ εὐτελῶς, καὶ ὡς παρέργον· ἀλλ' ὡς μέγα. Ἢ οὕτως, οὐχ ὡς οὐδὲν ἀλλὰ μέγα.

36. Φόνον προκεῖσθαι] οὕτω λέγε, ἢ προκεῖσθαι αὐτὸν φόνον δημόλευςον, ἢ προκεῖσθαι αὐτῷ φόνον δημόλευςον.

38. Εἴτ' ἐσθλῶν κακὴ] λείπει γονέων, ἵν' ᾖ, ἐσθλῶν γονέων.

39. Τίδ',

ΙΣΜ. Τίδ' ὦ ταλαῖφρον, εἰ τάδ' ἐν τούτοις, ἐγὼ
Λύουσ' ἂν ἢ θάπτουσα * προσθείμην πλέον;
ΑΝΤ. Εἰ ξυμπονήσεις καὶ ξυνεργάσῃ σκόπει.
ΙΣΜ. Ποῖόν τι κινδύνευμα; ποῦ † γνώμης πότ' εἶ;
ΑΝΤ. Εἰ τὸν νεκρὸν ξὺν τῇδε κουφιεῖς χερί.
ΙΣΜ. Ἦ γὰρ νοεῖς θάπτειν σφ' ἀπόῤῥητον πόλει;
ΑΝΤ. Τὸν γοῦν ἐμὸν καὶ τὸν σὸν, ἢν σὺ μὴ θελῃς,
Ἀδελφόν· οὐ γὰρ δὴ προδοῦσ' ἁλώσομαι.
ΙΣΜ. Ὦ σχετλία, Κρέοντος ἀντειρηκότος;
ΑΝΤ. Ἀλλ' οὐδὲν αὐτῷ τῶν ἐμῶν εἴργειν μέτα.
ΙΣΜ. Οἴμοι· φρόνησον, ὦ κασιγνήτη, πατὴρ
Ὡς νῷν ἀπεχθὴς δυσκλεής τ' ἀπώλετο,
Πρὸς αὐτοφώρων ἀμπλακημάτων διπλᾶς

* Ald. Turn. θάπτουσα. † Turn. πῇ.

39. Τίδ' ὦ ταλαῖφρον] τὸ ἑξῆς, τί δὲ ἂν σοι ἐγὼ προσθείμην πλεον; ἀντὶ τοῦ, σοὶ γενοίμην χρήσιμος, εἰ ταῦτα οὕτως ἔχοι, λύουσα τὸν νόμον, καὶ θάπτουσα τὸν ἀδελφόν. Εἰ δὲ γράφεται ἢ θάπτουσα, ἀντὶ τοῦ, λύουσα τὸν νόμον, ἢ ἐπιβεβαιοῦσα αὐτόν.

Ib. Εἰ τά δ' ἐν τούτοις] εἰ ταῦτα Κρέων ἐκέλευσε.

Ib. Εἰ τάδ' ἐν τούτοις] ἤγουν, ἐὰν δ' ἐν τοῦτοις ᾖ, ἤγουν, ἐὰν οὕτως ὁρισθῇ παρὰ τοῦ Κρέοντος, τί προσθείμην ἐγὼ πλέον, λύουσα ἂν τὸν ὁρισμὸν, καὶ θάπτουσα τὸν Πολυνείκην. Ἔστι δὲ τὸ λύουσα, καὶ τὸ θάπτουσα, διασάφησις τοῦ τί προσθείμην πλέον· καὶ γὰρ τὸ μὴ τοῖς κεκελευσμένοις ὑπείκειν, ἀλλὰ παρὰ ταῦτά τι διαπράττεσθαι, ὥσπερ τις προσθήκη ἐστίν. Ἰστέον δ' ὅτι τὸ ἢ σύνδεσμος, ποῦ μὲν διαζευκτικός ἐστι, ποῦ δὲ σημασίαν τοῦ καὶ ἔχει, ὥσπερ καὶ ἐνταῦθα. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν ὅτι οὐκ ἂν δυναίμην ὑπὲρ τὰ διατεταγμένα ποιεῖν· τοῦτο δ' ἂν ἦν εἰ ταῦτα λύσασα ἔθαψα τὸν Πολυνείκην· ὅπερ ἐμοὶ καθάπαξ ἀδύνατον.

40. Προσθείμην] ἀντὶ τοῦ, ποιήσαιμι.

42. Ποῖόν τι κινδύνευμα] ἐκ τούτου ἤδη τὸ ἦθος· ὅρα, κινδύνευμα καλούσης τὸ ἔργον· τὸ δὲ, Ποῖ γνώμης ποτ' εἶ, ὡς ἀδυνάτοις ἐπιχειρούσης λέγει.

44. Ἦ γὰρ νοεῖς θάπτειν σφ' ἀπόῤῥητον πόλει;] τὸν ἀπηγορευμένον καὶ κεκωλυμένον ὑπὸ τῆς πόλεως τολμᾷς θάπτειν σύ;

45. Τὸν γοῦν ἐμὸν καὶ τὸν σὸν] εἰ μὴ σύ θελεῖς θάπτειν, ἐγὼ τοῦτο ποιήσω μόνη. Ἢ οὕτως· κἂν μὴ προσποιῇ αὐτὸν εἶναι σὸν ἀδελφὸν, ἀλλ' ἀλλοτριοῖς σαυτὴν τῆς συγγενείας, ἐγὼ θάψω τὸν ἐμὸν καὶ σὸν ἀδελφόν. Δίδυμος δέ φησιν ὑπὸ τῶν ὑπομνηματιστῶν τὸν ἑξῆς στίχον νενοθεῦσθαι.

47. Ὦ σχετλία, Κρέοντος] αἱ ἀντιλογίαι δῆλαί εἰσιν· ἡ μὲν γὰρ τῷ πράγματι, ἡ δὲ τῇ οἰκειότητι ἀκολουθεῖ.

48. Ἀλλ' οὐδὲν αὐτῷ τῶν ἐμῶν] οὐ μέτεστιν αὐτῷ εἴργειν με ἀπὸ τῶν ἐμῶν. Ἢ οὕτως· οὐ μετῆν αὐτῷ τὰ ἡμέτερα βουλεύματα εἴργειν.

49, 50. Πατὴρ ὡς νῷν ἀπεχθὴς] τὰς συμφορὰς σκόπησον τοῦ παντὸς γένους, καὶ πῶς πατὴρ ἀκλεῶς ἀπώλετο· οὐ μόνον δὲ ἀκλεὴς, ἀλλὰ καὶ ἀπεχθὴς διὰ τὸν γενόμενον λοιμόν.

51. Πρὸς αὐτοφώρων ἀμπλακημάτων] αὐτὸς γὰρ ἑαυτὸν ἐφώρασε, καὶ ἔγνω συνὼν τῇ μητρί· ἢ, ὧν αὐτὸς ἐπόπτης ἐγένετο· ἢ, τῶν φανερῶν καὶ πᾶσιν ἐγνωσμένων.

Ib. Πρὸς

Ὄψεις ἀράξας αὐτὸς αὐτουργῷ χερί.
Ἔπειτα μήτηρ καὶ γυνὴ, διπλοῦν πάθος,
Πλεκταῖσιν ἀρτάναισι λωβᾶται βίον·
Τρίτον τ' ἀδελφὼ δύω μίαν καθ' ἡμέραν
Αὐτοκτενοῦντε τὼ ταλαιπώρω, μόρον
Κοινὸν κατειργάσαντ' ἐπ' ἀλλήλοιν χεροῖν.
Νῦν δ' αὖ μόνα δὴ νῷ * λελειμμένα, σκόπει
Ὅσῳ κάκις' ὀλούμεθ', εἰ νόμου βίᾳ
Ψῆφον τυράννων ἢ κράτη παρέξιμεν.
"Ἀλλ' ἐννοεῖν χρὴ τοῦτο μὲν, γυναῖχ' ὅτι
"Ἔφυμεν ὡς πρὸς ἄνδρας οὐ μαχουμένα."
Ἔπειτα δ' οὕνεκ' ἀρχόμεσθ' ἐκ κρεισσόνων·
Καὶ ταῦτ' ἀκούειν, κἄτι τῶνδ' ἀλγίονα.
Ἐγὼ μὲν οὖν, αἰτοῦσα τοὺς ὑπὸ χθονὸς
Ξύγγνοιαν ἴσχειν ὡς βιάζομαι τάδε,

* Turn. νῷ.

Ib. Πρὸς αὐτοφώρων] ἐμφανεστάτων, καὶ ἃ ἐφώρασεν αὐτὸς, καὶ εἰς ἃ ἐφωράθη.

53. Διπλοῦν ἔπος] διπλοῦν ὄνομα ἔχουσα, μήτηρ τε καὶ γυνή.

Ib. Διπλοῦν πάθος] τοῦτο λέγει, ἢ διότι συνῆλθον ἀμφότερα, τὴν αὐτὴν μητέρα αὐτοῦ καὶ γυναῖκα γενέσθαι· ἢ, ἐπειδὴ προεῖπεν, ὅτι ὁ πατὴρ αὐτοῦ δυσκλεὴς ἀπώλετο, ὅπερ ἦν ἓν πάθος· διπλοῦν δὲ τὸ καὶ τὴν μητέρα πεπνίχθαι· διπλασία γὰρ ἐντεῦθεν ἡ δυστυχία αὐτῶν ἐγένετο.

54. Ἀρτάναισιν] ἀγχόναις.

Ib. Λωβᾶται] ἀφανίζει, ἀπόλλυσι.

56. Αὐτοκτενοῦντε] αὐτοὶ ἑαυτοὺς φονεύειν σπεύδοντες· ἡ γὰρ κατ' ἀλλήλων ὁρμὴ καθ' ἑαυτοῦ ἦν· τῆς γὰρ αὐτῆς φύσεως ἦσαν ἀδελφοὶ τυγχάνοντες.

58. Μόνα δὴ νῷ λελειμμένα] μηδενὸς δηλονότι ἐπικούρου ὄντος ἡμῖν.

59. Εἰ νόμου βίᾳ] ἢ τοῦ περὶ τῆς ταφῆς ὄντος, ἢ τοῦ ὀφειλομένου παρὰ τῶν οἰκείων πρὸς τοὺς συγγενεῖς γενέσθαι.

59, 60. Εἰ νόμου βίᾳ ψῆφον τυράννων] εἰ τὴν γενομένην ψῆφον τῶν τυράννων τῇ τοῦ νόμου ἀνάγκῃ παραβαίημεν· τουτέστιν, εἰ τὴν ἐξουσίαν τὴν ἐκ τῶν νόμων τοῖς τυράννοις ἑπομένην παραβαίημεν.

60. Κράτη] τὰς βασιλείας.

61. Ἀλλ' ἐννοεῖν χρὴ τοῦτο] πρῶτον μὲν ὅτι ἀσθενεῖς ἐσμὲν ἐκ φύσεως, καθὸ γυναῖκες· ἔπειτα καὶ ὑπὸ τῆς τύχης ἀσθενέστεραι, καθὸ ἀσθενέστεραι· παρὰ τὸ Εὐριπίδειον·—

"Γυνὴ γὰρ τἄλλα μὲν φόβου πλέα,
"Κακὴ δ' ἐς ἀλκὴν καὶ σίδηρον εἰσορᾷν."

64. Κἄτι τῶνδ' ἀλγίονα] λυπηρότερα· λείπει δὲ τὸ, ὥστε ἀκούειν ταῦτα, καὶ τὰ τούτων χείρονα.

65. Τοὺς ὑπὸ χθονὸς] ἢ τὸν Πολυνείκη, ἢ τοὺς χθονίους δαίμονας· πιθανῶς δὲ καὶ τοῦ πρέποντος ἐφρόντισε· φησὶ γὰρ ὅτι ἀπολογήσομαι τοῖς κατὰ χθονός.

66. Ξύγγνοιαν ἴσχειν] συγγνώμην ἔχειν, ὅτι βίᾳ πράσσω ταῦτα.

Ib. Ὡς

Τοῖς ἐν τέλει βεβῶσι πείσομαι· " τὸ γὰρ
" Περισσὰ πράσσειν, οὐκ ἔχει νῷν ὄφελος."
ΑΝΤ. Οὔτ' ἂν κελεύσαιμ', οὔτ' ἂν, εἰ θέλοις ἔτι
Πράσσειν, ἐμοῦ γ' ἂν ἡδέως δρῴης μέτα. 70
Ἀλλ' ἴσθ' ὁποία σοὶ * δοκεῖ· κεῖνον δ' ἐγὼ
Θάψω· καλόν μοι τοῦτο ποιήσῃ θανεῖν.
Φίλη μεθ' αὑτῆς κείσομαι, φίλε μέτα,
Ὅσια πανεργήσασ'· ἐπεὶ πλείων χρόνος
Ὃν δεῖ μ' ἀρέσκειν τοῖς κάτω, τῶν ἐνθάδε. 75
Ἐκεῖ γὰρ αἰεὶ κείσομαι· σοὶ δ' εἰ δοκεῖ,
Τὰν τῶν θεῶν ἔνιμ' ἀτιμάσασ' ἔχε.

* Aldus. ὁποῖά σοι.

Ib. Ὡς βιάζομαι τάδε] μὴ εἴπῃς τὸ βιάζομαι, ἀντὶ τοῦ, βιάζω· ἀλλ' ὥσπερ φαμὲν, ἀνειδίζομαι τόδε, οὕτω καὶ τοῦτο.

67. Τοῖς ἐν τέλει] τοῖς Βασιλεῦσι.

67, 68. Τὸ γὰρ περισσὰ πράσσειν] γνωμολογικῶς ἀπαλλάττεται· τὸ γὰρ παρὰ δύναμίν τι πράττειν, ἀλίθιον.

Ib. Τοῖς ἐν τέλει] ἤγουν, τοῖς βασιλεῦσι· τέλος γὰρ τιμῶν ἡ βασιλεία, μεθ' ἣν οὐκ ἐστὶ περαίτερω χωρῆσαι. Ἰστέον δ' ὅτι πάντες οἱ πολυσποιοὶ τὰς ἐν τέλει βαίνοντας λέγουσι τὰς παρὰ τὸν βασιλέα.

69. Οὔτ' ἂν κελεύσαιμι] τὸ τέλειον, οὔτ' ἂν κελεύσαιμι· τὸ δὲ ἑξῆς, ἄτε, εἰ θέλοις πράττειν ἐμοῦ μέτα, ἡδέως ἂν δρώης· δαιμόνιον δὲ τὸ ἦθος φησὶν, ὅτέ σε ἀναγκάσω, ἀλλ' ὅτ' ἂν θέλοις, ἡδέως ἀνέξομαί σε τὴν ἐπικουρίαν.

70. Ἡδέως δρώης μέτα] τοῦτο λέγει, ὅτι ὅτ' ἀπὸ τοῦ νῦν ἀναγκάσω σε συνθάπτειν τὸν ἀδελφὸν, ὅτ' ἂν εἰ θέλοις πράσσειν, δρώης ἂν μετ' ἐμοῦ ἡδέως, ἀλλ' ἀμελῶς καὶ ἀ μετὰ προθυμίας· ἢ τὸ ἡδέως πρὸς τὴν Ἀντιγόνην πλέκει, ὅτω, δρώης ἂν μετ' ἐμοῦ οὐχ ἡδέως καὶ ἀποδεκτῶς ἐμοὶ, ἀλλὰ κατ' ἀνάγκην, ὅτι ἀ κατ' ἀρχὰς συμβουλευόσῃ ἐπείσθης μοι.

71. Ἀλλ' ἴσθ' ὁποιά σοι δοκεῖ] γίνώσκε ὁποῖά σε θέλεις, τὸ πείθεσθαι τοῖς τυράννοις· ἢ τοιαύτη γενῆ ὁποῖα καὶ βέλει.

72. Καλόν μοι τοῦτο ποιήσῃ] θαπτήσῃ τὸν ἀδελφόν· ἀντὶ τοῦ, καλῶς μοι ἕξει ὁ ὑπὲρ ἀδελφοῦ θάνατος· τιμίως, εὐκλεέστατος.

74. Ὅσια πανεργήσασα] δίκαια μετὰ πανουργίας ἐρξαμένη, ὡς αὐτὴ λέγεις· ἐπεὶ προεῖπε, τὸ γὰρ περισσὰ πράσσειν, οὐκ ἔχει νῷν ὄφελος· ἢ ἔστω, ὅσια πανεργήσασα, ἀντὶ τοῦ, εὐσεβῶς πάντα ἐργασαμένη.

Ib. Ὅσια πανεργήσασ'] εἰκότως εἶπε τοῦτο· λάθρα γὰρ καὶ μετὰ πανουργίας ἔμελλε τὸν ταφὴν ποιήσειν.

Ib. Ἐπεὶ πλείων χρόνος] ἰστέον ὅτι οὕτως ἔδει εἰπεῖν, ἐπεὶ ὁ χρόνος ὃν δεῖ μ' ἀρέσκειν τοῖς κάτω, πλείων ἐστὶν ἢ ὃν δεῖ μ' ἀρέσκειν τοῖς ἐνθάδε. νῦν δ' ἀ συνέκρινε τὸν χρόνον πρὸς τὸν χρόνον, ἀλλ' ἀνομοιοτρόπως συγκρισιν ἐποίησε χρόνε καὶ προσώπε, λέγων, πλείων χρόνος τῶν ἐνθάδε ἀνθρώπων.

75. Τοῖς κάτω τῶν ἐνθάδε] γενναῖον καὶ τοῦτο, εἰς ὑποθήκας συλλεγῆν τῆς μετὰ ταῦτα ἐπιδημίας, ὅτι δεῖ εὖ τίθεσθαι, μεμνημένον ἐκείνε τοῦ χρόνε, καὶ ὅτι δεῖ λόγον ὑποσχεῖν κάτω· ἐπεμβέβληται δὲ ταῦτα τοῖς ποιήμασιν οὐκ ἀχρείως, εἰς εὐσέβειαν προτρεπόμενα.

77. Τὰ τῶν θεῶν ἔνιμ' ἀτιμάσασ' ἔχε] τὰ παρὰ θεοῖς τίμια ἀτίμαζε· τετίμηται γὰρ παρὰ θεοῖς καὶ ὅσιον νενόμισαι τὸ θάπτειν νεκρὸς, οἷς μᾶλλον δεῖ πείθεσθαι ἢ τοῖς τοῦ Κρέοντος κηρύγμασι.

79. βίᾳ]

ΙΣΜ. Εγὼ μὲν ȣ̓κ ἄτιμα ποιȣ̃μαι· τὸ δὲ
Βίᾳ πολιτῶν δρᾷν, ἔφυν ἀμήχανος.
ΑΝΤ. Σὺ μὲν τάδ' ἂν πρȣ̃χοι· ἐγὼ δὲ δὴ τάφον
Χώσȣσ' ἀδελφῷ φιλτάτῳ πορεύσομαι.
ΙΣΜ. Οἴμοι, ταλαίνης ὡς * ὑπερδέδοικά σȣ.
ΑΝΤ. Μή μȣ προτάρβει, τὸν σὸν ἐξόρθȣ βίον.
ΙΣΜ. Ἀλλ' ȣ̃ν προμηνύσεις † γε τȣ̃το μηδενὶ
Τȣ̃ργον· κρυφῇ δὲ κεῦθε· σὺν δ' αὔτως ἐγώ.
ΑΝΤ. Οἴμοι, καταύδα· πολλὸν ἐχθίων ἔσῃ
Σιγῶσ', ἐὰν μὴ πᾶσι κηρύξῃς τάδε.
ΙΣΜ. Θερμὴν ἐπὶ ψυχροῖσι καρδίαν ἔχεις.
ΑΝΤ. Ἀλλ' οἶδ' ἀρέσκȣσ' οἷς μάλις' ἁδεῖν με χρή.
ΙΣΜ. Εἰ καὶ δυνήσῃ γ'· ἀλλ' ἀμηχάνων ἐρᾷς.
ΑΝΤ. Οὐκȣ̃ν ὅταν δὴ μὴ σθένω, πεπαύσομαι.
ΙΣΜ. Ἀρχὴν δὲ θηρᾷν ȣ̓ πρέπει τἀμήχανα.

* Ald. Turn. Οἴμοι τλαίνης, ὡς. † Ald. προμηνύσῃς. rectè.

79. Βίᾳ] ἀντὶ τȣ̃, βιαίως.

80. Σὺ μὲν τάδ' ἂν πρȣ̃χοιο] σὺ μέντοι ταῦτα προφασίζȣ· τὰς γὰρ προφάσεις, προχάνας ἐκάλȣν. Ὡς καὶ Καλλίμαχος·

"Ἀγροδέτω πάσῃσιν ἐπὶ προχάνῃσιν
"ἐφοίτα,"

ἐν τῷ τρίτῳ τῶν αἰτίων· ἢ σὺ ταῦτα προβάλλȣ, ἢ, σὺ μὲν τȣ́τοις ἂν σαυτὴν σκεπάζοις.

Ib. Ἐγὼ δὲ δὴ τάφον χώσȣσ'] τȣ̃το ἤδη τῆς προθυμίας αὐξητικόν.

82. Οἴμοι, ταλαίνης] φιλόστοργον καὶ ταύτης τὸ ἦθος, ἀλλ' εὐλαβές· δέδοικεν ȣ̃ν καὶ περὶ τῇ ἀδελφῇ, καὶ ἀναβοᾷ περιπαθῶς.

83. Πότμον γράφεται βίον.

84. Ἀλλ' ȣ̃ν προμηνύσεις] ἰστέον ὅτι ȣ̓ μόνον τὰ εὐκτικά ἐστιν ὅτε προστακτικῶν δύναμιν ἔχοντα εὕρηται, ἀλλὰ καὶ ὁριστικὰ ῥήματα ἐπὶ μέλλοντος, ὡς ἐστι κᾀνταῦθα· εὕροις δὲ καὶ ἀλλαχȣ̃, εἰ ζητοίης.

86. Οἴμοι, καταύδα] διὰ τȣ́τȣ δηλοῖ ὅτι, ἐφ' οἷς ποιῶ, ἀγάλλομαι· πᾶσιν ȣ̃ν ἀπάγγελλε αὐτά· ἅμα δὲ καὶ ἐφυβρίζει ἐν οἷς δοκεῖ αὐτῇ προσχαρίζεσθαι.

87. Σιγῶσ', ἐὰν μὴ πᾶσι] τὸ σιγῶσα ȣ̃τω λέγε, πολλὸν καὶ κατὰ πολὺ ἔσῃ καὶ ὑπάρξεις ἐχθίων ἐμοὶ, ἐὰν μὴ κηρύξῃς τάδε πᾶσι σιγῶσα· ἤγȣν, πλέον ἀχθεσθήσομαί σοι εἰ σιγήσεις, καὶ ȣ̓ πᾶσι κηρύξεις.

88. Θερμὴν ἐπὶ ψυχροῖσι] ἐπὶ ἀδυνάτοις νεανιεύῃ, καὶ ἐπὶ ἀηδέσι τέρπῃ τὴν ψυχήν.

89. Οἷς μάλις' ἁδεῖν με χρὴ] τῇ τῶν θεῶν ὁσίᾳ, διὰ τὸ θάπτειν τὸν νεκρὸν, καὶ μάλιστα ἀδελφόν.

90. Εἰ καὶ δυνήσῃ γ'· ἀλλ' ἀμηχάνων] εἰ καὶ δυνήσῃ ἀρέσκειν· ἀλλ' ἀμηχάνων καὶ ἀδυνάτων ἐρᾷς.

91. Οὐκȣ̃ν ὅταν δὴ μὴ σθένω] ὅταν ἀδυνατήσω· τότε παύσομαι· νῦν δὲ ἀναγκαῖον ἐπιχειρεῖν.

92. Ἀρχὴν δὲ θηρᾷν] ȣ̓δὲ ἐπιβάλλειν τοῖς ἀμηχάνοις καλόν ἐστι.

94. Προσκείσῃ

ΑΝΤ. Εἰ ταῦτα λέξεις, ἐχθαρῇ* μὲν ἐξ ἐμοῦ·
Ἐχθρὰ δὲ τῷ θανόνλι προσκείσῃ δίκῃ.
Ἀλλ' ἔα με καὶ τὴν ἐξ ἐμοῦ δυσβελίαν
Παθεῖν τὸ δεινὸν τοῦτο· πείσομαι γὰρ οὐ
Τοσοῦτον οὐδὲν, ὥστε μὴ οὐ καλῶς θανεῖν.
ΙΣΜ. Ἀλλ' εἰ δοκεῖ σοι, σεῖχε· τοῦτο δ' ἴσθ', ὅτι
Ἄνους μὲν ἔρχῃ, τοῖς φίλοις δ' ὀρθῶς φίλη.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Ἀκτὶς ἀελίου †, τὸ κάλ-
λιστον ἑπταπύλῳ φανὲν
Θήβᾳ τῶν προτέρων φάος,
Ἐφάνθης ποτ', ὦ χρυσέας
Ἀμέρας βλέφαρον,
Διρκαίων ὕπερ

* Ald. Turn. in marg. ἐχθαρῇ. † Ald. ἀελίοιο.

94. Προσκείσῃ δίκῃ] ἀντὶ τοῦ, δικαίως· ὡς καὶ ἡμεῖς ἔτι φαμὲν ἐν τῇ συνηθείᾳ· ἢ ἡ Πρὸς, τῷ δίκη ἐοίν· ἵν', ἢ ἔτως, πρὸς τῷ τὴ δίκη ἀπέχθεσθαι, καὶ τῷ θανόνλι δυσμενὴς ἔσῃ· καλῶς δὲ τὸ κεῖσῃ, ἵνα τὴν μετὰ θάνατον αὐτῇ προσγενησομένην τιμωρίαν αἰνίξηται

96. Πείσομαι γὰρ οὐ τοσοῦτον οὐδὲν] οὐδὲν δεινὸν φησὶ πείσομαι, ὅπερ με τῆς εὐκλείας τοῦ καλοῦ θανάτου ἀποστερήσει. ἀντὶ τοῦ, οὐδὲν τηλικοῦτον κακὸν πείσομαι, ὥστε μὴ οὐ καλῶς ἀποθανεῖν.

99. Ἄνους μὲν ἔρχῃ] ἀνόητος μὲν καὶ φιλοκινδύνως πράττεις, εὐνοϊκῶς δὲ τῷ θανόνλι.

100. Ἀκτὶς ἀελίου] σύνοδος τινῶν Θηβαίων γερόντων, ἐξ ὧν ὁ Χορὸς συνέστηκε. μείλαπεμπτοι δὲ ἐοίκασιν ἔτοι ὑπὸ τοῦ Κρέοντος γεγενῆσθαι. ἐπεὶ καὶ τὰς προφάσεις τῆς εἰσόδου τῶν χορῶν σαθαρὰς εἶναι δεῖ. καὶ ἐπειδὴ καλωρθώκατι τῇ πρώτῃ παρόδῳ Θηβαῖοι, καὶ οἱ ἄριστοι πάντες τῶν Ἀργείων ἀνήρηνται, εἰκότως περιχαρεῖς εἰσι καὶ τῇ παρούσῃ ἡμέρᾳ εὐχαριστοῦσιν· ὁ δὲ λόγος· Ὦ φίλη ἡμέρα σαρὰ τὰς πρόσθεν ἡμέρας ἡμῖν φανεῖσα.

Ib. Τὸ κάλλιστον ἑπταπύλῳ] τὸ Το, πρὸς τὸ φάνεν· τὸ δὲ ἑξῆς, Ὦ τῆς ἀκτῖνος τοῦ ἡλίου φῶς, τὸ φανὲν ἡμῖν κάλλιστον τῶν προτέρων ἡμερῶν· τοῦτο γὰρ προσληπτέον.

101. Φανὲν Θήβᾳ] δέον ἔτως εἰπεῖν, ἡ φανεῖσα κάλλιστον φῶς, πρὸς τὸ φῶς ἔτρεψε τὴν σύλλαξιν, τὸ φανὲν κάλλιστον φῶς εἰπών· καὶ ἔστιν ὅμοιον τῷ παρὰ τῇ βαρχομυομαχίᾳ,

"——— ξύλινον δόλον ἐξευρόντες,
"Ἣν Παγίδα καλέουσιν———."

Ἰστέον δ' ὅτι τὸ ἀκτὶς, εἰ καὶ μακρὸν τῷ κανόνι εἴρηται, ἀλλ' ἐνταῦθα βραχύ ἐστιν· ὡς ἐν τῇ κώλῃ τῆς ἀντιστροφῆς ἐστι μαθεῖν. Καὶ, οἶμαι, διὰ τὸ ἐπὶ κλητικῆς ἐνταῦθα λαμβάνεσθαι, συστέλλεται· ἡ γὰρ κλητικὴ ποτὲ μὲν τὸν ἴσον χρόνον ἔχει τῆς εὐθείας αὐτῆς, ποτὲ δ' ἐλάττονα.

103. Ὦ χρυσέας ἀμέρας] ὦ ἀκτὶς τῆς ἡμέρας ὀφθαλμός. ὁ δὲ νῦς· Ὦ καλλίστη ἡμέρα, ἐφάνης ἐν Θήβαις, βάλα τὸν ἀργολικὸν στρατὸν τὸν λεύκασπιν, πανσαγία, τετεῖσι, πάσῃ σάγῃ καὶ σκευῇ χρησάμενον, ὀξυλόρῳ κινήσασα χαλινῷ φυγάδα.

105. Διρκαίων ὕπερ] Δίρκη κρήνη καὶ ποταμὸς Θηβῶν.

Ib. Διρκαίων

Ῥεέθρων μολεῖσα,
Τὸν λεύκασπιν Ἀργόθεν πρὶν
Φῶτα * βάλῃ πανσαγίᾳ
Φυγάδα πρόδρομον, ὀξυλόρῳ †
Κινήσασα χαλινῷ. 110

ΑΝΑΠΑΙΣΤΟΙ.

Ὃν ἐφ' ἁμετέρᾳ γᾷ Πολυνείκης
Ἀρθεὶς νεικέων ἐξ ἀμφιλόγων
Ὀξέα κλάζων αἰετὸς ἐς γᾶν
Ὡς, ὑπερέπτα,
Λευκῆς χιόνος πτέρυγι σεσανὸς 115
Πολλῶν μεθ' ὅπλων·
Ξὺν ἵπποκόμοις κορύθεσσι.

* Ald. Turn. Ἀργόθεν φῶτα. † Ald. Turn. ὀξυλόρῳ.

Ib. Δικαίων ὕπερ] διὰ τὸ ἐν Δίρκῃ παρακεῖσθαι τὰς πολεμίας, διὰ τοῦτο ὑπὲρ Διρκαίων ῥεέθρων καλλίσην φανῆναι τὴν ἡμέραν φησὶν, ἀπαλλαγέντων τῶν παρακειμένων. νόει δὲ πρὸς τὸ ἐφάνθη, τὸ κάλλιστον, ἀπὸ κοινοῦ· τὸ δὲ μολεῖσα, πρὸς τὸ σημαινόμενον.

107. Λεύκασπιν] καὶ Εὐριπίδης·

" Λεύκασπιν εἰσορῶμεν Ἀργείων στρατόν."

108. Πανσαγίᾳ] σὺν πανοπλίᾳ· ἤτοι δὲ τὸν Ἄδραστον φησὶν, ἢ ἐφ' ἑνὸς τὸ πλῆθος δηλοῖ.

109. Πρόδρομον] ὑπὲρ τὸ δέον δραμόντα διὰ τὴν φυγήν.

110. Κινήσασα χαλινῷ] οἷον, παρασκευάσασα τῶν χαλινῶν μετὰ σπουδῆς ἐφάψασθαι, διὰ τὴν ὀξυλόραν φυγήν.

111. Ὃν ἐφ' ἁμετέρᾳ γᾷ] ὅλικα στρατὸν Ἀργείων ἐξ ἀμφιλόγων νεικέων ἀρθεὶς ἤγαγεν ὁ Πολυνείκης· οἷον, ἀμφιλεγίᾳ χρησάμενος πρὸς τὸν ἀδελφόν· διὰ βραχέων δὲ εἶπεν αὐτὸ, ὡς γνωρίμου ὄσης τῆς ὑποθέσεως.

Ib. Ὃν ἐφ' ἁμετέρᾳ γᾷ] δέον ἦτοις εἰπεῖν, ὃν ἐφ' ἡμελέρᾳ γᾷ ἤγαγε Πολυνείκης, ὃ δ' ἀυτῷ αὐτὸν παρεικάσας, πρὸς τοῦτο καὶ τὴν σύλληξιν ἔτρεψεν. ἀείω γὰρ ἐς τὸ ὑπερίπτασθαι. τὸ δ' ὃν ἐφ' ἡμελέρᾳ γᾷ, ἀσύνηθον εἶπε· διὰ τοῦτο καὶ τὸ ἐς γᾶν πάλιν τέθεικεν. εἰκότως δὲ τὰς ἀσπίδας παρείκασε πτέρυγι. σχῆμα γὰρ πτερύγων ἐπέχουσι τῷ φέρονλι. ἐτήρησε δὲ τὴν τροπήν· ἀείω γὰρ αἱ πτέρυγες. παράδειγμα δὲ τοῦ ὃν ἐφ' ἡμελέρᾳ γᾷ, τόδε παρὰ Θουκυδίδη· " Τῶν δ' Ἀθηναίων· ἔτυχε γὰρ παρεσ-" σεία πρότερον ἐν τῇ Λακεδαίμονι περὶ ἄλλων " παροῦσα, καὶ ὡς ἠσθοῦτο τῶν λόγων, ἔδοξεν " αὐτοῖς παρελθεῖν τοὺς Λακεδαιμονίους εἶ-" ναι. ἔσχεν ἓν τὸ τῶν Ἀθηναίων ἀναπόδα-" στον."

112. Ἀρθεὶς] ἐπαρθεὶς εἰς θυμὸν καὶ παροξυνθείς.

Ib. Νεικέων ἀμφιλόγων] ἢ τῶν ἀμφισβητησίμων, ἢ τῶν ἀμφιβολίας ἐμποιούντων.

113. Αἰετὸς εἰς γᾶν ὡς] τὸ ἐξῆς, ὡς αἰετὸς.

115. Λευκῆς χιόνος πτέρυγι] ὡς ἐκ χιόνος ὄσῃ πτέρυγι· ἀντὶ τοῦ, λευκοτάτῃ.

Ib. Στεφανὸς] ἐστεφασμένος λευκοῖς ὅπλοις· ἀλληγορικῶς δὲ τοῦτό φησιν, ὡς ἐπὶ ἀείω· δηλοῖ δὲ ὅτι λεύκασπις ἦν ὁ τῶν Ἀργείων στρατός. λείπει δὲ τὸ ὡς, ἵν' ᾖ, ὡς χιόνος. τὸ δὲ πτέρυγι μεταφορικῶς ἐπὶ τῶν ὅπλων ἔλαβε.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

Στὰς δ' ὑπὲρ μελάθρων, φονί-
αισιν ἀμφιχανὼν κύκλῳ
Λόγχαις ἑπτάπυλον ςόμα,
Ἔβα, πρίν ποθ' ἁμετέρων
Αἱμάτων γένυσι
Πλησθῆναί τε, καὶ *
Στεφάνωμα πύργων
Πευκάενθ' Ἥφαιςον ἑλεῖν.
Τοῖος ἀμφὶ νῶτ' ἐτάθη
Πάταγος Ἄρεος ἀντιπάλῳ
Δυσχείρωμα δράκοντι.

ΑΝΑΠΑΙΣΤΟΙ.

" Ζεὺς γὰρ μεγάλης γλώσσης κόμπους
" Ὑπερεχθαίρει· καί σφας ἐσιδὼν

* Aldus, Πλησθῆναι, κα

118. Στὰς δ' ὑπὲρ μελάθρων] ὡς ἀετὸς Πολυνείκης κυκλώσας τὰς Θήβας, ταῖς τῶν φόνων ἐρώσαις λόγχαις ἀμφιχανὼν ἔβα· ἐνέμεινε δὲ τῇ μεταφορᾷ.

121. Ἔβα] ἀντὶ τοῦ, ἡτλήθη.

122. Αἱμάτων γένυσι] παρήλλαξε τὸ ὄνομα, τὰ χείλη τοῦ ἀετοῦ γένυς εἰπών.

Ib. Αἱμάτων γένυσι] ἰςέον ὅτι πρὸς τὸ ἀετὸς εἶπε τὸ γένυσι· καὶ τὸ ςόμα δ' αὐτοῦ ἑπτάπυλον εἶπεν, ἀπὸ τοῦ ἄςεος ἑπταπύλου ὄντος· ἢ διότι ἑπτὰ ςρατηγοῖς περιέλαβεν αὐτό. τινὲς δὲ τὸ ἑπτάπυλον ςόμα πρὸς τὸ ἄςυ νοοῦσι, τὸ ἑπτὰ πύλας καὶ ςόματα ἔχον.

125. Πευκάενθ' Ἥφαιςον ἑλεῖν] τὸν ἐκ τῆς πεύκης ἐγειρόμενον· ἢ τὸν πικρὸν τοῖς τοῦτο πάσχουσι.

128. Δυσχείρωμα δράκοντι] ἐγεγόνει ὁ δράκων ἐξ Ἄρεως καὶ Τιλφώσης Ἐριννύος· ἀπὸ δὲ τοῦ δράκοντος τοὺς Θηβαίους δηλοῖ, ἐπεὶ δρακοντογενεῖς εἰσίν. ὁ δὲ λόγος, τοιοῦτος πάταγος Ἄρεως περὶ τὰ νῶτα τοῦ ἀετοῦ ἐτάθη. τουτέςι, δραπετεύειν καὶ νῶτα αὐτὸν διδόναι πεποίηκεν ὑπὸ τοῦ ἀντιπάλου δράκοντος, ὃς ἐποίησεν αὐτὸν τὸν δράκοντα δυσχερῶς χειρωθῆναι· πολέμιον δὲ ζῶόν ἐςιν ὁ δράκων πρὸς τὸν ἀετὸν, ὥς φησι Νίκανδρος. τῷ δὲ ἀντιπάλῳ δράκοντι, ἀντὶ τοῦ, ὑπὸ τοῦ ἀντιπάλου δράκοντος, ὡς Ἀχιλλῆϊ δαμασθείς. ἢ οὕτως· τῷ ἀντιπάλῳ δράκοντι τοσαύτη μάχη συνεςάθη, ἢ ἐποίησεν αὐτὸν μὴ δύνασθαι ὑμᾶς χειρώσασθαι· ἵνα δράκοντα λέγῃ τὸν τῶν Ἀργείων ςρατὸν, ὡς Θανατηφόρον· ἢ τὸν Πολυνείκη, ὡς αὐτὸν Θηβαῖον ὄντα.

129. Ζεὺς γὰρ μεγάλης γλώσσης] τοῦτο κοινὸν, ὡς πάντων τῶν Ἑλλήνων μεγαλαυχούντων, ἢ ἰδίᾳ κατὰ Καπανέως· τὰ γὰρ ἑξῆς εἰς αὐτὸν μόνον τείνει.

Ib. Ζεὺς γὰρ μεγάλης] αὕτη ἡ κατασκευή ἐςι πρὸς τὸ ἔβα· τὸ δὲ, τοῖος ἀμφὶ νῶτ' ἐτάθη, ἕως τοῦ δράκοντι, διὰ μέσου.

132. Χρυσοῦ

" Πολλῷ ῥεύμαλι προσνισσομένας
" Χρυσᾶ καναχῆς ὑπεροπλίας,
" Παλλᾷ ῥιπεῖ πυρὶ," βαλκίδων
Ἐπ' ἄκρων ἤδη
Νίκην ὁρμωῦ' ἀλαλάξαι. 135

ΣΤΡΟΦΗ Β.

Ἀνλίτυπος * δ' ἐπὶ γᾶν †
Πέσε ταναλωθεὶς
Πυρφόρος, ὃς τότε
Μαινομένᾳ ξὺν ὁρμᾷ

* Ald. ἀνλίτυπα. † Ald. γᾷ.

132. Χρυσᾶ καναχῆς ὑπεροπλίας] καὶ τὴν τῶ χρυσῶ φαντασίαν ὑπερβεβηκότας τῇ ἰδίᾳ ὑπεροψίᾳ· ὑπερήφανον γάρ τι ὁ χρυσὸς. οἱ δέ φασι λείπειν τὴν, μετὰ, ἵν' ᾖ ὅτως· Καὶ ἰδὼν αὐτὰς προσνισσομένας μετὰ χρυσῶ καὶ καναχῆς καὶ ὑπεροψίας, ἐκ ἠνέσχετο, ἀλλ' ἐνεμέσησε τῷ κόμπῳ αὐτῶν. ἀεὶ γὰρ τὰς κόμπας τῆς μεγάλης γλώσσης ὑπερεχθαίρει.

Ib. Χρυσᾶ καναχῆς] τοῦτο ἡ πρὸς τὸ πολλῷ ῥεύμαλι συναπλέον, ὅτως· Ἐν πολλῷ ῥεύμαλι καναχῆς καὶ κλύπι χρυσῶ προσερχομένας, ἦγεν, μετὰ μεγάλης καὶ πλησίας παρασκευῆς· ἡ πρὸς τὸ ὑπεροπλίας, ὅτως, ὑπέρφρονας χρυσῶ καναχῆς. ἤτοι χρυσῶ περιφρασικῶς· τοῦτ' ἔστιν, ὑπὲρ χρυσὸν σοβῆσθαι, ἐχ ὅτι ἐστὶν ὁ χρυσὸς αὐτὸς καθ' ἑαυτὸν σοβαρός· (πῶς γὰρ, ἄψυχος ὕλη ὤσα;) ἀλλ' ὅτι τὰς ἔχοντας ποιεῖ τοιούτους. ἰστέον δ' ὅτι διὰ πάνλας τὰς Ἀργείας πρῶτον εἶπεν, πρὸς τὸν Καπανέα τὸν λόγον ἔτρεψεν. ὅτος γὰρ κεκεραύνωται. καὶ ἔστιν ὅμοιον τῷ παρὰ Θουκυδίδη. Ἐκεῖνος γὰρ περὶ τῶν Ἀθηνῆθεν νεῶν τὸν λόγον ποιούμενος, ἔτρεψε τὸν λόγον πρὸς τὰς αὐτῶν στρατηγάς. Ἐν ᾗ αἱ Ἀτλικαὶ νῆες παραλενόμεναι τοῖς Κερκυραίοις, εἶπον πλέοντο, φόβον μὲν παρεῖχον, μάχης δ' ἐκ ἦρχον δεδιότες οἱ στρατηγοὶ τὴν προῤῥησιν τῶν Ἀθηναίων. Βαλκὶς δὲ καὶ ἀφετηρία, ἡ ἀρχὴ τῦ δρόμυ· ἐνταῦθα δὲ βαλκίδων λέγει τῶν τειχῶν, ἐφ' ἂν παρὰ μικρὸν ἂν ἐπιδὰς Καπανεὺς, εἰ μὴ κεραυνῷ ἐπεσχέθη, ἔμελλε δραμεῖσθαι πρὸς πᾶσαν τὴν πόλιν νικητὴς αὐτῆς.

133. Παλλᾷ ῥιπεῖ πυρὶ] τῷ κεραυνῷ τῷ ἄνωθεν παλθένῃ.

Ib. Βαλκίδων] μεταφορικῶς εἰρῆναι, ἀπὸ τῶν δρομέων. ἀντὶ τῶν κρηπίδων τῦ τείχυς.

135. Ἀλαλάξαι] παιωνίσαι· ἀλάλαγμα δέ ἐστιν ἐπινίκιος ᾠδή.

136. Ἀνλίτυπα δ' ἐπὶ γᾶ πέσε] εἰς ἀνλίτυπον δὲ (φησὶ) πλῶμα ἔπεσε, διαλναχθεὶς ἄνωθεν κάτω, ἐχὶ πλάγιος. Τὸ δὲ ἀνλίτυπος ἐκ ἀπὸ τῦ τύπυ ἀλλ' ἀπὸ τῦ τύψαι συνλέθειλαι. Αὐτὸς μὲν γὰρ τὴν ἄνω φορὰν ἐδίωκεν, ὁ δὲ κεραυνὸς τὴν κάτω. Ὅτι δὲ ταναλωθεὶς σημαίνει τὸ διασεισθείς, μαρτυρεῖ καὶ Ἀνακρέων· " Μελαμφύλλω δάφνᾳ " χλωρᾷ τ' ἐλαίᾳ ταναλίζει." Ἄλλως· ἄνωθεν τυπεὶς ὑπὸ τῦ κεραυνῦ, κάτωθεν δὲ ὑπὸ τῆς γῆς, ὑπὸ τὸν κεραυνὸν γενόμενος· ὅτι τῷ Ταναλάῳ ὁ Σίπυλος ἐπικαλεσγράφη.

138. Πυρφόρος] πῦρ φέρων ἐν αὐτῷ· ἢ πῦρ τοῖς τείχεσι προσάγων, ἢ πεπυρακλωμένος ὑπὸ τῦ κεραυνῦ.

139. Μαινομένᾳ ξὺν ὁρμᾷ] ὡς ἐπὶ τυφῶνος καὶ καλαιλιδώδης πνεύματος, ἐπίπνει τὴν πόλιν ῥιπαῖς ἀνέμων.

Βακχεύων ἐπέπνει
Ῥιπαῖς ἐχθίσων ἀνέμων.
Εἶχε δ' ἄλλη τάδ'· ἄλλα δ' ἐπ' ἄλλοις
Ἐπενώμα συφελίζων
Μέγας Ἄρης δεξιόσειρος *.

ΑΝΑΠΑΙΣΤΟΙ.

Ἕπλα λοχαῖοι γὰρ ἐφ' ἑπλα πύλαις
Ταχθέντες ἴσοι πρὸς ἴσους, ἔλιπον
Ζηνὶ Τροπαίῳ πάγχαλκα τέλη.
Πλὴν τοῖν συέροιν, ὧ παῖ, τοῖν ἑνὸς
Μητρός τε μιᾶς φύντε, καθ' αὑτοῖν
Δικραῖς λόγχας σήσαντ', ἔχετον
Κοινὸν θανάτῳ μέρος ἄμφω.

* Turn. in marg. δεξιόχειρος.

140. Βακχεύων] ἐνθουσιῶν, καὶ μέγα φυσῶν, καὶ πνέων ὀργήν· ὡς τὸ Μένάνδρου,

" Ἀλλὰ καὶ πν. * * *."

142. Εἶχε δ' ἄλλη] τὸ εἶχεν, ἐκ ἔτι ἐπὶ τῆ Καπανέως, ἀλλ' ἐπὶ τῆ Ἄρεως· ὅτι Ἄρης βοηθῶν ἡμῖν, παύλαχῆ τροπὰς ἐποιεῖτο τῶν πολεμίων· τοῦτο δέ φησιν ὡς εἰ ἔλεγεν, ἐλεὶς τόπος ἀπήλλαχθο ταραχῆς, ἀλλὰ παύλαχῆ ἐμοίως ἐξεφλέγετο ὁ πόλεμος.

Ib. Εἶχε δ' ἄλλη τάδε] ἤγων, τὰ πράγματα δὲ τάδε ἦν ἀλλοίρόπως ἔχοντα, ἃ τότε συνέβαινεν· Ἡμᾶς γὰρ περιβαλεῖν κακοῖς βουλόμενοι, αὐτοὶ τότοις ἐνέπεσον. Ἄλλα γὰρ κακὰ ἐπ' ἄλλοις κακοῖς δηλονότι ἐπενώμα καὶ ἐπέφερε ταράσσων τὰ πράγματα ὁ Ἄρης. Οὕτως ἂν χρὴ γράφειν, ἄλλη καὶ ἐπ' ἄλλοις, (ὡς καὶ ἔν τινι τῶν παλαιῶν βιβλίων εὕρηται) καὶ ἕτω συνιάσσειν ὡς εἴρηται.

144. Δεξιόσειρος] κατὰ τὸ δεξιὸν φερόμενος κέρας· ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἵππων τῶν ἐν τοῖς ἅρμασι παρασειρόντων· ὅ ἐστι, δεξιὸς Ἄρης ἡμῖν γενόμενος ὁ κεραυνὸς, καὶ ἀγαθὸς ἡμῖν φανείς. Ἐὰν δὲ ᾖ δεξιόχειρος, ἀντὶ τῦ γενναῖος καὶ περιδέξιος. Ἄλλως· δεξιόσειρος, ὁ γενναῖος· οἱ γὰρ ἰσχυροὶ ἵπποι εἰς τὴν δεξιὰν σειρὰν ζεύγνυνται τῦ ἅρματος.

Ib. Ἄρης δεξιόσειρος] τῦτο εἴρηται ἀπὸ μεταφορᾶς τῦ δεξιῦ πρὸς τῶ ἅρματι ἵππυ.

147. Ζηνὶ τροπαίῳ πάγχαλκα τέλη] ὅ ἐστι, τὰ ὅπλα ἀπέβαλον.

Ib. Ζηνὶ τροπαίῳ] ἤγουν, τῷ τροπὴν αὐτῶν ποιήσαντι Διΐ· ἡμεῖς γὰρ σκυλεύσαντες αὐτὰς, ἀνεθήκαμεν τὰ ὅπλα αὐτῶν αὐτῷ· εἰκότως δὲ τὰ αὐτῶν ὅπλα τέλη ἐκάλεσεν· ὥσπερ γὰρ ἀναγκαίως καὶ ὀφειλομένως τὰ τέλη δίδοῦται, ἕτω καὶ αὐτοὶ διὰ τὸ ἄξιοι εἶναι δίκην διδόναι τῆς μεγαλαυχίας, ὥσπερ ἐχρεώστων τὰ αὐτῶν ὅπλα τοῖς Θεοῖς ἀναθεῖναι.

148. Πλὴν τοῖν συέροιν] συέρων φησὶ τῶν ἀτυχῶν· οἱ τοιῦτοι γὰρ ἀεὶ συγγνοὶ καθεσήκασιν. Οὗτοι δὲ (φησὶν) ἀλληλοκτονηθέντες ἐ διέκριναν τὴν νίκην, ὥςε τῦ ἡττηθέντος ἀνατεθῆναι τὰ ὅπλα.

Ib. Πλὴν τοῖν συέροιν] ἕτοι γὰρ εἰ καὶ ἀπέθανον, ἀλλὰ διότι ἐ διέκριθη αὐτῶν ἡ νίκη, διὰ τῦτο ἐκ ἀνελέθη τὰ ὅπλα αὐτῶν τοῖς Θεοῖς.

149. Καθ' αὑτοῖν] ἀντὶ τῦ, κατ' ἀλλήλων.

150. Δικραῖς λόγχας] ἀμφοτέρωθεν ἠκονημένας. Ἢ ὅτι ἀλλήλης ἀπέκλεινεν, καὶ ἡ ἑκατέρα λόγχη ἐκ εἰς κενὸν ἀπεπέμφθη, ἀλλ' ἐκράτησε τῦ ἑτέρυ.

152. Α μεγα-

ΑΝΤΙΣΤΡΟΦΗ Β.

Ἀλλὰ γὰρ ἃ μεγαλώ-
νυμος ἦλθε νίκα,
Τᾷ πολυαρμάτῳ
Ἀνλιχαρεῖσα Θήβᾳ. 155
Ἐκ μὲν δὴ πολέμων
Τῶν νῦν θέσθει * λησμοσύνην·
Θεῶν δὲ ναὸς χοροῖς πανύχοις πάν-
τας ἐπέλθωμεν· ὁ Θήβας
Δ᾽ ἐλελίχθων † Βακχεῖος ἄρχοι. 160

ΑΝΑΠΑΙΣΤΟΙ.

Ἀλλ᾽ ὅδε γὰρ δὴ βασιλεὺς χώρας
Κρέων ὁ Μενοικέως, νεοχμὸς

* Ald. Turn. θέσθε. † Ald. Turn. in marg. ἐλελίζων.

152. Ἃ μεγαλώνυμος] ἡ μεγάλην περιποιησᾶσα δόξαν.

155. Ἀνλιχαρεῖσα Θήβα] ἀντὶ τοῦ, ἴσον αὐτῇ χαρεῖσα, ὡς ἀνλίθεος· θέλει δὲ εἰπεῖν ὅτι ὅσον ἐφίλει τὴν νίκην, καὶ ἡ νίκη αὐτὴν ἀνλεφίλησε. Πρὸς χαίρησαν γὰρ αὐτὴν καὶ αὐτὴ χαρεῖσα ἦλθεν. Ἢ, ἀντὶ τῶν κακῶν χαρεῖσα.

156. Ἐκ μὲν δὴ πολέμων] πάνυ σαθανῶς τὰ τῆς εὐχῆς. Ἐπιμνησθείλες γὰρ δυσχερῶν, πάλιν ἐπὶ τὰ καλαρχὰς εὐφημα τρέπονλαι.

157. Τῶν νῦν θέσθε] ἤγουν, ἔκθεσθε καὶ ποιήσαΐε λησμοσύναν τῶν πολέμων τῶν νῦν συναπλε δὲ τὸ ἐκ πρὸς τὸ θέσθε.

159. Θήβας δ᾽ ἐλελίζων] ἐξάρχοι δὲ ὁ Διόνυσος ὁ τὰς Θήβας ἐλελίζων καὶ κινῶν ταῖς Βακχείαις. Ἄλλως· ὁ Θήβας δ᾽ ἐλελίχθων Βακχεῖος, ὁ κινησίχθων. Ἐλελίχθονα δὲ τὸν Διόνυσον φησὶ, διὰ τὰς ἐν ταῖς Βακχείαις κινήσεις. Ἢ τὸν τὴν γῆν σείονλα καὶ ἀναβακχεύονλα ταῖς χορείαις. Ὁ δὲ αὖς· ὁ Θήβας Βακχεῖος. Ὁ Θηβαγενὴς Διόνυσος, ὁ τῆς Θήβης πολίτης, ὁ ἐλελίχθων, ἄρχοι τῆς χορείας.

160. Ἐλελίχθων] ἤγουν, ὁ κινῶν διὰ τῶν χορῶν τὰς Θήβας. τοῦτο δὲ ὅμοιόν ἐςι τῷ, πολισεῦχοι χθονός.

161. Ἀλλ᾽ ὅδε γὰρ δὴ βασιλεὺς χώρας] ἄριστα καὶ μεγαλοφρόνως διεσκεύασαι αὐτῷ ὁ Χορός. Ἕτερος γὰρ ἂν ταῦτα πρῶτοι εἰσήγαγεν ὅτι ἡμεῖς συνήχθημεν ὑπὸ Κρέοντος. Χάριεν δὲ τὸ πρῶτον μὲν εὐχὴν αὐτὸς ποιήσασθαι, ἐξῆς δὲ δηλῶσαι ὑπὸ τίνος συνηθροίσθησαν. Παραλήρει δὲ ὅτι πάλιν ἐπιμελῶς διαγίγνεται δηλῶν ἡμῖν τὰ πράγματα ὁ ποιητὴς, ὥςε ἐσπάρθαι μὲν αὐτὰ καὶ παρακεῖσθαι ἑτέροις προσώποις, πάλιν δὲ δηλῦσθαι. Καὶ τὸ τῆ βασιλέως ὄνομα εὐθὺς παραλήρει, Κρέων ὁ Μενοικέως. Καὶ τὸ νεοχμὸς δὲ ἐκ ἔςιν ἀργόν.

162. Νεοχμὸς] νέος· νεωςὶ καλαςαθεὶς εἰς τὴν ἀρχὴν καὶ τυραννίδα· τὸ δὲ ἐξῆς, ἀλλ᾽ ἰδὲ γὰρ Κρέων ὁ νεωςὶ καινὸς βασιλεὺς τῆς χώρας γενόμενος, τῇ προσφάτῳ παρὰ θεῶν αὐτῷ δεδομένῃ ἐπιλυχία, τοῦτο καλορθώσας.

163. Συν-

Νεαραῖσι Θεῶν ἐπὶ συντυχίαις
Χωρεῖ, τινὰ δὴ μῆτιν ἐρέσσων·
Ὅτι σύγκλητον τήνδε γερόντων
Πρȣ̈θετο λέσχην,
Κοινῷ κηρύγματι πέμψας.

ΙΑΜΒΟΙ.

ΚΡΕ. Ἄνδρες, τὰ μὲν δὴ πόλεος ἀσφαλῶς θεοὶ
Πολλῷ σάλῳ σείσαντες, ὤρθωσαν πάλιν·
Ὑμᾶς δ' ἐγὼ πομποῖσιν ἐκ πάντων δίχα
Ἔςειλ' ἱκέσθαι· τȣ̃το μὲν, τὰ Λαΐȣ
Σέβοντας εἰδὼς εὖ θρόνων ἀεὶ κράτη·
Τȣ̃τ' αὖθις, ἡνίκ' Οἰδίπȣς ὤρθȣ πόλιν,
Κἀπεὶ διώλετ', ἀμφὶ τȣ̀ς κείνων ἔτι
Παῖδας μένοντας ἐμπέδοις φρονήμασιν.
Ὅτ' ȣ̃ν ἐκεῖνοι πρὸς διπλῆς μοίρας μίαν
Καθ' ἡμέραν ὤλοντο, παίσαντες τε καὶ
Πληγέντες αὐτόχειρι σὺν μιάσματι,
Ἐγὼ κράτη δὴ πάντα καὶ θρόνȣς ἔχω

163. Συντυχίαις] συαντήσεσι.

164. Τίνα δὴ μῆτιν ἐρέσσων] ἐν ἑαυτῷ κινῶν καὶ μεριμνῶν· ἐκ μεταφορᾶς τῶν ἐρεσσόντων.

165. Σύγκλητον λέσχην] τὴν συγκληθεῖσαν ἐξαίφνης ὁμιλίαν· ἐπειδήπερ μεταπεμψάμενος τȣ̀ς ἐντίμȣς, εἰς ἐκκλησίαν συνήγαγε.

166. Πρȣ̈θετο λέσχην] ὁμιλίαν συνεκρότησε.

Ib. Πρȣ̈θετο λέσχην] λέσχη κυρίως ἡ πολυλογία. Ἐπεὶ δὲ τῇ βȣλῇ πολλῶν λόγων δεῖ, διὰ τȣ̃το λέσχην τὴν βȣλὴν νῦν καλεῖ.

167. Πέμψας] μεταςειλάμενος.

168. Ἄνδρες, τὰ μὲν] δημηγορία Κρέοντος πρὸς τὸν Χορὸν τὴν πρόςασιν λαβόντος τῆς πόλεως.

169. Πολλῷ σάλῳ] τροπικῶς, ὡς ἐπὶ νεώς.

170. Ὑμᾶς δ' ἐγὼ πομποῖσιν] διὰ τῶν πομπῶν ὑμᾶς μετεκαλεσάμην χωρὶς ἁπάντων, ἐξαιρέτως πρὸς ὑμᾶς μόνον ἀπεςαλμένων. Ὁ δὲ λόγος· ἔςι μὲν καὶ σημαντικὸς τȣ̃ πράγματος· ἔςι δὲ καὶ τεχνικός· ἐγκωμιάζει γὰρ πρῶτον αὐτȣ́ς. Ἀναγκαῖον δὲ τῷ παριόντι πρῶτον ἐπὶ πολιτικὴν ἀρχὴν, εὔνȣς ἑαυτῷ καταςῆσαι τȣ̀ς ὑπηκόȣς. Μετεπεμψάμην ȣ̃ν (φησὶν) ὑμᾶς, εἰδὼς ὅτι ἄνωθεν πρὸς Λάϊον καὶ Οἰδίποδα εὐνοϊκῶς εἴχετε· ὡς δῆπȣ καὶ πρὸς αὐτὸν τοιȣ́των φανησομένων. Δηλοῖ δὲ διὰ τȣ́των καὶ τὴν ἡλικίαν τῶν κατὰ Χορὸν γερόντων, ὡς ἔτι ἄνωθεν ἀπὸ Λαΐȣ ὄντων ἐν πολιτείᾳ.

173. Τȣ̃τ' αὖθις] δέον εἰπεῖν, τȣ̃το δ' αὖθις, ἀσυνδέτως εἶπε, καὶ ἔςιν ὅμοιον τῷ,— κἀδόκει μὲν ἔσθ' ὅτε Δισσȣ̀ς Ἀτρείδας αὐτόχειρ κτείνειν ἔχων, Ὅτ' ἄλλοτ' ἄλλον ἐμπίπτων ςρατηλατῶν.

180. Κατ'

Γένυς κατ' ἀγχιστεῖα τῶν ὀλωλότων.
" Ἀμήχανον δὲ πανλὸς ἀνδρὸς ἐκμαθεῖν
" Ψυχήν τε καὶ φρόνημα καὶ γνώμην, πρὶν ἂν
" Ἀρχαῖς τε καὶ νόμοισιν ἐνδριβὴς φανῇ·
" Ἐμοὶ γὰρ, ὅσις πᾶσαν εὐθύνων πόλιν,
" Μὴ τῶν ἀρίστων ἅπτεται βουλευμάτων,
" Ἀλλ' ἐκ φόβου τε γλῶσσαν ἐγκλείσας ἔχει,
" Κάκιστος εἶναι νῦν τε καὶ πάλαι δοκεῖ·
" Καὶ μεῖζον' ὅσις ἀντὶ τῆς αὑτῆ πάτρας
" Φίλον νομίζει, τοῦτον ἐδαμῶ λέγω."
Ἐγὼ γὰρ (ἴσω Ζεὺς " ὁ πάνθ' ὁρῶν ἀεὶ") 190
Οὔτ' ἂν σιωπήσαιμι τὴν ἄτην ὁρῶν
Στείχουσαν ἀσοῖς ἀντὶ τῆς σωτηρίας,
Οὔτ' ἂν φίλον πω' ἄνδρα δυσμενῆ χθονὸς
Θείμην ἐμαυτῷ· τοῦτο γινώσκων, ὅτι
Ἥδ' ἐστὶν ἡ σώζουσα, καὶ ταύτης ἔπι 195
Πλέουσες ὀρθῆς, τοὺς φίλους ποιούμεθα.
Τοιοῖσδ' ἐγὼ νόμοισι τήνδ' αὔξω πόλιν,
Καὶ νῦν ἀδελφὰ τῶνδε κηρύξας ἔχω

180. Καθ' ἀγχιστεῖα] ἀδελφως καθ' οἰκειότητα, καὶ ἀπὸ συγγενειων.

Ib. Γένυς καθ' ἀγχιστεῖα] τὸ ἀγχιστεῖα ἐπίτηδες ἐστιν, ἀντὶ τοῦ, ἀγχιστείαν καὶ συγγένειαν. Καὶ ἔστιν ὅμοιον τῷ γνῶμα, ἤγουν, γνωμάτευμα καὶ νοῦν. Ὡς ἐν τούτῳ τέ εὕρηται ἔχειν,

" Ἔχοις ἂν γνῶμα μὴ πειρωμένη."

καὶ ἐν Εὐριπίδῃ·

" Ὡς ἓν δὲ πᾶσι γνῶμα, τἀυτὸν ἐμπρέπει."

181. Ἀμήχανον δὲ] οἱ μὲν Χίλωνι ἀνατιθέασι τὴν γνώμην, οἱ δὲ Βίαντι, ὅτι Ἀρχὴ ἄνδρα δείκνυσιν.

185. Μὴ τῶν ἀρίστων] δέον γὰρ ἀρίστων βουλευμάτων ἅπλεσθαι, καὶ παῤῥησιάζεσθαι ἐν αὐτοῖς, μὴ ἀποδειλιῶντα.

187. Νῦν τε καὶ πάλαι] καὶ πρὶν ἄρξω, καὶ νῦν ὅτε ἐπὶ τὴν ἀρχὴν ἐλήλυθα.

193. Οὔτ' ἂν φίλον πω'] ἐκ ἂν κλήσαιμι φίλον τῆς ἐμῆς πόλεως δυσμενῆ. Τοῦτο δὲ εἰς Πολυνείκην συνίσινει.

195. Ἥδ' ἐστὶν ἡ σώζουσα] ἡ πόλις δηλονότι.

196. Πλέουσες ὀρθῆς] πορευόμενοι· ἡ δὲ μεταφορὰ ἀπὸ τῶν νεῶν.

198. Καὶ νῦν ἀδελφὰ] ἴσα· ὅμοια· μέλλων δὲ περὶ ἀπεχθοῦς κηρύγματος λέγειν, μαρτύρεται τῷ λόγῳ· καὶ πρῶτον μὲν ἐγκωμιάζει τὸν Ἐτεοκλέα· ὕστερον δὲ ἐλέγχει τὸν Πολυνείκην, καὶ δείκνυσιν αὐτὸν μίσους ἄξιον καὶ τῆς τοιαύτης τιμωρίας.

Ἀχοῖσι, παίδων τῶν ἀπ' Οἰδίπου πέρι.
Ἐτεοκλέα μέν, ὃς πόλεως ὑπερμαχῶν
Ὤλωλε τῆσδε, πάντ' ἀρισεύσας δορὶ,
Τάφῳ τε κρύψαι, καὶ τὰ πάντ' ἀφαγνίσαι *,
Ἃ τοῖς ἀρίστοις ἔρχεται κάτω νεκροῖς·
Τὸν δ' αὖ ξύναιμον τῆδε, (Πολυνείκην λέγω)
Ὃς γῆν πατρῴαν καὶ θεοὺς τοὺς ἐγγενεῖς,
Φυγὰς καταλθὼν, ἠθέλησε μὲν πυρὶ
Πρῆσαι κατάκρας, ἠθέλησε δ' αἵματος
Κοινοῦ πάσασθαι, τοὺς δὲ δεδωκὼς ἄγειν·
Τοῦτον πόλει τῇδ' ἐκκεκηρύχθαι, τάφῳ
Μήτε κλερίζειν, μήτε κωκῦσαι τινά,
Ἐᾶν δ' ἄθαπτον, καὶ πρὸς οἰωνῶν δέμας
Καὶ πρὸς κυνῶν ἑδεσὸν αἰκισθέντ' ἰδεῖν.
Τοιόνδ' ἐμὸν φρόνημα· κἄπο' ἐκ γ' ἐμοῦ
Τιμὴν προέξεσ' οἱ κακοὶ τῶν ἐνδίκων·
Ἀλλ' ὅσις εὔνους τῆδε τῇ πόλει, θανὼν
Καὶ ζῶν ὁμοίως ἐξ ἐμοῦ † τιμήσεται.

ΧΟΡ. Σοὶ ταῦτ' ἀρέσκει, παῖ Μενοικέως Κρέον,
Τὸν τῆδε δύσνουν καὶ τὸν εὐμενῆ πόλει.
Νόμῳ δὲ χρῆσθαι παντί πῃ τ' ἔνεστί σοι,
Καὶ τῶν θανόντων, κἠφ' ὁπόσοι ζῶμεν πέρι.

ΚΡΕ. Ὡς ἂν σκοποὶ νῦν ἦτε τῶν εἰρημένων.

ΧΟΡ. Νεωτέρῳ τῳ τοῦτο βασάζειν πρόθες.

* Turn. ἀφανίσαι. † Ald. ἐκ γ' ἐμοῦ.

207. Αἵματος κοινοῦ] ἀντὶ τοῦ, ἐμφυλίου· ἢ τοῦ ἀδελφικοῦ αἵματος· παροξυντικὰ δὲ λίαν ταῦτα τῶν ἀκυρόνων.

212. Αἰκισθέντ' ἰδεῖν] τοῦτο καθ' ὅλον καὶ μέρος· τὸ μὲν αἰκισθέντα, ὅλον, τὸ δὲ δέμας, μέρος.

218. Τὸν τῆδε δύσνουν] λείπει τὸ μὴ θάπτειν.

219. Νόμῳ δὲ χρῆσθαι παντί πῃ τ' ἔνεστί σοι] ἀντὶ τοῦ, ἔξεστί σοι ὅπως θέλεις νομοθετεῖν.

221. Ὡς ἂν σκοποὶ νῦν] σκοποὶ, φύλακες, ἀντὶ τοῦ, μελέτω ὑμῖν ἡ φυλακὴ τῶν εἰρημένων.

222. Νεωτέρῳ τῳ τοῦτο βασάζειν] τοῦτο τὸ φορτίον. Τὸ δὲ πρόθες, ἀντὶ τοῦ, προόσθες· χρῶνται γὰρ τῇ Προ ἀντὶ τῆς Προς.

224. Ἐπιλίλ-

ΚΡΕ. Ἀλλ' εἰσ' ἕτοιμοι τοῦ νεκροῦ τ' ἐπίσκοποι.
ΧΟΡ. Τί δῆτ' ἂν ἄλλῳ * τοῦτ' ἐπεντέλλοις ἔτι;
ΚΡΕ. Τὸ μὴ 'πιχωρεῖν τοῖς ἀπιστοῦσιν τάδε.
ΧΟΡ. Οὐκ ἔστιν οὕτω μῶρος, ὃς θανεῖν ἐρᾷ.
ΚΡΕ. Καὶ μὴν ὁ μισθός γ' οὗτος· "ἀλλ' ὑπ' ἐλπίδων
"Ἄνδρας τὸ κέρδος πολλάκις διώλεσεν."
ΑΓΓ. Ἄναξ, ἐρῶ μὲν οὐχ ὅπως τάχους ὕπο
Δύσπνους ἱκάνω κοῦφον ἐξάρας πόδα.
Πολλὰς γὰρ ἔσχον φροντίδων ἐπιστάσεις,
Ὁδοῖς κυκλῶν ἐμαυτὸν εἰς ἀναστροφήν·
Ψυχὴν χὰρ ηὔδα πολλά μοι μυθουμένη,
Τάλας, τί χωρεῖς, οἷ μολὼν δώσεις δίκην;
Τλῆμον, μενεῖς αὖ; κεἰ † τάδ' εἴσεται Κρέων
Ἄλλου παρ' ἀνδρὸς, πῶς σὺ δῆτ' οὐκ ἀλγυνῇ;
Τοιοῦθ' ἑλίσσων· ἤνυτον σχολῇ βραδύς·
Χ' οὕτως ὁδὸς βραχεῖα, γίγνεται μακρά.

* Ald. Turn. ἄλλῳ. † Turn. in marg. καὶ.

224. Ἐπεντέλλοις ἔτι] τοῦτο οὕτως εἴποις, τί δῆτα ἐντέλλοις ἂν καὶ προστάξειας ἡμῖν ἔτι καὶ εἰς τὸ ἑξῆς τοῦτο ὃ μέλλεις εἰπεῖν ἐπ' ἄλλῳ; ἤγουν, ἐπὶ τῷ προῤῥηθέντι· ἄλλο δ' ἐπ' ἄλλῳ ὀφείλων εἰπεῖν, τοῦτο εἶπεν.

225. Τὸ μὴ 'πιχωρεῖν τοῖς ἀπιστοῦσι τάδε] λείπει ἡ Διὰ· διὰ τὸ μὴ ἐπιτρέπειν μηδὲ συγχωρεῖν τοῖς ἀπειθοῦσιν· ἔλεγον δὲ καὶ τὴν πειθὼ, πίστιν.

227. Καὶ μὴν ὁ μισθὸς οὗτος] ὁ θάνατος δηλονότι.

228. Ἄνδρας τὸ κέρδος] ἕνεκα κέρδους καὶ τοῦ θανάτου ἔνιοι καταπεφρονήκασιν. Οἷον, ὑπ' ἐλπίδων τοῦ διαφυγεῖν, καὶ τοῖς ἐπικινδύνοις ἔργοις ἐπιχειροῦσιν. Οὐ γὰρ προσεδόκα τινὰ τῶν οἰκείων τοῦτο ποιήσειν· θήλειαι γὰρ ἦσαν.

229. Ἐρῶ μὲν οὐχ ὅπως τάχους ὕπο] οὐ τοῦτο λέγω ὅτι μετὰ σπουδῆς ἀσθμαίνων πρὸς σὲ πεπόρευμαι· πολλάκις γὰρ ἐπιστὰς ἐλογισάμην πότερον ἔλθω πρὸς σὲ, ἢ μή.

Ib. Ἄναξ, ἐρῶ μὲν] ἄφιξις τοῦ φύλακος ἀγγέλλοντος ὡς ἐπέβαλέ τις ἐπὶ τῷ Πολυνείκει κόνιν.

231. Ἐπιστάσεις] ἐνστάσεις.

Ib. Πολλὰς γὰρ ἔσχον] ἤγουν, πολλαὶ φροντίδες ἐπέστησαν καὶ ἐπῆλθον ἐμοὶ ἀναχωρήσεως. Τὸ δὲ, κυκλῶν ἐμαυτὸν ὁδοῖς, ἢ ἀντιστρέφων ἐμαυτὸν εἰς ἀναχώρησιν ἐν ταῖς ὁδοῖς δι' ὧν ἐπορευόμην. Ἢ ἐν ὁδοῖς καὶ ἀναπολήσεσι κυκλῶν ἐμαυτὸν, τοῦτ' ἔστι, κατὰ νοῦν στρέφων τὴν ἀναχώρησιν.

232. Ἀναστροφὴν] ὑποστροφήν.

234. Τάλας, τί χωρεῖς] ταῦτα ἡ ψυχή μου παρήνει.

Ib. Οἷ μολὼν] ἀντὶ τοῦ, ὅπερ.

236. Οὐκ ἀλγυνῇ] οὐ τιμωρεθήσῃ.

237. Ἤνυτον σχολῇ βραδὺς] γράφεται ταχύς· καίτοι ταχὺς ὤν, βραδέως ἤνυον τὴν ὁδὸν.

Τέλος γε μέντοι δεῦρ' ἐνίκησεν μολεῖν.
Σοὶ κεἰ τὸ μηδὲν ἐξερῶ, φράσω δ' ὅμως,
Τῆς ἐλπίδος γὰρ ἔρχομαι δεδραγμένος,
Τὸ μὴ παθεῖν ἂν ἄλλο πλὴν τὸ μόρσιμον.
ΚΡΕ. Τίδ' ἔστιν ἀνθ' οὗ τήνδ' ἔχεις ἀθυμίαν;
ΑΓΓ. Φράσαι θέλω σοὶ πάντα * τἀμαυτοῦ· τὸ γὰρ
Πρᾶγμ' οὔτ' ἔδρασ', οὔτ' εἶδον ὅστις ἦν ὁ δρῶν·
Οὐδ' ἂν δικαίως ἐς κακὸν πέσοιμί τι.
ΚΡΕ. Εὖγε στοχάζῃ, κἀποφράγνυσαι κύκλῳ
Τὸ πρᾶγμα· δηλοῖς δ' ὥς τι σημαίνων νέον.
ΑΓΓ. "Τὰ δεινὰ γάρ τοι προστίθησ' ὄκνον πολύν.
ΚΡΕ. Οὔκουν ἐρεῖς ποτ', εἶτ' ἀπαλλαχθεὶς ἄπει;
ΑΓΓ. Καὶ δὴ λέγω σοί· τὸν νεκρόν τις ἀρτίως
Θάψας βέβηκε· κἀπὶ χρωτὶ διψίαν
Κόνιν παλύνας, κἀφαγιστεύσας ἃ † χρῆν.
ΚΡΕ. Τί φῄς; τίς ἀνδρῶν ἦν ὁ τολμήσας τάδε;
ΑΓΓ. Οὐκ οἶδ'· ἐκεῖ γὰρ οὔτέ του γενῆδος ἦν
Πλῆγμ', οὐ δικέλλης ἐκβολή· στύφλος δὲ γῆ
Καὶ χέρσος ἀῤῥὼξ, οὐδ' ἐπημαξευμένη

* Aldus, πρῶτα.

† Turn. in marg. χρὴ.

240. Κεἰ τὸ μηδὲν ἐξερῶ] Καὶ εἰ μηδέν σοι τερπνὸν λέξω. Ἢ οὕτως· εἰ καὶ τὸ μηδέν σοι μέλλω λέγειν. Καὶ γὰρ ἐκ τοῦ εἰπεῖν καὶ σιγῆσαι, οὐδὲν ἄλλο λείπεται, ἢ θανάτῳ με κολάζεσθαι. Ἀκόλουθον δὲ καὶ τὸ ἑξῆς διανόημα· ἐλπίζω γὰρ ὅτι οὐδὲν ἄλλο πάθοιμι ἢ τὸ μόρσιμον· ὥστε οὐδέν μοι χεῖρον ἀποβήσεται ἐκ τοῦ εἰπεῖν.

241. Τῆς ἐλπίδος γὰρ ἔρχομαι δεδραγμένος] ὑπὸ γὰρ τῆς ἐλπίδος νενικημένος ἐλήλυθα. Ἢ οὕτως· ἀντειλημμένος τῆς ἐλπίδος ἐλήλυθα.

247. Κἀποφράγνυσαι κύκλῳ] κύκλῳ σαυτὸν ἀσφαλίζῃ, ἢ αὐτὴν τὴν πρᾶξιν.

250. Οὔκουν ἐρεῖς ποτ'] τοῦ ἀγγέλου περιπλέκοντος τὸν λόγον, καὶ εὐλαβουμένου σημῆναι τὸ πραχθὲν, ἐπιθυμῶν ὁ Κρέων ἀκοῦσαι, εὔελπιν αὐτὸν ποιεῖ ὡς ὅτι οὐδὲν πείσεται. Οὐ γὰρ ἀπειλεῖ κελεύων εἰπεῖν, ἀλλά φησιν ὅτι δηλώσας τὸ πρᾶγμα, ἄπιθι ἀθῶος. Δίδωσιν οὖν καὶ ἀνδράσι βασιλικοῖς τὸ ψεύσασθαι διὰ τὸ χρήσιμον.

253. Κόνιν παλύνας] βαλὼν, ἢ λεπτύνας τὴν λεγομένην χυτὴν γῆν.

256. Δικέλλης] πελέκεως, ἀξίνης.

Ib. Στύφλος] σκληρά.

257. Ἀῤῥὼξ] μὴ ἐσχισμένη.

Ib. Οὐδ' ἐπημαξευμένη] ἐσκαμμένη.

258. Ἀλλ

Τροχοῖσιν, ἀλλ' ἄσημος οὐργάτης τις ἦν.
Ὅπως δ' ὁ πρῶτος ἡμῖν ἡμεροσκόπος
Δείκνυσι, πᾶσι θαῦμα δυσχερὲς παρῆν.
Ὁ μὲν γὰρ * ἠφάνιςο τυμβήρης μὲν ὄ·
Λεπτὴ δ', ἄγος φεύγοντος ὣς, ἐπῆν κόνις.
Σημεῖα δ' ὅτε θηρὸς, ὅτε τȣ κυνῶν
Ἐλθόντος, ȣ σπάσαντος ἐξεφαίνετο.
Λόγοι δ' ἐν ἀλλήλοισιν ἐῤῥόθȣν κακοὶ.
Φύλαξ ἐλέγχων φύλακα· κἂν ἐγίνετο
Πληγὴ τελευτῶσ'· ȣδ' ὁ κωλύσων παρῆν.
Εἷς γάρ τις ἦν ἕκαςος οὐξειργασμένος,
Κȣδεὶς ἐναργὴς, ἀλλ' ἔφευγε τὸ μὴ εἰδέναι.
Ἦμεν δ' ἕτοιμοι καὶ μύδρȣς αἴρειν χεροῖν,

* Aldus, Οὐδὲν γὰρ.

258. Ἀλλ' ἄσημος οὐργάτης τις ἦν] ὁ τȣτο ἐργασάμενος ἄγνωςος ἦν· Ἐκπλῆξαι δὲ αὐτὸν βȣλεται ὡς ὅτι ἔκ τινος τῶν κρειττόνων γέγονεν.

261. Τυμβήρης μὲν ȣ] ȣ καλὰ βάθος ἦν τεθαμμένος, ἀλλ' ὡς ἔχει, ἐπιβεβλημένη ἦν ἡ ἄμμος· Τȣτο δὲ ἐποίησεν ὁ θάψας νόμȣ χάριν· οἱ γὰρ νεκρὸν ὁρῶντες ἄταφον, καὶ μὴ ἀναμησάμενοι κόνιν. ἐναγεῖς εἶναι ἐδόκȣν· ὥσπερ ȣν τὸ τῆς ἀσεβείας τις ἔγκλημα φεύγων λεπτὴν κόνιν ἐπιχέει τοῖς νεκροῖς, ȣτως ἦν καὶ ἐπάνω τȣ Πολυνείκȣς. Καὶ τȣτο δὲ ἡ Ἀντιγόνη καθαρσίων ἕνεκα πεποίηται. Λόγος δὲ ὅτι Βȣζύγης Ἀθήνησι κατηράσατο τοῖς περιορῶσιν ἄταφον σῶμα.

262. Λεπτὴ δ' ἄγος] ἰςέον ὅτι οἱ ἐκβεβλημένοι νεκροὶ καὶ μὴ τάφȣ τετυχηκότες, δοκȣσι τοῖς ὁρῶσιν ὡς ἐναγεῖς μὴ ταφῆς ἠξιῶσθαι· καλυφθεὶς ȣν Πολυνείκης τῇ κόνει, τὸ δοκεῖν ἐναγὴς εἶναι ἐξέφυγεν.

263. Σημεῖα δ' ȣτε θηρὸς] πολλάκις γὰρ καὶ κύνες καὶ λέοντες καὶ ἄρκτοι σπαράξαντές τι ζῶον καὶ καταβρώξαντες ὅσον ἠβȣλοντο, τὸ λοιπὸν κατέχωσαν εἰς δευτέραν τράπεζαν αὐτοῖς γενησόμενον.

266. Φύλαξ ἐλέγχων φύλακα] ἐπεὶ ἐκ διαδοχῆς αἱ φυλακαὶ γίγνονται, ἠποροῦμεν εἰς τὴν τίνος φυλακὴν ἐγεγόνει.

Ib. Φύλαξ ἐλέγχων φύλακα] ἐπειδὴ γὰρ οἱ λόγοι τῶ φυλάκων ἦσαν, διὰ τȣτο πρῶτον εἶπε λόγοι, εἶτα φύλαξ ἐλέγχων φύλακα εἶπε. Καὶ ἔςιν ὅμοιον τῷ παρὰ Θȣκυδίδῃ· ἐκεῖνος γὰρ περὶ τῶν Ἀθηναίων νηῶν τὸν λόγον ποιȣμενος, πρὸς τȣς αὐτῶν ςρατηγȣς μετέβη, ȣτως εἰπὼν, Ἐν ᾗ αἱ Ἀττικαὶ νῆες παραγενόμεναι τοῖς Κερκυραίοις. εἴπη πιέζοιντο, φόβον μὲν παρεῖχον τοῖς ἐναντίοις, μάχης δ' ἐκ ἦρχον, δεδιότες οἱ ςρατηγοὶ τὴν πρόῤῥησιν τῶν Ἀθηναίων.

268. Εἷς γάρ τις ἦν ἕκαςος] ἕκαςος μὲν γὰρ τὸν πλησίον ἐδόκει πεπραχέναι, ἀκριβῶς δὲ αὐτὸν κατελέγχειν ȣκ ἠδύνατο.

270. Ἦμεν δ' ἕτοιμοι καὶ μύδρȣς] σίδηρον πεπυρακτωμένον· εἰώθασι γὰρ οἱ ὀμνύοντες ταῦτα ποιεῖν· μύδρȣς γὰρ αἴροντες ἐπαρῶνται μένειν τὰ ὅρκια ἕως αὐτοὶ φανῶσι, καὶ ῥίπτȣσιν αὐτȣς εἰς θάλασσαν, ὅπως ȣν αἰώνια τὰ ὅρκια ὑπάρχῃ. Ὡς καὶ Καλλίμαχος·

"Φωκείων μέχρις κε μένῃ μέγας εἰν ἁλὶ
"μύδρος."

Καὶ

Καὶ πῦρ διέρπειν, καὶ θεὸς ὁρκωμοξεῖν,
Τὸ μήτε δρᾶσαι, μήτέ τῳ ξυνειδέναι
Τὸ πρᾶγμα βελεύσαντι, μήτ' εἰργασμένῳ.
Τέλος δ' ὅτ' ἐδὲν ἦν ἐρευνῶσι πλέον,
Λέγει τις εἷς, ὃς πάντας ἐς πέδον κάρα
Νεῦσαι φόβῳ πρέτρεψεν· ἐ γὰρ εἴχομεν
Οὔτ' ἀνθιφωνεῖν, ἔθ' ὅπως δρῶντες, καλῶς
Πράξαιμεν· ἦν δ' ὁ μῦθος, ὡς ἀνοιςέον·
Σοὶ τέρπον εἴη τῦτο, κἐχὶ κρυπτέον.
Καὶ ταῦτ' ἐνίκα, κἀμὲ τὸν δυσδαίμονα
Πάλος καθαιρεῖ τῦτο ταγαθὸν λαβεῖν.
Πάρειμι δ' ἄκων ἐχ ἑκῦσιν οἶδ' ὅτι.
" Στέργει γὰρ ἐδεὶς ἄγγελον κακῶν ἐπῶν."
ΧΟΡ. Ἄναξ, ἐμοί τοι μήτι καὶ θεήλατον
Τέρπον τόδ', ἡ ξύννοια βελεύει πάλαι.
ΚΡΕ. Παῦσαι πρὶν ὀργῆς κἀμὲ μεςῶσαι λέγων
Μὴ φευρεθῇς ἄνυς τε καὶ γέρων ἅμα.
Λέγεις γὰρ ἐκ ἀνεκλὰ, δαίμονας λέγων,
Πρόνοιαν ἴσχειν τῦτε τὸ νεκρὸ πέρι.
Πότερον ὑπερλιμῶντες ὡς εὐεργέτην

Καὶ τὸ πῦρ δὲ διαπορευόμενοι ὤμνυον. Ἄλλως. Ἕτοιμοι ἦμεν πάσας βασάνους ὑπομένειν πρὸς ἔλεγχον. εἰώθασι δὲ ὀμνύοντες καὶ πίστεις διδόντες, μύδρους βαςάζειν, καὶ πῦρ ὑπερβαίνειν· τὰς γὰρ μὴ ἐνόχους τῷ ἁμαρτήματι, ᾠόντο καὶ ἐν τύτοις μὴ ἀλγεῖν.

Ib. Μύδρος] πεπυρακτωμένος σίδηρος.

274. Τέλος δ' ὅτ' ἐδὲν] τὸ ἑξῆς, ὅτε δὲ ἐρευνῶσιν ἡμῖν ἐδὲν πλέον τέλος ἐφαίνετο.

281. Πάλος καθαιρεῖ] ἀντὶ τῦ, κἀλαλαμβάνει, ὥςε ἀπαγγεῖλαί σοι· ἐπειδὴ εἰς τὰ ἀγαθὰ κληρες βάλλυσιν, ἐν ἤθει τῦτό φησι. καὶ εὔκληροι γάρ τινες λέγονται.

Ib. Πάλος καθαιρεῖ] εἰκότως εἶπε τὸ καθαιρεῖ, κίνδυνον γὰρ παρὰ τῦ Κρέοντος ἐδόκει αὐτῷ ἡ ἀγγελία ἐνεγκεῖν· ἡ ἐπειδὴ πρώην μὲν ἀκαμπὴς ἦν, καὶ ἐκ ἐβέλετο τοιαῦτα ὑπηρετεῖν· ὕςερον δὲ ὑπὸ τῦ πάλαι ταύτην τὴν γνώμην καθέβαλε, καὶ ἀκὼν εἰς τῦτ' ἐχώρησεν.

285. Ἡ σύννοια βελεύει] πάλαι ἡ σύννοιά μοι βελεύεται καὶ οἴεται μὴ καὶ θεήλατόν ἐςι τὸ πρᾶγμα.

286. Παῦσαι πρὶν ὀργῆς] δημηγορία Κρέοντος μετ' ὀργῆς.

Ib. Μεςῶσαι] πληρῶσαι.

287. Ἄνυς τε καὶ γέρων ἅμα] ἐναντίον γὰρ ἡ ἄνοια τῷ γέρᾳ.

291. Ἀμφικόμας

Ἔκρυπτον αὐτὸν, ὅςις ἀμφικίονας
Ναὺς πυρώσων ἦλθε κἀναθήματα,
Καὶ γῆν ἐκείνων καὶ νόμους διασκεδῶν;
Ἢ τοὺς κακοὺς τιμῶντας εἰσορᾷς θεούς;
Οὐκ ἔςιν· ἀλλὰ ταῦτα καὶ πάλαι πόλεως
Ἄνδρες μόλις φέροντες ἐῤῥόθουν ἐμοὶ,
Κρυφῇ κάρα σείοντες· οὐδ' ὑπὸ ζυγῷ
Λόφον δικαίως εἶχον ὡς ςέργειν ἐμέ.
Ἐκ τῶνδε τούτους ἐξεπίςαμαι καλῶς
Παρηγμένους μισθοῖσιν εἰργάσθαι τάδε·
" Οὐδὲν γὰρ ἀνθρώποισιν, οἷον ἄργυρος,
" Κακὸν νόμισμ' ἔβλαςε· τοῦτο καὶ πόλεις
" Πορθεὶ, τόδ' ἄνδρας ἐξανίςησιν δόμων·
" Τόδ' ἐκδιδάσκει καὶ παραλλάσσει φρένας
" Χρηςὰς πρὸς αἰσχρὰ πράγμαθ' ἵςασθαι βροτῶν.
" Πανουργίας δ' ἔδειξεν ἀνθρώποις ἔχειν,
" Καὶ παντὸς ἔργου δυσσέβειαν εἰδέναι."
Ὅσοι δὲ μισθαρνοῦντες ἤνυσαν τάδε,
Χρόνῳ πότ' ἐξέπραξαν ὡς δοῦναι δίκην.

291. Ἀμφικίονας] τοὺς ἀμφοτέρωθεν ὑπὸ κιόνων βαςαζομένους ναούς.

295. Οὐκ ἔςιν· ἀλλὰ ταῦτα] τὸ ταῦτα ἢ, ἀντὶ τοῦ, τὴν Πολυνείκους ταφὴν νοητέον, ἵν' ᾖ τὸ μόλις φέροντες, ἀντὶ τοῦ, ὃ προφανῶς, ἀλλὰ συνεςαλμένως προτείνοντες· ἢ ἀντὶ τοῦ, ἃ περὶ Πολυνείκους ἐθέσπισα, ἵν' ᾖ τὸ μόλις φέροντες· ἀντὶ τοῦ, δυσχερῶς καὶ βαρέως ταῦτα δεχόμενοι.

297. Κρυφῇ κάρα σείοντες] οἷον, μὴ πειθόμενοι τοῖς ἐμοῖς κηρύγμασι, μόνον συνήνουν μοι, οὐχ οὕτω διακείμενοι.

298. Λόφον δικαίως εἶχον] ἡ μεταφορὰ ἀπὸ τῶν ὑποζυγίων τῶν μὴ βουλομένων ὑπὸ τὸν ζυγὸν εἶναι. Ταῦτα (φησὶν) ὑπ' ἐκείνων πράττεται τῶν βουλομένων λάθρα σαλεῦσαι τὴν ἡμετέραν ἀρχήν.

299. Ἐκ τῶνδε τούτους ἐξεπίςαμαι] ἀπὸ τούτων (φησὶ) τῶν δυσαρεςούντων μου τοῖς κηρύγμασιν οἱ φύλακες μισθὸν λαβόντες ἔθαψαν τὸν νεκρόν.

300. Παρηγμένους] ἠπατημένους.

302. Κακὸν νόμισμ' ἔβλαςε] εἰκότως εἶπε τὸ νόμισμα· ἐκ νόμου γὰρ πάντα ἐτάχθησαν ἐνεργεῖσθαι.

305. Ἵςασθαι βροτῶν] τὸ βροτῶν πρὸς τὸ φρένας συναπτέον, ἢ πρὸς τὸ πράγματα, οὕτω, πρὸς αἰσχρὰ πράγματ' ἐλθεῖν βροτῶν, ἤγουν, πρὸς δυςυχίας καὶ ἀφανισμούς.

308. Μισθαρνοῦντες] μισθὸν λαβόντες.

Ib. Ἤνυσαν] ἀντὶ τοῦ, ἐτιμωρήθησαν.

309. Χρόνῳ πότ' ἐξέπραξαν] ἀντὶ τοῦ, φανεροὶ ἔσονται καὶ τιμωρηθήσονται.

310. Ἀλλ'

Ἀλλ' εἴπερ ἴσχει Ζεὺς ἔτ' ἐξ ἐμοῦ σέβας,
Εὖ τοῦτ' ἐπίστασ', (ὅρκιος δέ σοι λέγω)
Εἰ μὴ τὸν αὐτόχειρα τοῦδε τοῦ τάφου
Εὑρόντες ἐκφανεῖτ' ἐς ὀφθαλμοὺς ἐμοὺς,
Οὐχ ὑμῖν ᾅδης μοῦνος ἀρκέσει, πρὶν ἂν
Ζῶντες κρεμαστοὶ τήνδε δηλώσηθ' ὕβριν.
Ἵν' εἰδότες τὸ κέρδος ἔνθεν οἰστέον,
Τολοιπὸν ἁρπάξητε, καὶ μάθηθ' ὅτι
Οὐκ ἐξ ἅπαντος δεῖ τὸ κερδαίνειν φιλεῖν.
" Ἐκ τῶν γὰρ αἰσχρῶν λημμάτων τοὺς πλείονας
" Ἀτωμένους ἴδοις ἂν ἢ σεσωσμένους."
ΑΓΓ. Εἰπεῖν τι δώσεις *; ἢ σταφεὶς οὕτως ἴω;
ΚΡΕ. Οὐκ οἶσθα καὶ νῦν ὡς ἀνιαρῶς λέγεις;
ΑΓΓ. Ἐν τοῖσιν ὠσὶν ἢ 'πὶ τῇ ψυχῇ δάκνῃ;
ΚΡΕ. Τί δαὶ; ῥυθμίζεις τὴν λυπην ὅπου;
ΑΓΓ. Ὁ δρῶν σ' ἀνιᾷ † τὰς φρένας, τὰ δ' ὦτ' ἐγώ.
ΚΡΕ. Οἴμ', ὡς λάλημα δῆλον ἐκπεφυκὸς εἶ.
ΑΓΓ. Οὔκουν τόδ' ἔργον τοῦτο ποιήσας ποτέ ‡.
ΚΡΕ. Καὶ ταῦτ' ἐπ' ἀργύρῳ γε, τήν ψυχὴν προδούς.
ΑΓΓ. Φεῦ·

* Turn. in marg. δὲ δώσεις. † Ald. Ὁ δρῶν, ἀνιᾷ.
‡ Turn. in marg. ἐγὼ.

310. Ἀλλ' εἴπερ ἴσχει Ζεὺς] ὅ ἐστιν, εἰ τιμῶ καὶ σέβω τὸν Δία, καὶ μὴ ἐπιορκῶ αὐτόν.

314. Οὐκ ὑμῖν ᾅδης μοῦνος ἀρκέσει] οὐκ εὐθὺς ὑμᾶς τῷ ᾅδῃ παραδώσω, ἀλλὰ τιμωρίαις κρεμασταῖς παραδοὺς, βαρύτερον τὸ ζῆν τοῦ θανεῖν ὑμῖν ἀπεργάσομαι, παρὰ τὸ Ὁμηρικόν·

——" οὔ οἱ ἔπειτα
" Ἄρκιον ἐσσεῖται φυγέειν κύνας ἠδ' οἰωνούς."

315. Τήνδε δηλώσηθ' ὕβριν] ὁμολογήσητε ταύτην τὴν καταφρόνησιν.

316. Ἵν' εἰδότες τὸ κερδαίνειν] ἵνα μαθόντες ὅθεν δεῖ κερδαίνειν, τολοιπὸν ἐκεῖνα ἁρπάζητε.

321. Εἰπεῖν δὲ δώσεις] ἐπιτρέψεις καὶ ἐμοὶ εἰπεῖν; ἢ ἀπέλθω.

322. Οὐκ οἶσθα καὶ νῦν] ἄπιθι· καὶ γὰρ νῦν λέγων, ἀνιαρός μοι εἶ.

324. Ῥυθμίζεις] σχηματίζεις, διατυποῖς.

325. Ὁ δρῶν σ' ἀνιᾷ] συνετῶς ὑπὲρ τῶν ἀγγελθέντων ἀπελογίσατο, ὡς οὐκ ὢν αἴτιος.

326. Ὡς λάλημα δῆλον] λάλημα, τὸ περίτριμμα τῆς ἀγορᾶς, οἷον, πανοῦργος.

327. Οὔκουν τόδ' ἔργον τοῦτο ποιήσας ποτὲ] ἀντὶ του, οὐδέποτε ἐφλυάρησα.

330. Ἢ

Ἦ δεινὸν, ἢ δοκῇ γε, καὶ ψευδὴ δοκεῖν.
ΚΡΕ. Κόμψευε νῦν τήν δόξαν· εἰ δὲ ταῦτα μὴ
Φανεῖτέ μοι τοὺς δρῶντας, ἐξερεῖθ' ὅτι
"Τὰ δεινὰ * κέρδη πημονὰς ἐργάζεται."
ΑΓΓ. Ἀλλ' εὐρεθείη μὲν μάλις'· ἐὰν δέ τοι
Ληφθῇ τε καὶ μὴ, (τοῦτο γὰρ τύχη κρινεῖ)
Οὐκ ἔσθ' ὅπως ὄψει σὺ δεῦρ' ἐλθόντά με.
Καὶ νῦν γὰρ ἐκτὸς ἐλπίδος γνώμης τ' ἐμῆς
Σωθεὶς, ὀφείλω τοῖς θεοῖς πολλὴν χάριν.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Πολλὰ τὰ δεινὰ, "κοὐδὲν ἀν-
"θρώπου δεινότερον πέλει."
Τοῦτο καὶ πολιοῦ πέραν
Πόντου χειμερίῳ νότῳ
Χωρεῖ περιβρυχίοισι
Πτερῶν † ὑπ' οἴδμασι·

* Turn. in marg. Τὰ δειλὰ. † Ald. Turn. Πτερῶν.

330. Ἦ δεινὸν, ἢ δοκῇ γε] δεινὸν τοῦτό ἐστι τὸ ψευδῆ ὑπονοεῖν· οὐκ ἔστι γὰρ τὴν δόξαν ἐκείνων μεταστρέψαι.

Ib. Ἦ δεινὸν] ἢ καὶ ὄντως, ἐὰν δοκῇ καὶ ὑπολαμβάνῃ τὶς κατὰ τινός τι, δεινὸν καὶ χαλεπὸν ὑπάρχει καὶ τὸ δοκεῖν, καὶ τὸ ὑπολαμβάνειν ψευδῆ. δεον δ' εἰπεῖν, καὶ ἐὰν δοκῇς, ψευδῆ δοκεῖν εἶπε· καὶ εὕροις πολλὰ τοιαῦτα ἑτέρως σχηματιζόμενα, καὶ οὐ πρὸς τὴν ἔμπροσθεν σύνταξιν. λέγει δὲ τὸ ψευδῆ δοκεῖν, διὰ τοῦτο ὅτι καὶ ἡ ψευδὴς δόξα οὐ τοσοῦτον λυπεῖ. Ἀλλ' ὅλως τὸ δοξάζειν κακόν ἐστιν.

331. Κόμψευε νῦν τὴν δόξαν] σεμνολόγει τὴν δόκησιν· περιλάλει· κομψοὺς γὰρ ἔλεγον οὓς νῦν ἡμεῖς περπαίρους καὶ πολυλάλους φαμέν.

Ib. Εἰ δὲ ταῦτα μὴ] τὸ ἑξῆς, εἰ δὲ μὴ φανεῖτέ μοι τοὺς ταῦτα δρῶντας.

333. Τὰ δεινὰ κέρδη] γράφεται τὰ δειλὰ, ἀντὶ τοῦ, τὰ κακά· ἀπὸ τοῦ τοὺς δειλοὺς εἶναι ἀχρείους.

334. Ἀλλ' εὐρεθείη] τοῦτο ἀρχόμενος ἀπιέναι ἔλεγε, μὴ ἀκούοντος Κρέοντος· εἰ γὰρ ἄν, κατὰ νώτου πολλὰς ἐδέξατο.

335. Τοῦτο γὰρ τύχη κρινεῖ] ἀπιὼν ὁ θεράπων καθ' ἑαυτὸν ταῦτα φησίν. οὐ γὰρ δυνατὸν ὑπὸ τοῦ Κρέοντος ταῦτα λέγεσθαι. ὡς καὶ ἐν τοῖς Κωμικοῖς.

339. Πολλὰ τὰ δεινὰ] ἐν σχήματι εἶπεν, ἀντὶ τοῦ, πολλῶν ὄντων τῶν δεινῶν, οὐδέν ἐστιν ἀνθρώπου δεινότερον.

Ib. Τὰ δεινὰ] ἤγουν, σοφὰ καὶ πανοῦργα. λέγει δὲ τοῦτο ὁ Χορὸς διὰ τὸν λάθρα θάψαντα Πολυνείκην, καὶ μὴ γνωσθέντα ὅστις ἦν.

341. Τοῦτο καὶ πολιοῦ πέραν] τουτο τὸ γένος τῶν ἀνθρώπων.

343. Περιβρυχίοισι] τοῖς ἠχώδεσιν, ἢ τοῖς καλύπτουσι

Θεῶν τε τὰν ὑπερβάταν γῶν. 345
Ἄφθιον, ἀκαμάταν *,
Ἀπορρύεται εἰλομένων †
Ἀρότρων ἔτεις εἰς ἔτος ‡,
Ἱππείῳ γένει πολεύων.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

Κωφονέων τε φῦλον ὀρ- 350
νίθων ἀμφιβαλὼν ἄγει,
Θηρίων τ' ἀγρίων § ἔθνη,
Πόντιά τ' εἰναλίαν φύσιν
Σπείραισι δικτυοκλώστοις
Περιφραδὴς ἀνήρ· 355
Κραταιῆ δὲ μηχαναῖς ἀγραύλω
Θηρὸς ὀρεσσιβάτα·

* Ald. ἀκαμάταν.
‡ Turn. ἔτος ἐς ἔτος.
† Ald. Turn. παλλομένων.
§ Ald. Καὶ θηρῶν ἀγρίων.

καλύπτουσι τὴν ναῦν· τοῖς γὰρ ἐν τοιαύτῃ ὥρᾳ τῷ ἔτει πλέουσι, μονονυχὶ τὰ κύματα φέρεται ἡ ναῦς· ἢ, τοῖς κυματίζουσι τὴν ναῦν· τὸ μὲν γὰρ καθόλου κεκρυμμένον ὑπὸ ὕδατος, ὑποζύχιόν ἐστιν. "Ομηρος·

"Τὸν δ' ἄρ' ὑπόδρυχα θῆκε πολὺν χρόνον."

τὸ δὲ ἕτερον, περιζύχιον καλεῖται.

345. Θεῶν τε τὰν ὑπερβάταν] τοῦτο ὡς ἐν πανηγύρει δεῖ ἀκούειν, ἀλλὰ διὰ τὴν ἐπίνοιαν αὐτῶν· εἰ γάρ τις παλαμάθοι πῶς ἐπενόησαν τὸ ἀρόσιμον, ἢ σπείρειν, θαυμάσειεν.

346. Ἄφθιον, ἀκαμάταν] σύναπτε τὸ ἀκαμάτων πρὸς τὸ θεῶν, ἤγουν, τῶν ἀκαμάτων καὶ ἀπαύστων καὶ ἀϊδίων θεῶν. Τὸ εἰλομένων δέ, ἀντὶ τοῦ, τῶν ἀπ' ἔτους εἰς ἔτος κινουμένων ἀροσιμαίων ἀρότρων· εἰλομένων δ' εἶπεν, ἐπειδὴ, ὥσπερ κύκλῳ τινὸς τοῦ χρόνου διερχομένου, κατὰ τὸν αὐτὸν ἀεὶ καιρὸν κινῶσι πρὸς τὸ ἀρῶν ἄροσα, ὥσπερ δὴ καὶ πρὸς τὸ θερίζειν δρέπανα, τὰ μὲν ἐν χειμῶνι, τὰ δ' ἐν θέρει. ἱππείῳ δὲ γένει φησὶν, ἐπειδὴ οὐ μόνον βουσὶν, ἀλλὰ καὶ ἵπποις καὶ ἐν ἑτέροις τόποις ἀρῶσιν ὥσπερ καὶ ἀλῶσιν.

347. Ἀπορρύεται] γεωπονεῖ· ἢ ἀποσχίζει τὴν γῆν· καθότι ἐν τῷ ἀροσιμαῖα σχίζει καὶ δαμάζει τὴν γῆν.

Ib. Παλλομένων] γράφεται, εἰλλομένων, καὶ περικυκλούντων τῶν ἀρότρων ἔτος ἐξ ἔτους.

349. Ἱππείῳ γένει πολεύων] ταῖς ἡμιόνοις·

——"αἳ γάρ τε βοῶν προφερέστεραί εἰσιν
"Ἑλκέμεναι νειοῖο βαθείης πηκτὸν ἄροτρον."

τινὲς δὲ ἵπποις χρῶνται εἰς ἀροσιασμόν.

351. Ἀμφιβαλὼν ἄγει] περιβαλὼν τοῖς δικτύοις ἀγρεύει.

353. Εἰναλίαν φύσιν] τοὺς ἰχθύας.

356. Κραταιῆ δὲ μηχαναῖς] καθολικὸν τοῦτο φησὶν, ὅτι ἐν ζώοις ὁ ἄνθρωπός ἐστι πολυμήχανος καὶ ἔνλεχνος· καὶ Θεόκριτος·

——"σοφόν τι χρῆμ' ἄνθρωπος."

ἐπεὶ δὲ ἀναλέγω εἶπεν ὅτι περιγίνεται πάντων τῶν

Λασιαύχενά θ' ἵππον ἐλὼν,
Ἄγε[ι] * ἀμφίλοφον ζυγὸν,
Οὔρειόν τ' ἀδμῆτα ταῦρον.

ΣΤΡΟΦΗ Β.

Καὶ φθέγμα, καὶ ἠνεμόεν
Φρόνημα, καὶ ἀσυνόμους
Ὀργὰς ἐδιδάξα[το], καὶ
Δυσαύλων πάγων αἴθρια, καὶ
Δύσομβρα φεύγειν βέλη.
" Παν[τ]οπόρος, ἄπορος
" Ἐπ' ἀδὲν ἔρχε[τ]αι
" Τὸ μέλλον· Ἅιδα μόνον
" Φεῦξιν οὐκ ἐπάξε[τ]αι·
" Νόσων δ' ἀμηχάνων
" Φυγὰς ξυμπέφραται."

ΑΝΤΙΣΤΡΟΦΗ Β.

Δεινόν τι † τὸ μηχανόεν

* Ald. Ἄξει. † Ald. Σοφόν τι.

τῶν ζώων ὁ ἄνθρωπος, ἐνταῦθα τὸ μηχαναῖς προσέθηκεν ἐπὶ τῶν τιθασσευομένων· ἢ γὰρ μόνον κρατῆσαι δυναῖδς, ἀλλὰ καὶ τιθασσεῦσαι.

359. Ἀμφίλοφον ζυγὸν] ἀντὶ τοῦ, περιβαλὼν αὐτῷ ζυγὸν, περὶ τὸν λόφον ὑπάγει· ἢ ἀμφίλοφον, τὸν ἀμφιλέαχηλον· τὸν ἀμφιλέαρθεν συνέχοντα τὰς λόφους τῶν ὑποζυγίων· καὶ λείπει ἡ Ὑπό. ὑπὸ ζυγὸν ἄγει.

Ib. Ἄγε[ι]· ἀμφίλοφον ζυγὸν] ἤγαγε, κατ' ἄμφω τὰ μέρη ἐπαναξήμας· ἔχοντα. ἢ τὸν περικείμενον τοῖς λόφοις καὶ τραχήλοις τῶν ζώων.

361. Καὶ φθέγμα] τὴν ἀνθρωπίνην διάλεξιν.

Ib. Καὶ ἠνεμόεν φρόνημα] τὴν περὶ τῶν μετεώρων φιλοσοφίαν.

362. Καὶ ἀσυνόμους ὀργὰς] τὴν τῶν νόμων ἐμπειρίαν, δι' ὧν τὰ ἄστεα νέμονται, ὅ ἐστι, διοικεῖται.

364. Δυσαύλων] δυσχερῆ τὸν ἐπαυλισμὸν ποιοῦντων.

Ib. Αἴθρια] ψυχρά.

365. Δύσομβρα φεύγειν βέλη] εὐαίσθητός ἐστι καὶ οἰκοδομημάτων.

366. Παν[τ]οπόρος] εἰς πάντα μηχανὰς ἐξευρίσκων, καὶ ἐπ' ἀδὲν ἄπορος τῶν μελλόντων, θανάτου μόνου οὐκ εὗρεν ἴαμα.

370, 371. Νόσων δ' ἀμηχάνων φυγὰς] ὡς ἰαίρικὴν δίαιταν, γυμναστικὴν, καὶ τὰ ὅμοια· ταῦτα δὲ οὐκ ἂν ἕτερον ζῶον μηχανήσαιτο.

371. Ξυμπέφραται] ἐπινενόηκε, καὶ γινώσκει.

372. Δεινόν τι τὸ μηχανόεν] τὸ μηχανόεν

Τέχνας ὑπὲρ ἐλπίδ' ἔχων.
Καὶ γὰρ ποτὲ μὲν κακὸν, ἄλ-
" λοτ' αὖθις δ' ἐπ' ἐσθλὸν ἕρπει.
" Νόμους παρείρων χθονὸς,
" Ὑψίπολις· ἄπολις
" Δ', ὅτῳ τὸ μὴ καλὸν
" Ξύνεστι τόλμας χάριν.
" Μήτ' ἐμοὶ παρέστιος
" Γένοιτο, μήτ' ἴσον
" Φρονῶν, ὃς τάδ' ἔρδει."

ΑΝΑΠΑΙΣΤΟΙ.

Ἐς δαιμόνιον τέρας ἀμφινοῶ
Τόδε, πῶς εἰδὼς ἀντιλογήσω
Τήνδ' οὐκ εἶναι παῖδ' Ἀντιγόνην;
Ὦ δύστηνος καὶ δυστήνου
Πατρὸς Οἰδιπόδα, τί ποτ'; οὐ δή που

τῆς τέχνης σοφὸν ἔχων, ὅ ἐστι, τὸ μηχανικὸν τῆς ἐπιτεχνήσεως σοφὸν ἔχων, ὡς οὐκ ἄν τις προσδοκήσειεν, οὐ μίαν ὁδὸν βαδίζει τὴν ἐπὶ τὰ ἀμείνω, ἀλλὰ ποτὲ μὲν ἐπὶ τὰ ἀγαθὰ φέρεται, ποτὲ δὲ ἐπὶ τὰ χείρω.

373. Τέχνας ὑπὲρ ἐλπίδ' ἔχων] τὸ τέχνας οὐκ ἔστι γενικὴ, ὡς οἴονταί τινες, ἀλλ' αἰτιατικὴ, οὕτως, ἔχων τὸ μηχανόεν, καὶ ἐφευρίσκων τέχνας. τοῦτ' ἔστι, τὸ μηχανᾶσθαι καὶ περινοεῖν τέχνας σοφὸν ὑπὲρ ἐλπίδα.

374. Καὶ γὰρ ποτὲ] οὕτω χρὴ γράφειν τὰ παρόντα κῶλα, καὶ γὰρ ποτὲ μὲν καλὸν, ἄλλοτ' αὖθις δ' ἐπ' ἐσθλὸν ἕρπει, ἵν' εἶεν ὅμοια τοῖς τῆς στροφῆς κώλοις. ἐνταῦθα δὲ καὶ κῶλον ἦν περισσὸν τὸ στ', διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ· οὐ γὰρ χρὴ πλείονα κῶλα τὴν ἀντιστροφὴν ἔχειν τῆς στροφῆς.

376. Νόμους παρείρων χθονὸς] ὁ πληρῶν τοὺς νόμους καὶ τὴν δικαιοσύνην, ὑψίπολις γίγνεται, ὅ ἐστιν, ἐν τῇ πόλει ὑψηλός.

377, 378. Ἄπολις δ', ὅτῳ τὸ μὴ καλὸν] ἄπολις δὲ ἐκεῖνος καὶ ταπεινὸς τῇ πολιτείᾳ, ᾧ τινι μὴ τὸ καλὸν σύνεστι, καὶ ὅστις οὐ μετὰ τόλμης τὸ καλὸν ἐκπληροῖ·

378. Ὅτῳ τὸ μὴ καλὸν] ἤγουν, ὅστις δι' οἰκείαν κακίαν ἀμέτοχός ἐστι τῶν καλλίστων, καὶ οὐ κατὰ νόμου καὶ θείαν βούλησιν φέρεται· τοῦτο δὲ λέγει διὰ τὸν θάψαντα Πολυνείκην· εἰς τοῦτο γὰρ φέρει καὶ τὸ τόλμης χάριν· ἐκ δὲ τούτου πίστιν καὶ ἀσφάλειαν ἑαυτῷ περιποιεῖται ὁ Χορὸς πρὸς τὸν Κρέοντα, τὰ συμφέροντ' αὐτῷ φθεγγόμενος. ὕστερον δὲ ἀπορῶν, εἰς θεοὺς ἀναφέρει τὸ πρᾶγμα, καὶ δαιμόνιον τέρας φησὶ τὴν ταφήν.

382. Ὃς τάδ' ἔρδει] ὃς τοιοῦτον ἐπιτετήδευκε βίον.

383. Ἐς δαιμόνιον τέρας] ὁρῶντες ἑλκομένην τὴν Ἀντιγόνην ἐκπλήττονται· ὅτι γυνὴ ἦν ἡ ὑπερβᾶσα τὸ κήρυγμα.

Ib. Ἀμφινοῶ] περισσὴ ἡ ἀμφί.

388. Ἀπιστοῦσαν]

Σέ γ' ἀπιςῶσαν, τοῖς βασιλείοι-
σιν ἄγεσι νόμοις,
Καὶ ἐν ἀφροσύνῃ καθελόῦσες ;

IAMBOI.

ΑΓΓ. Ἦδ' ἔς' ἐκείν' ἡ τἔργον ἐξειργασμένη·
Τήνδ' εἵλομεν θάπτουσαν· ἀλλὰ πῶ Κρέων ;
ΧΟΡ. Ὅδ' ἐκ δόμων ἄψορρος εἰς δέον πορᾷ.
ΚΡΕ. Τίδ' ἐσί; ποία ξύμπεσπρος πρᾶξις δίκη;
ΑΓΓ. Ἄναξ, " βροτοῖσιν ὐδέν ἐς' ἀπώμοσον·
" Ψεύδει γὰρ ἡ 'πίνοια τήν γνώμην." ἐπεὶ
Σχολῇ ποθ' * ἥξειν δεῦρ' ἂν ἐξηύχεν ἐγὼ,
Ταῖς σαῖς ἀπειλαῖς αἷς ἐχειμάσθην τότε·
Ἀλλ' (" ἡ γὰρ ἐκτὸς καὶ παρ' ἐλπίδας χαρὰ
" Ὅοικεν ἄλλῃ μῆκος ὐδὲν ἡδονῇ)"
Ἥκω δι' ὅρκων καίπερ ὢν ἀπώμοσος,
Κόρην ἄγων τήνδ', ἣ καθευρέθη τάφον
Κοσμοῦσα. Κλῆρος ἐνθάδ' ἐκ ἐπάλλελο·
Ἀλλ' ἔς' ἐμὸν θ' ἕρμαιον, ἐκ ἄλλε τόδε.
Καὶ νῦν, ἄναξ, τήνδ' αὐτὸς, ὡς θέλεις, λαβὼν,
Καὶ κρῖνε κἀξέλεγχ'· ἐγὼ δ' ἐλεύθερος

* Turn. in marg. γ' ἂν.

388. Ἀπιςῶσαν] μὴ πειθαρχῆσαν.

394. Πρᾶξη] ἔξεσι.

395. Ἀπώμοσον] ἀντὶ τοῦ, ἀπηλεγυμένον καὶ ἀπροσδόκητον· ἀντὶ τοῦ, ἐκ ὀφείλει τις ἀπομόσασθαι περί τινος ὅτι ἐκ ἂν αὐτὸ πράξειεν· ἡ γὰρ πρώτη δόκησις ἐκκρούεται ἀπὸ τῆς ἐπιγιγνομένης δόξης δευτέρας. τοῦτο δέ φησιν ὅτι τῷ Κρέοντος ἀπειλήσαντι, τότε ὤμοσε μηκέτι ἐμφανὴς ἔσεσθαι· νῦν δὲ εὐρὼν τὴν Ἀντιγόνην, πάλιν ἐλήλυθε.

396. Ψεύδει γὰρ ἡ 'πίνοια] ψευδῆ ποιεῖ· ἡ γὰρ ἐπίνοια (ὅ ἐςιν ἡ ἐπιοῦσα γνώμη) τὴν ἀπελπίσασαν γνώμην ψευδῆ ποιεῖ.

399. Ἀλλ' ἡ γὰρ ἐκτὸς καὶ παρ' ἐλπίδας] ἡ ἀπροσδόκητος χαρὰ ἐκ ἔοικεν εἰς τὸ μέγεθος τῇ ἄλλῃ ἡδονῇ. ὅ ἐςι, πᾶσαν ἡδονὴν νικᾷ τὸ μέγεθος τῆς παρ' ἐλπίδα χαρᾶς.

Ib. Ἀλλ' ἡ γὰρ ἐκτὸς] σύναπτε τὸ ἀλλὰ πρὸς τὸ ἥκω· τὰ λοιπὰ δὲ διὰ μέσου λέγε. τὸ δ' ἐκτὸς καὶ παρ' ἐλπίδας, ἐκ παραλλήλου.

401. Καίπερ ὢν ἀπώμοσος] καίπερ ὁμωμοκὼς μὴ ἐλθεῖν.

403. Κλῆρος ἐνθάδ' ἐκ ἐπάλλελο] ἄνω γὰρ εἶπεν ὅτι κληρωτὸς ἦλθε.

404. Θ' ἕρμαιον] τὸ ἔρμαιον τὸ κέρδος.

407. Δίκαιός

Δίκαιός εἰμι τῶνδ' ἀπηλλάχθαι κακῶν.
ΚΡΕ. Ἄγεις δὲ τήνδε, τῷ τρόπῳ; πόθεν λαβών;
ΑΓΓ. Αὕτη τὸν ἄνδρ' ἔθαπτε· πάντ' ἐπίςασο.
ΚΡΕ. Ἦ καὶ ξυνίεις καὶ λέγεις ὀρθῶς ἃ φῄς;
ΑΓΓ. Ταύτην γ' ἴδον θάπτουσαν ὃν σὺ τὸν νεκρὸν
Ἀπεῖπας· ἆρ' * ἔνδηλα καὶ σαφῆ λέγω;
ΚΡΕ. Καὶ πῶς ὁρᾶται κἀπίληπτος εὑρέθη;
ΑΓΓ. Τοιοῦτον ἦν τὸ πρᾶγμ'· ὅπως γὰρ ἥκομεν
Πρὸς σοῦ τὰ δείν' ἐκεῖν' ἐπηπειλημένοι,
Πᾶσαν κόνιν σήραντες ἢ κατεῖχε τὸν
Κέκυν, μυδῶν τε σῶμα γυμνώσαντες εὖ,
Καθήμεθ' ἄκρων ἐκ πάγων ὑπήνεμοι,
Ὀσμὴν ἀπ' αὐτοῦ μὴ βάλοι πεφευγότες,
Ἐγερτὶ κινῶν ἄνδρ' ἀνὴρ ἐπιῤῥόθοις
Κακοῖσιν, εἴτις τοῦδ' ἀφειδήσοι πόνου.
Χρόνον τάδ' ἦν τοσοῦτον ἔς' ἐν αἰθέρι
Μέσῳ κατέςη λαμπρὸς ἡλίου κύκλος,
Καὶ καῦμ' ἔθαλπε· καὶ τότ' ἐξαίφνης χθονὸς

* Turn. in marg. ὡς.

407. Δίκαιός εἰμι τῶνδ' ἀπηλλάχθαι] ἀντὶ τοῦ, μὴ ὑποπτεύεσθαι.

411. Ὃν σὺ τὸν νεκρὸν ἀπεῖπας] τὸ ἑξῆς, τὸν νεκρὸν ὃν σὺ ἀπεῖπας θάπτειν· οὕτως δὲ χρῶνται οἱ παλαιοὶ, ὥςε δύο ἄρθρα προτακτικόν τε καὶ ὑποτακτικὸν κατὰ τοῦ αὐτοῦ ὀνόματος παραλαμβάνειν. Κρατῖνος·

"Ὅνπερ Φιλοκλέης τὸ λόγον διέφθορεν."

413. Καὶ πῶς ὁρᾶται] ποίῳ τρόπῳ αὐτὴν συνελάβεσθε καὶ κατειλήφατε;

416. Πᾶσαν κόνιν σήραντες] ἀποψήξαντες.

417. Μυδῶν τε σῶμα] μυδῶν, ἰχῶρα ἀποπέμπον. τουτέςι, διαλελυμένον, καὶ δίυγρον τὸν ἀπὸ σήψεως ἰχῶρα ἀποςάζον. ὡς τὸ, δάκρυσι μυδαλέον.

418. Ὑπήνεμοι] ἀντὶ τοῦ, ὑπὸ τὸν ἄνεμον. οὐκ ἐναντίον τοῦ ἀνέμου, ἀλλ' ἐςραμμένοι ἀπὸ τοῦ νεκροῦ, ὅπως μὴ φέρῃ πρὸς ἡμᾶς τὴν ὀσμήν.

420. Ἐπιῤῥόθοις] λοιδόροις, ὑβριςικοῖς.

424. Καὶ τότ' ἐξαίφνης] ἡ σύνταξις, καὶ τότ' ἐξαίφνης ὁ τυφὼς (οὗτος γὰρ ςροβίλων καὶ καταιγίδος ἔφορός ἐςιν) ἀείρας καὶ ἐπάρας σκηπτὸν καὶ ςροβιλώδη ἄνεμον, ἄχος καὶ λύπην οὐράνιον καὶ ἀερώδη (λυπηρὸς γὰρ ἡμῖν οὗτος ὁ ἄνεμος, ὅταν πνεύσῃ) πίμπλησι καὶ γεμίζει τὸ ἐκεῖ πεδίον ὕλης πεδιάδος, ἤγουν, τοῦ ἐν γῇ συρφετοῦ· αἰκίζων καὶ μαςίζων πᾶσαν φόβην καὶ τρίχωσιν χθονὸς, βοτάνας λέγω καὶ δένδρα· ἐμεςώθη δὲ πᾶς ὁ ἀὴρ σὺν τῷ πεδίῳ, καὶ οὗτος τοῦ ἐκ γῆς συρφετοῦ πεπλήρωται.

425. Τυφὼς

Τυφὼς ἀείρας σκηπλὸν, ὐράνιον ἄχος,
Πίμπλησι πεδίον, πᾶσαν αἰκίζων φόβῃ
Ὕλης πεδιάδος· ἐν δ' ἐμεσώθη μέγας
Αἰθήρ· μύσαυλες δ' εἴχομεν θείαν νόσον·
Καὶ τῆδ' ἀπαλλαγέντος ἐν χρόνῳ μακρῷ,
Ἣ παῖς ὁρᾶται κἀνακωκύει πικρᾶς
Ὄρνιθος ὀξὺν φθόγγον, ὡς ὅταν κενῆς
Εὐνῆς νεοσσῶν ὀρφανὸν βλέψῃ λέχος.
Οὕτω δὲ χ' αὕτη ψιλὸν ὡς ὁρᾷ νέκυν,
Γόοισιν ἐξώμωξεν, ἐκ δ' ἀρὰς κακὰς
Ἠρᾶτο τοῖσι τἔργον ἐξειργασμένοις.
Καὶ χερσὶν εὐθὺς διψίαν φέρει κόνιν,
Ἔκ τ' εὐκρήπιδος χαλκέως ἄρδην πρόχῳ
Χοαῖσι τρισπόνδοισι τὸν νέκυν σέφει.
Χ' ἡμεῖς δ' ἰδόντες, ἰέμεσθα· σὺν δέ νιν
Θηρώμεθ' εὐθὺς ἑδὲν ἐκπεπλημμένην·
Καὶ τάς τε * πρόσθεν τάς τε νῦν ἠλέγχομεν

* Ald. τάσγε.

425. Τυφὼς ἀείρας] τυφὼς λέγεται ὁ καταιγιδώδης ἄνεμος. Ἡσίοδος·

" Ἐκ δὲ Τυφοέος ἔς' ἀνέμων μένος ὑγρὸν
" ἀέντων."

Σκηπλὸς λέγεται πᾶν πνεῦμα θυελλῶδες, ὅταν συνερείδῃ τῇ γῇ καὶ πάλιν ἄνω αἴρῃ· τὸ δὲ τοιοῦτον, καὶ σρόβιλον τινὲς καλοῦσι, παρὰ τὸ σροβεῖν.

1b. Οὐράνιον ἄχος] τὸ λυπηρὸν τὸν αἰθέρα, παθὸ, παράσσει αὐτόν· τὴν κόνιν. τὸν τυφώνιον ἄνεμον.

428. Μύσαύλες δ' εἴχομεν] ἀντὶ τοῦ, ἀνλείχομεν πρὸς τὴν κόνιν.

430. Κἀνακωκύει πικρᾶς ὄρνιθος ὀξὺν φθόγγον] τὸ φιλόσοφον τῆς κόρης διὰ τούτων ὁρᾶται· Θάψασα γὰρ ἐκ ἡμέλησε δακρύων καὶ θρηνημάτων.

432. Εὐνῆς νεοσσῶν] ἐπειδὴ τὸ λέχος καὶ τὸ εὐνῆς ταὐτόν ἐςι, (λέχος γὰρ εὐνῆς, ἡ εὐνὴ ἐςι, καὶ τὸ κενῆς, καὶ τὸ ὀρφανόν, ταὐτόν ἐςι) πρὸς μὲν τὸ εὐνῆς, τὸ κενῆς λέγε· πρὸς δὲ τὸ λέχος, τὸ ὀρφανόν. μὴ σίζας δὲ εἰς τὸ φθόγγον, ἀσυνδέτως τὴν παραβολὴν ἔνφερε, πλανηθεὶς, ἐκ τοῦ ἔτω δέ. ἀλλ' ἡ μὲν παραβολὴ πρὸς τὸ ὄρνιθος ἔχει τὴν δύναμιν, μηδὲν ἐμποδιζομένη, τοῦ ἔτω δὲ λείποντος· τὸ δὲ ἔτω δὲ διὰ τοῦτο ἐπέφερεν ἵνα σύνδεσμον τῆς ἑφεξῆς ἐννοίας ποιήσῃ· καὶ ἔςιν ζῆλος Ὁμηρικὸς.

433. Ψιλὸν] γυμνὸν τῆς κόνεως.

436. Διψίαν] ξηράν. ῥᾳφείαι, διψίαν φέρει.

437. Πρόχῳ] πρόχοῃ.

438. Τον νέκυν σέφει] κοσμεῖ. κύκλῳ περιῤῥαίνει.

439. Ἰέμεσθα] ἐπορευόμεθα, ὡρμῶμεν.

440. Οὐδὲν ἐκπεπλημένην] περιφοβον γενομένην.

443. Ἀλλ'

Πράξεις· ἄπαρνος δ' ὀδενὸς καθίςατο·
Ἀλλ' ἡδέως ἔμοιγε κἀλγεινῶς ἅμα.
" Τὸ μὲν γὰρ αὐτὸν ἐκ κακῶν πεφευγέναι,
" Ἥδιςον· ἐς κακὸν δὲ τὰς φίλους ἄγειν,
" Ἀλγεινόν." ἀλλὰ πάντα ταῦθ' ἥσσω λαβεῖν
Ἐμοὶ πέφυκε τῆς ἐμῆς σωτηρίας.
ΚΡΕ. Σὲ δή σε τὴν νεύουσαν ἐς πέδον κάρα
Φῄς, ἢ καταρνῇ μὴ δεδρακέναι τάδε;
ΑΝΤ. Καὶ φημὶ δρᾶσαι, κοὐκ ἀπαρνοῦμαι τὸ μή.
ΚΡΕ. Σὺ μὲν κομίζοις ἂν σεαυτὸν ᾗ θέλεις
Ἔξω βαρείας αἰτίας ἐλεύθερον.
Σὺ δ' εἰπέ μοι μὴ μῆκος, ἀλλὰ σύντομα·
Ἥδεις τὰ κηρυχθέντα, μὴ πράσσειν τάδε;
ΑΝΤ. Ἥδειν· τί δ' οὐκ ἔμελλον; ἐμφανῆ γὰρ ἦν.
ΚΡΕ. Καὶ δῆτ' ἐτόλμας τούσδ' ὑπερβαίνειν νόμους;
ΑΝΤ. " Οὐ γάρ τι μοι Ζεὺς ἦν ὁ κηρύξας τάδε,
" Οὐδ' ἡ ξύνοικος τῶν κάτω θεῶν Δίκη,
" Οἳ τούσδ' ἐν ἀνθρώποισιν ὥρισαν νόμους.
" Οὐδὲ σθένειν τοσοῦτον ᾠόμην τὰ σὰ
" Κηρύγμαθ', ὥς' ἄγραπτα κἀσφαλῆ θεῶν

443. Ἀλλ' ἡδέως ἔμοιγε κἀλγεινῶς] ὁμολογούσης αὐτῆς ἡδέως καὶ ἀλγεινῶς ἤκουον.

445. Τὰς φίλους ἄγειν] φίλους φησὶ διὰ τὸ εἶναι τὴν Ἀντιγόνην τοῦ βασιλικοῦ γένους.

446. Ἀλλὰ πάντα ταῦθ' ἥσω] ἀντὶ τοῦ, ἀλλ' οὐδὲν γὰρ προκρίνω τῆς ἐμῆς σωτηρίας.

451. Σὺ μὲν κομίζοις ἂν] πρὸς τὸν ἄγγελον φησὶν ὁ Κρέων.

Ib. Ἧι θέλεις] ὅποι καὶ θέλεις.

457. Οὐ γάρ τι μοι Ζεὺς ἦν] ἡ Δίκη (φησὶ) καὶ ὁ Ζεὺς ὥρισαν ὥςε θάπτεσθαι τὰς νεκρούς· εἰ οὖν ἦσαν αὐτοὶ τοῦτο ἀποκηρύξαντες καὶ κελεύσαντες μὴ θάπτεσθαι τὸν νεκρὸν, ἐπείσθην ἂν αὐτοῖς. θέλει δὲ εἰπεῖν, ὅτι ἀπὸ τῆς φύσεως δίκαιον ἤγημαι θάπτειν τὸν ἀδελφόν.

458. Τῶν κάτω θεῶν] ἤγουν, τὸ δίκαιον ὅπερ ἡ Περσεφόνη καὶ ὁ Πλούτων παρὰ τῶν ζώντων κομίζουσι· λέγω δὴ τὸ θάπτεσθαι αὐτοὺς θανόντας.

461. Ὥς' ἄγραπτα] τινές φασι τὰ γραπτά· οὐ γὰρ ἄγραφοι τῶν θεῶν οἱ νόμοι.

Ib. Ὥς' ἄγραπτα] ἤγουν τὰ τετυπωμένα καὶ νενομοθετημένα, παρ' ὅσον οἱ περὶ τῆς ταφῆς τῶν νεκρῶν νόμοι ἄγραφοί εἰσι. τὸ δὲ θνητὸν ὄντα, ἢ πρὸς τὸν Κρέοντα νόει, οὕτως, ὥςε ὑπερδραμεῖν καὶ ὑπερβῆναί σε τὰ νόμιμα τῶν θεῶν ὄντα θνητὸν, τοῦτ' ἔςι, κρείττονα τῶν θεῶν φανῆναι, διὰ τὸ μὴ δύνασθαί τινα ὑπὸ τοῦ φόβου ἃ προστάττουσιν ἐκεῖνοι ποιεῖν· ἢ τὸ θνητὸν ὄντα, ἀντὶ τοῦ, τινὰ ἄνθρωπον, οὕτως

" Νόμιμα δύνασθαι θνητὸν ὄνθ' ὑπερδραμεῖν·
" Οὐ γάρ τι νῦν γε κἀχθὲς ἀλλ' ἀεί ποτε
" Ζῇ ταῦτα, κὐδεὶς οἶδεν ἐξ ὅτυ φάνη.
" Τύτων ἐγὼ ὐκ ἔμελλον, ἀνδρὸς ὐδενὸς
" Φρόνημα δείσασ', ἐν θεοῖσι τὴν δίκην
" Δώσειν; θανυμένη γὰρ ἐξῄδειν, (τί δ' ὔ;)
" Κεἰ μὴ σὺ πρὐκήρυξας· εἰ δὲ τῦ χρόνυ
" Πρόσθεν θανῦμαι, κέρδος αὖτ' ἐγὼ λέγω.
" Ὅςις γὰρ ἐν πολλοῖσιν, ὡς ἐγὼ, κακοῖς
" Ζῇ, πῷς ὅδ' ὐχὶ καθθανὼν κέρδος φέρει;"
Οὕτως ἔμοιγε τῦδε τῦ μόρυ τυχεῖν,
Παρ' ὐδὲν ἄλγος· ἀλλ' ἂν, εἰ τὸν ἐκ ἐμῆς
Μητρὸς θανόντ' ἄθαπτον ἠνσχόμην νέκυν,
Κρίνοις ἂν ἤλγυν· τοῖσδε δ' ὐκ ἀλγύνομαι.
Σοὶ δ' εἰ δοκῶ νῦν μῶρα δρᾶσα * τυγχάνειν,
Σχεδόν τι μώρῳ μωρίαν ὀφλισκάνω.
ΧΟΡ. Δηλοῖ τὸ γέννημ' ὠμὸν ἐξ ὠμῦ πατρὸς
Τῆς παιδός· εἴκειν δ' ὐκ ἐπίςαται κακοῖς.
ΚΡΕ. " Ἀλλ' ἴσθι τοι, τὰ σκλήρ' ἄγαν φρονήματα
" Πίπτει μάλιςα· κὴ τὸν ἐγκρατέςατον
" Σίδηρον ὀπτὸν ἐκ πυρὸς περισκελῆ,

* Aldus. δρῶσα.

ὕτως, ὥςε ὑπερδραμεῖν καὶ ὑπερβῆναι τινὰ θνητὸν ὄντα τὰ νόμιμα τῶν θεῶν διὰ τὸν σὸν φόβον. κρεῖττον δὲ τὸ πρῶτον.

463. Οὐ γάρ τι νῦν γε] ὐ γάρ τι σήμερον (φησὶ) ταῦτα ἐγένετο, ἀλλ' ἔςιν ἀΐδια, καὶ ἀρχὴν αὐτῶν ὐδεὶς οἶδε.

465. Τύτων ἐγὼ] ἀντὶ τῦ, ὑπὲρ τύτων ἐγώ.

468. Εἰ μὴ σὺ πρὐκήρυξας] τὸν θάνατον δηλαδή.

Ib. Εἰ δὲ τῦ χρόνυ] τῦ εἱμαρμένυ δηλονότι.

473. Παρ' ὐδὲν ἄλγος] ὐδεμία λύπη.

474. Ἠνσχόμην] ἠνεσχόμην, ὑπερεῖδον.

476. Σοὶ δ' εἰ δοκῶ νῦν μῶρα] εἰ δοκῶ παρὰ σοὶ εὐήθη πράττειν, ὐκ ἔςι περὶ ἐμὲ ἡ εὐήθεια, ἀλλὰ περὶ σέ· ὥςε δεῖ μὴ τὴν ἰδίαν πλάνην τοῖς πλησίον ἐπιφέρειν.

478. Δηλοῖ τὸ γέννημ' ὠμὸν] τὸ σκληρὸν αὐτῆς τῦ φρονήματος ὁμολογεῖ πατέρα τὸν Οἰδίποδα.

480. Ἀλλ' ἴσθι τοι] δημηγορία αὖθις Κρέοντος μετ' ὀργῆς, καὶ κατηγορία Ἀντιγόνης καὶ Ἰσμήνης.

482. Περισκελῆ] περιεσκληκότα, ἢ κεκαμμένα.

" Θραυσθέντα κἀ ῥαγέντα πλεῖς' ἂν εἰσίδοις.
" Σμικρῷ χαλινῷ δ' οἶδα τὰς θυμουμένας
" Ἵππους καλαρρυθέντας. ἐ γὰρ ἐκπέλει
" Φρονεῖν μεγ' ὅστις δοῦλός ἐστι τῶν πέλας."
Αὕτη δ' ὑβρίζειν μὲν τότ' ἐξηπίστατο,
Νόμους ὑπερβαίνουσα τοὺς προκειμένους·
Ὕβρις δ', ἐπεὶ δέδρακεν, ἥδε δευτέρα,
" Τέτοις ἐπαυχεῖν, κἀ δεδρακυῖαν γελᾶν."
Ἦ νῦν γ' ἐγὼ μὲν οὐκ ἀνήρ, αὐτὴ δ' ἀνήρ,
Εἰ ταῦτ' ἀναλγεῖ τῆδε κείσεται κράτη.
Ἀλλ' εἴτ' ἀδελφῆς, εἴθ' ὁμαιμονεστέρας
Τοῦ πανλοῦ ἡμῖν Ζηνὸς Ἑρκείου κυρεῖ,
Αὐτή τε χ' ἡ ξύναιμος οὐκ ἀλύξεται
Μόρου κακίστου· κἀ γὰρ ἔν κείνῃ ἴσον
Ἐπαιλιῶμαι τοῦδε βουλεῦσαι τάφου.
Καί νιν καλεῖτ'· ἔσω γὰρ εἶδον ἀρτίως
Λυσσῶσαν αὐτήν, οὐδ' ἐπήβολον φρενῶν.
" Φιλεῖ δ' ὁ θυμὸς πρόσθεν ἡρῆσθαι κλοπεὺς*
" Τῶν μηδὲν ὀρθῶς ἐν σκότῳ τεχνωμένων."

* Turn. in marg. κλοπαῖς.

Ib. Περισκελῆ] τοῦτο ἡ πρὸς τὸ ἐγκραλέστατον συναπλέον, ἢ πρὸ, τὸ ὀπλὸν ἐκ πυρὸς, ἕτας, εἰσίδοις ἂν καὶ θεάσαιο τὸν ἐγκραλέστατον σίδηρον θραυσθέντα καὶ ῥαγέντα πλεῖστα καὶ καλὰ πολὺ, ὀπλὸν ἐκ πυρὸς, περισκελῆ, ἤτοι, ἄγαν βαφέντα καὶ ἔνλονον γενόμενον.

491. Ἦ νῦν] ὄντως δή.

492. Εἰ ταῦτ' ἀναλγεῖ] εἰ ταῦτα τὰ τολμήματα καὶ ἡ νίκη αὕτη χωρὶς βλάβης καὶ τιμωρίας.

Ib. Εἰ ταῦτ' ἀναλγεῖ] τὸ ταῦτα κράτη, ἢ πρὸς τὴν Ἀντιγόνην νοητέον, ταῦτα κράτη, ἤγουν, ἡ τοιαύτη ταύτης ὑπεροψία· ἢ πρὸς τὸν Κρέοντα, ἤγουν, ἡ ἐμὴ βασιλεία. Τὸ δ' ἀναλγεῖ, ἀντὶ τοῦ, χωρὶς βλάβης.

493. Ἀλλ' εἴτ' ἀδελφῆς, εἴθ' ὁμαιμονεστέρας] εἴτε ἐξ ἀδελφῆς ἐμῆς, εἴτε οἰκειοτέρα καὶ συγγενικωτέρα πάντων τῶν οἰκείων, (τοῦτο γὰρ δηλοῖ τὸ, τοῦ πανλοῦς ἡμῖν Ζηνὸς Ἑρκίου κυρεῖ) ἀθῶος ἐκ ἄπειτιν.

497. Τοῦδε βουλεῦσαι τάφου] λείπει ἡ Περί.

499. Ἐπήβολον φρενῶν] κυρίαν τῶν φρενῶν, καὶ ἐχοῦσαν ἐν αὐτῇ,

500. Φιλεῖ δ' ὁ θυμὸς] εἴωθεν ἡ ψυχὴ τῶν λάθρα τὰ κακὸν τεχνωμένων προαλίσκεσθαι, καὶ ἑαυτὴν καλαφανῆ ποιεῖν πρὶν φαραθῆναι. Ἄλλως· τῶν λάθρα τὶ βουλομένων δρᾶν ὁ θυμὸς προκλέπτεται, καὶ περὶ τὴν καλάσασιν τοῦ σώματος εὐδηλόν τι γίγνεται τὸ καληγορεῖν τῆς πράξεως αὐτῶν.

502. Μισῶ

" Μισῶ γε μέντοι χ' ὅταν ἐν κακοῖσί τις
" Ἁλᾷ, ἔπειτα τοῦτο καλλύνειν θέλῃ."
ΑΝΤ. Θέλεις τι μεῖζον ἢ καθαιρεῖναί μ' ἑλών;
ΚΡΕ. Ἐγὼ μὲν οὐδέν. τοῦτ' ἔχων, ἅπαντ' ἔχω.
ΑΝΤ. Τί δῆτα μέλλεις; ὡς ἐμοὶ τῶν σῶν λόγων
Ἀρεσκὸν οὐδέν, μηδ' ἀρεσθείη ποτέ·
Οὕτω δὲ καί σοι τἄμ' ἀφανδάνοντ' ἔφυ.
Καίτοι, πόθεν κλέος γ' ἂν εὐκλεέστερον
Καθέσχον, ἢ τὸν αὐτάδελφον ἐν τάφῳ
Τιθεῖσα; τέτοις τοῦτο πᾶσιν ἀνδάνειν
Λέγοιμ' ἄν, εἰ μὴ γλῶσσαν ἐγκλείσοι φόβος.
" Ἀλλ' ἡ τυραννὶς πολλά τ' ἄλλ' εὐδαιμονεῖ,
" Κἄξεσιν αὐτῇ δρᾶν λέγειν θ' ἃ βούλεται."
ΚΡΕ. Σὺ τοῦτο μόνη τῶνδε Καδμείων ὁρᾷς;
ΑΝΤ. Ὁρῶσι χ' ἕτοι, σοὶ δ' * ὑπίλλεσι στόμα.
ΚΡΕ. Σὺ δ' οὐκ ἐπαιδῆ τῶνδε χωρὶς εἰ φρονεῖς;
ΑΝΤ. Οὐδὲν γὰρ αἰσχρὸν τὸς ὁμοσπλάγχνους σέβειν.
ΚΡΕ. Οὐκοῦν ὁμαίμος χ' ὡ καλὰ χθονὸς † θανών ‡;
ΑΝΤ. Ὁμαιμος ἐκ μιᾶς τε κἀ ταὐτοῦ πατρός.
ΚΡΕ. Πῶς δῆτ' ἐκείνῳ δυσσεβεῖ τιμᾶς χάριν;
ΑΝΤ. Οὐ μαρτυρήσει ταῦθ' ὁ καθανὼν νέκυς.
ΚΡΕ. Εἴτοι σφὲ τιμᾷς ἐξίσε τῷ δυσσεβεῖ.

* Ald. Turn. οἶδε. † Ald. καλαυλίου. ‡ Turn. in marg. καλὰ χθονὸς νέκυς.

502. Μισῶ γε μέντοι] μισῶ τὸν ἁμαρτάνοντα καὶ ἐπικοσμοῦντα τὴν ἁμαρτίαν αὐτοῦ. τοῦτο δέ φησιν ὅτι ἁλοῦσα ἡ Ἀντιγόνη ἔφασκε τῷ Θείῳ νόμῳ ἐπαρκεῖν.

506. Ὡς ἐμοὶ τῶν σῶν λόγων] τὸ κήρυγμα τοῦ Πολυνείκους αἰνίττεται.

510. Καθέσχον] ἀντὶ τοῦ, ἔσχον.

513. Ἀλλ' ἡ τυραννὶς] ἐκ τοῦ ἐπαίνου τοῦτο τῆς τυραννίδος, ἀλλ' ἔχει τι εἰρωνείας ὁ λόγος.

515. Σὺ τοῦτο μόνη] σοὶ μόνῃ τοῦτο δοκεῖ δίκαιον εἶναι, ταφῆναι τὸν Πολυνείκη.

516. Σοὶ δ' ὑπίλλεσι στόμα] γιγνώσκουσι καὶ ἕτοι, διὰ δέ σε τὸ στόμα συσέλλουσι, καὶ σιωπῶσιν· ἢ, σεφύουσι τὰς διὰ τοῦ στόματος λύσεις.

517. Τῶνδε χωρὶς εἰ φρονεῖς] ἀντὶ τοῦ, παρὰ τούτους φρονοῦσα.

521. Τιμᾷς χάριν] ἀντὶ τοῦ νέμεις.

ΑΝΤ. Οὐ γάρ τι δῆλος, ἀλλ' ἀδελφὸς ὤλεο.
ΚΡΕ. Πορθῶν γε τήνδε γῆν· ὁ δ', ἀνίσας ὕπερ.
ΑΝΤ. Ὅμως ὅγ' ᾅδης τὰς νόμους τάτους ποθεῖ.
ΚΡΕ. Ἀλλ' ἐχ ὁ χρηστὸς τῷ κακῷ λαχεῖν ἴσον.
ΑΝΤ. Τίς δ' οἶδεν εἰ κάτω ϛὶν εὐαγῆ τάδε;
ΚΡΕ. Οὔτοι ποθ' ὐχθρὸς, ἔθ' ὅταν θάνῃ, φίλος.
ΑΝΤ. "Οὔτοι συνέχθειν, ἀλλὰ συμφιλεῖν, ἔφυν."
ΚΡΕ. Κάτω νυν ἐλθοῦσ', εἰ φιλῆϛέον, φίλει
Κείνους· ἐμοῦ δὲ ζῶνϛος, ἐκ ἄρξει γυνή.

ΑΝΑΠΑΙΣΤΟΙ.

ΧΟΡ. Καὶ μὲν πρὸ πυλῶν ἥδ' Ἰσμήνη,
Φιλάδελφα κάτω δάκρυ' εἰϐομένη *,
Νεφέλη δ' ὀφρύων ὕπερ, αἱμαλόεν
Ῥέθος αἰσχύνει,
Τέγγουσ' εὐῶπα παρειάν.

* Aldus, δάκρυα λειϐομένα.

524. Οὐ γάρ τι δῆλος, ἀλλ' ἀδελφὸς] ὁ τοιοῦτος ἐϛιν ὁ ἀπολόμενος ὥϛε εἰς χάριν τῷ Ἐτεοκλέους ἐάσαι αὐτὸν ἄταφον. ὁ γὰρ τοσοῦτον αὐτῷ ὑπερεϐάλλων. ὁ δεῖ ἂν σκοπεῖν εἴτι ἐκείνῳ ἀποϐίμιον ποιῶ, ἀλλ' εἰ κοινῆς τῆς φύσεως ἔλαχον.

526. Τὰς νόμους] γράφεται ἴσως. λέγει δὲ τὸ θάπτειν.

527. Ἀλλ' ἐχ ὁ χρηστὸς] ἡ πρὸς τὸ ἀλλὰ ἔξωθεν λάμϐανε τὸ ἐχ ὑπάρχει νόμους, ἤτοι, ἀλλ' ἐχ ὑπάρχει ὁ ἄνθρωπος νόμος, ἦγεν, ὃδὲ νενομισμένον ἐϛὶ λαϐεῖν ἴσον καὶ ὅμοιον τῷ κακῷ· ἢ ἤτω, ἀλλ' ἐκ ἴσον καὶ ὅμοιον ὑπάρχει ὁ χρηστὸς ἄνθρωπος τῷ κακῷ, ὥϛε λαϐεῖν τὴν αὐτὴν τιμὴν δηλονότι.

528. Τίς οἶδεν εἰ κάτω ϛὶν] γράφεται κάτωθεν, ἀντὶ τοῦ, κάτω. ὡς τὸ, Αἴας δ' ἐγγύθεν ἦλθεν, ἀντὶ τοῦ, ἐγγύς. ὁ δὲ νῦν· τίς οἶδεν εἰ καθ' ᾅδου ἀλλήλοις διαλεχθέντες, ἠγνῆται εὐσεϐῆ τάδε;

530. Οὔτοι συνέχθειν, ἀλλὰ συμφιλεῖν] τὰς φιλίας (φησὶ) κοινὰς ποιεῖμαι, ἀλλ' ἃ τὰς ἔχθρας. ἐν δέ τισιν ἤτως, εἰ καὶ ἐχθαίρουσιν ἀλλήλους οἱ ἀδελφοὶ, ἐγὼ ἐ τοιαύτη εἰμὶ τὴν φύσιν ὥϛε σὺν ἑτέρῳ αὐτῶν ἐχθαίρειν τὸν ἕτερον, ἀλλὰ συμφιλεῖν τοῖς φιλοῦσι.

533. Καὶ μὲν πρὸ πυλῶν] εἰκὸς μὲν τὴν Ἰσμήνην ὑπὲρ τῆς ἀδελφῆς ἀγωνιῶσαν ϛυλνάζειν, ἀδὲν δὲ ἧττον καὶ διότι ὑποπλεύθη.

534. Φιλάδελφα] ἀντὶ τοῦ, φιλαδέλφως.

535. Νεφέλη δ' ὀφρύων ὕπερ] ἐὰν ᾖ δοτικὴ τῇ νεφέλῃ, ἔϛαι ὁ λόγος, τῇ νεφέλῃ, τυλέϛι τῇ ϛυλνότητι τῇ ὑπεράνω τῶν ὀφρύων, τὸ αἱμαλόεν ῥέθος αἰσχύνει ἡ Ἰσμήνη, τέγγουσα εὐῶπα παρειάν. ἐὰν δὲ καὶ ὀρθὴν ᾖ ἡ νεφέλη, ἔϛαι μέλαξὺ ἡ νεφέλη δ' ὀφρύων ὕπερ. ἵνα τὸ ἐξῆς τοῖς πρώτοις συνάπτηται. καὶ μὴν πρὸ πυλῶν ἥδ' Ἰσμήνη φιλάδελφα δάκρυα λειϐομένη, αἱμαλόεν ῥέθος αἰσχύνει. τέγγουσα εὐῶπα παρειάν.

Ib. 536. Νεφέλη δ' ὀφρύων ὕπερ, αἱμαλόεν ῥέθος αἰσχύνει] τὸ ἐπὶ τῷ προσώπῳ ἐρύθημα. ἀλληγορικῶς δὲ εἶπε τὴν νεφέλην, ὡς γὰρ ἡ νεφέλη

ΙΑΜΒΟΙ.

ΚΡΕ. Σὺ δ', ἣ κατ' οἴκους ὡς ἔχιδν' ὑφειμένη
Λήθουσά μ' ἐξέπινες (οὐδ' ἐμάνθανον
Τρέφων δύ' ἄτα *, κἀπαναστάσεις θρόνων)
Φέρ' εἰπὲ δή μοι, καὶ σὺ τοῦδε τοῦ τάφου
Φήσεις μετασχεῖν, ἢ 'ξομῇ τὸ μὴ εἰδέναι;
ΙΣΜ. Δέδρακα τοὔργον, εἴπερ ἥδ' ὁμοῤῥοθεῖ.
Καὶ ξυμμετίσχω καὶ φέρω τῆς αἰτίας.
ΑΝΤ. Ἀλλ' οὐκ ἐάσει τοῦτό γ' ἡ δίκη σ'· ἐπεὶ
Οὔτ' ἠθέλησας, οὔτ' ἐγὼ κοινωσάμην.
ΙΣΜ. Ἀλλ' ἐν κακοῖς τοῖς σοῖσιν οὐκ αἰσχύνομαι,
Ξύμπλουν ἐμαυτὴν τοῦ πάθους ποιουμένη.
ΑΝΤ. Ὧν τοὔργον, ᾅδης χ' οἱ κάτω ξυνίστορες.
"Λόγοις δ' ἐγὼ φιλοῦσαν οὐ στέργω φίλην."
ΙΣΜ. Μήτοι, κασιγνήτη, μ' ἀτιμάσῃς τὸ μὴ οὐ
Θανεῖν τε σὺν σοὶ, τὸν θανόντα θ' ἁγνίσαι.
ΑΝΤ. Μή μοι θάνῃς σὺ κοινὰ, μήθ' ἃ μὴ θίγες
Ποιοῦ σεαυτῆς· ἀρκέσω θνήσκουσ' ἐγώ.
ΙΣΜ. Καὶ τίς βίος μοι σοῦ λελειμμένῃ φίλος;
ΑΝΤ. Κρέοντ' ἐρώτα· τοῦδε γὰρ σὺ κηδεμών.

* Aldus, ἄτας.

φέλη στυγνὴν καὶ ὁμιχλώδη τὴν ἡμέραν ποιεῖ, οὕτω καὶ ταύτην διάδηλον φησὶ γίγνεσθαι ταῖς ὀφρύσι συμφράζουσαν, καὶ τὸ πρόσωπον στυγνὸν καὶ κατηφέστερον πεποιηκυῖαν.

538. Ὡς ἔχιδν'] ἡ γὰρ ἔχιδνα λάθρα καθεζομένη τῶν ἀνθρώπων ἐκπίνει τὸ αἷμα.

Ib. Ὑφειμένη] ὑποχαλωμένη, ἐαθεῖσα, ἀπολυθεῖσα.

542. Ἡ 'ξομῇ] ἡ ἀπαρνῇ εἶναι ἐνώμοτος.

543. Ὁμοῤῥοθεῖ] ὁμοφωνεῖ. ὅρα δὲ πῶς ἑαυτὴν πρόδηλον ὡς συκοφαντοῦσαν ποιεῖ. ὁμολογεῖ πεπραχέναι, ταύτης συντιθεμένης. ὅπερ ἀδύνατον.

545. Ἀλλ' οὐκ ἐάσει τοῦτό γ' ἡ δίκη] ἡ μὲν μὴ δράσασα ὁμολογεῖ πεπραχέναι. καὶ κεκοινωκέναι διὰ τὸν πόθον τῆς ἀδελφῆς. ἡ δὲ σπουδάζει ζῶσαν αὐτὴν διαφυλάξαι.

547. Ἀλλ' ἐν κακοῖς τοῖς σοῖς] καὶ διὰ τούτων μὴ δεδρακέναι ὁμολογεῖ.

548. Ξύμπλουν] κοινωνόν.

549. Ὧν τοὔργον] ἀντὶ τοῦ, ὑφ' ὧν τὸ ἔργον πέπρακται αἰτιῶν.

552. Τὸν θανόντα θ' ἁγνίσαι] ἀντὶ τοῦ, τιμῆσαι.

556. Κηδεμὼν] φροντιστής. τὰ γὰρ αὐτοῦ θεσπίσματα περὶ πλείονος τῆς πρὸς τὸν ἀδελφὸν ἐπιποιήκεις τιμῆς.

557. Ὠφελου-

ΙΣΜ. Τί ταῦτ' ἀνιᾷς μ', ὠφελημένη;
ΑΝΤ. Ἀλγοῦσα μὲν δῆτ', εἰ γέλωθ' ἐν σοὶ γελῶ.
ΙΣΜ. Τί δῆτ' ἂν ἀλλὰ νῦν σ' ἔτ' ὠφελοῖμ' ἐγώ;
ΑΝΤ. Σῶσον σεαυτήν· ἐ φθονῶ σ' ὑπεκφυγεῖν.
ΙΣΜ. Οἴμοι τάλαινα, κἀμπλάκω τὸ σὸν μόρου;
ΑΝΤ. Σὺ μὲν γὰρ εἶλε ζῆν, ἐγὼ δὲ, καθανεῖν.
ΙΣΜ. Ἀλλ' ἐκ ἐπ' ἀῤῥήτοις γε τοῖς ἐμοῖς λόγοις,
ΑΝΤ. Καλῶς σὺ μὲν τοῖς *, τοῖσδ' ἐγὼ δόκουν φρονεῖν.
ΙΣΜ. Καὶ μὴν ἴσῃ νᾷν † ἐσιν ἡ ξαμαρτία.
ΑΝΤ. Θάρσει, σὺ μὲν ζῇς· ἡ δ' ἐμὴ ψυχὴ πάλαι
Τέθνηκεν, ὥσε τοῖς θανοῦσιν ὠφελεῖν.
ΚΡΕ. Τὼ παῖδε φημὶ τώδε, τὴν μὲν ἀρλίως
Ἄνευ πεφάνθαι, τὴν δ' ἀφ' ἧ τὰ πρῶτ' ἔφυ.
ΙΣΜ. "Οὐ γάρ ποθ', ὦ ναξ, ὅδ' ὃς ἂν βλαςῇ μένει
"Νοῦς τοῖς κακῶς πράσσουσιν, ἀλλ' ἐξίσαται."
ΚΡΕ. Σοὶ γοῦν, ὅθ' εἶλε σὺν κακῇ πράσσειν κακά.
ΙΣΜ. Τί γὰρ μόνῃ μοι τῆσδ' ἄτερ βιώσιμον;

* Turn. in marg. μένοι. † Ald. νῶϊν. ‡ Ald. κακῷ.

557. Ὠφελημένη] ἀντὶ τοῦ, ὠφελοῦσα.

558. Εἰ γέλωθ' ἐν σοὶ γελῶ] εἰ γελῶ (φησὶν) ἐπὶ σοὶ, ἀλγοῦσα γελῶ. οἷον, κἀλαγελῶ σε ὅτι ἐκ ἠθέλησάς μοι συμπονῆσαι.

559. Τί δῆτ' ἂν ὠφελοίμην] ἀντὶ τοῦ, ποίαν μηχανὴν εὕροιμι;

563. Ἀλλ' ἐκ ἐπ' ἀῤῥήτοις] ἀντὶ τοῦ, πρὸ εἴπου σοι τὰς ἐσομένας τιμωρίας ἐν τῇ παρακάσει. ἀλλ' ἔπω παρὰ γνώμην μὲ ταῦτα πέπραχας, ἀλλὰ κἀμοῦ συνειδυίας τὰ πραλτόμενα.

564. Καλῶς σὺ μὲν τοῖς, τοῖς δ' ἐγὼ δόκουν φρονεῖν] σεαυτῇ καλῶς ἐδόκεις φρονεῖν, μὴ συμπράτλουσά μοι.

Ib. Τοῖς δ' ἐγὼ] τέτοις δ' ἐγὼ ἢ τοῖς ἀνδράσιν, ἢ τοῖς ἐμοῖς δόγμασι. τινὲς δὲ, τῷ νόμῳ καὶ τῷ δικαίῳ.

565. Ἴση νᾷν ἐσὶν ἡ ξαμαρτία] ὅτι σὺ μὲν ἔπραξας, ἐγὼ δὲ συνῄδειν.

Ib. Ἡ ξαμαρτία] ἤγουν, ἡ ἀπόλυχία τῆς ταφῆς. Ὥσπερ γὰρ ἐγὼ ταύτην ἐκ ἔπραξα, ὅτω καὶ σὺ ποιήσασα ταύτην καὶ γνωσθεῖσα, ἀδὲν πλέον ἐποίησας.

566. Ἡ δ' ἐμὴ ψυχὴ πάλαι] οἷον, προπάμην τῇ ζῇν, βοηθῆσαι βελομένη τῷ ἀδελφῷ.

567. Θανοῦσιν ὠφελεῖν] ἐ μόνον τὸ ὠφελῶ αἰτιαλικῆ, ἀλλὰ καὶ δλικῆ, ὡς καὶ ἐνλαῦθα εὕρηλαι. Φησὶ δὲ καὶ Αἰσχύλος, Ὡς τοῖς θανοῦσι χρήμαθ' ἁδὲν ὠφελεῖ.

568, 569. Τὴν μὲν ἀρλίως ἄνευ πεφάνθαι] τὴν Ἰσμήνην, ὅτι μὴ συνειςγάσαλο, καὶ ῥίπλει ἑαυτὴν εἰς κίνδυνον.

570. Οὐ γάρ ποθ', ὦ ναξ] τέτο φησὶν ὑπεραπολογεμένη τῆς Ἀνλιγόνης, ὅτι εἰ καὶ κακῶς ποιεῖ, μελαβληθήσεται. ἐ μένει γὰρ ἀδὲ ὁ ἐξ ἀρχῆς κακὸς νοῦς τοῖς κακῶς φρονήσασι. πρὸς ὃ φησι Κρέων, σοὶ γοῦν μένει κακὸς ὁ νοῦς, ὁπότε εἶλε τῶν κακῶν εἶναι κοινωνός.

ΚΡΕ. Ἀλλ' ἥδε μέν σοι μὴ λέγ'· ȣ̓ γάρ ἐς' ἔτι.
ΙΣΜ. Ἀλλὰ κτενεῖς νυμφεῖα τȣ̃ σαυτȣ̃ τέκνȣ;
ΚΡΕ. Ἀρώσιμοι * γὰρ χ' ἁτέρων εἰσὶν γύαι †.
ΙΣΜ. Οὐχ ὥς γ' ἐκείνῳ τῇσδέ τ' ἦν ἡρμοσμένα.
ΚΡΕ. Κακὰς ἐγὼ γυναῖκας υἱᾶσι ςυγῶ.
ΑΝΤ. Ὦ φίλταθ' Αἵμων, ὥς σ' ἀτιμάζει πατήρ!
ΚΡΕ. Ἄγαν γε λυπεῖς κ̣ὴ σὺ κ̣ὴ τὸ σὸν λέχος.
ΙΣΜ. Ἦ γὰρ ςερήσεις τῆσδε τὸν σαυτȣ̃ γόνον;
ΚΡΕ. Ἅ,δης ὁ παύσων τȣ́σδε τȣ̀ς γάμȣς ἔφυ.
ΙΣΜ. Δεδογμέν', ὡς ἔοικε, τήνδε κατθανεῖν.
ΚΡΕ. Καὶ σοί γε κἀμοί· μὴ τριβὰς ἔτ', ἀλλά νιν
Κομίζετ' εἴσω, δμῶες· ἐκ δὲ τȣ̃δε χρὴ
Γυναῖκας εἶναι τάσδε, μηδ' ἀνειμένας.
"Φεύγȣσι γάρ τοι χ' οἱ θρασεῖς, ὅταν πέλας
"Ἤδη τὸν ᾅδην εἰσορῶσι τȣ̃ βίȣ."

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Εὐδαίμονες, οἷσι κακῶν

* Aldus, Ἀρώσιμαι.

† Aldus, γύναι.

574. Μὴ λέγ'· ȣ̓ γάρ ἔς' ἔτι] ἀντὶ τȣ̃, μὴ φρόνει ὅτι ἐν τοῖς ζῶσίν ἐςι.

575. Νυμφεῖα] ἀντὶ τȣ̃, τὴν νύμφην.

576. Ἀρώσιμαι] παιδοποιήσιμοι, εὐγεώργητοι.

Ib. Εἰσὶν γύαι] διὰ τὸ μέτρον ἐν τῷ γύαι ἐξεβλήθη τὸ ι· εἰ δὲ μετὰ τȣ̃ ι βȣ́λει γράφειν, ἔςω σοὶ ἀντὶ κοινῆς συλλαβῆς.

577. Ἡρμοσμένα] τὰ τȣ̃ γάμȣ φησί.

578. Γυναῖκας υἱᾶσι ςυγῶ] τὸ συνάπτεσθαι δηλονότι.

580. Καὶ σὺ καὶ τὸ σὸν λέχος] τὸ σὸν, τὸ ὑπὸ σȣ̃ ὀνομαζόμενον· οἷον τὸ ὄνομα τῆς νύμφης ὃ σὺ προβάλλῃ.

584. Καὶ σοί γε κἀμοὶ] ȣ̓ μόνον ταύτῃ ὥριςαι τὸ ἀποθανεῖν, ἀλλὰ καὶ σοί. Μηκέτι ȣ̃ν μοι τριβὰς ἐμβάλλετε. ἢ, και ἐμοὶ καὶ σοὶ δέδοκται μηκέτι διατρίβειν ἐν τοῖς λόγοις.

585. Ἐκδὲ τȣ̃δε χρὴ] ὁ δὲ περιτεύει. λέγει γὰρ ὅτι χρὴ λοιπὸν μὴ ἀνειμένας εἶναι ἤγȣν, αὐτεξȣσίȣς ταύτας τὰς γυναῖκας, ἀλλὰ φρȣρεῖσθαι. φεύγειν γὰρ εἰώθασι καὶ οἱ τολμηροὶ, πλησιάζοντα ὁρῶντες τὸν θάνατον.

589. Εὐδαίμονες. οἷσι κακῶν] ἀπὸ κοινȣ̃ τὸ αἰών. Οἷς γὰρ ἂν σεισθῇ δόμος, τȣ́τοις ὁ αἰὼν ȣ̓δὴν ἄτης ἐλλείπει, ἕρπων ἐπὶ τὸ πλήθος τῆς γενεᾶς, ἀλλὰ πάντα ἐπιφέρει τὰ δεινά. Ὥςε ὅμοιόν ἐςι τὸ οἴκων κίνημα, τῷ ἐκσεισθέντι κύματι ταῖς τȣ̃ βορέȣ πνοαῖς. Οἷον γαλήνης ȣ̓ ῥαδίως τυγχάνȣσιν ὅσοι ἐν κλύδωνι γίγνονται, ἀλλ' ȣ̓δὲ δυςυχίᾳ περιπίπτων οἶκος, εὐχερῶς ἀνανεύει.

Ib. Εὐδαίμονες, οἷσι κακῶν] ταῦθ' ὁ Χορὸς λέγει διὰ τὸ τȣ̃ Λαΐȣ γένος, ὅτι εὐδαίμονες εἰσιν οἷς ὑπῆρξεν ὁ βίος καὶ ὁ τῆς ζῶης χρόνος ἄγευςος καὶ ἀμέτοχος κακῶν· οἷς γὰρ ἂν ἀνθρώποις

Ἄγευστος αἰών.
" Οἷς γὰρ ἂν θεόθεν
" Σεισθῇ δόμος, ἄτας
" Οὐδὲν ἐλλείπει γενεᾶς
" Ἐπὶ πλῆθος ἕρπον·"
Ὅμοιον ὥσε πονλίας
Ἁλὸς οἴδμα δυσπνόοις
Θρήσσαις * ὅταν ἔρεβος ὑφαλὸν ἐπιδράμῃ πνοαῖς,
Κυλίνδει βυσσόθεν κελαινὰν
Θῖνα κὴ δυσήνεμον,
Στόνῳ βρέμουσι δ' ἀνλιπλῆγες ἀκταί.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

Ἀρχαῖα τὰ Λαβδακιδᾶν
Οἴκων ὁρῶμαι
Πήμαλα φθιμένων
Ἐπὶ πήμασι πίπλον-
τ'· οὐδ' ἀπαλλάσσει γενεὰν
Γένος, ἀλλ' ἐρείπει
Θεῶν τις, οὐδ' ἔχει λύσιν·

* Aldus, Ὅταν Θρήσσησιν.

Θεόπροις σεισθῇ καὶ ἀναλραπῇ καὶ δυσυχήσῃ ὁ δόμος θεόθεν καὶ ἀπὸ θεῦ, οὐδὲν ἄτης καὶ δυσυχίας ἐλλείπει ἕρπον καὶ φερόμενον ἐπὶ τὸ πλῆθος τῆς αὐτῶν γενεᾶς· ὅμοιον ὥσε καὶ ὥσπερ οἴδμα καὶ κῦμα πονλίας ἁλὸς, κυλίνδει καὶ ἀνακυκᾷ ἐν ςόνῳ καὶ ταραχῇ, βυσσόθεν καὶ ἀπὸ τῆ βυθῆ, θῖνα κελαινὴν, ἤγεν, τὴν ἐν τῷ βυθῷ κεκρυμμένην κόνιν τὴν δυσήνεμον καὶ τὴν δυσκόλως ὑπὸ τῶν ἀνέμων ἀναλρεπομένην, ὅταν ἐν πνοαῖς Θρήσσαις καὶ Θρακικαῖς δυσπνόοις καὶ κακῶς καὶ ἀγρίως πνεύσαις, ἐπὶ τὸ ἔρεβος καὶ τὸ βάθος τῆς ἁλὸς, δράμῃ καὶ ἐπέλθῃ τὸ κῦμα δηλονότι.

595. Ὅμοιον ὥσε πονλίας ἁλὸς] τὸ ἐξῆς, ὅμοιον ὡς ὅταν Θρήσσησι πονλίας δυσπνόοις πνοαῖς οἴδμα ἔρεβος ὑφαλὸν ἐπιδράμῃ. Ἀντὶ τῦ, ἐκ βάθους κινήσῃ τὴν θάλασσαν· τὰ γὰρ βαθέα, μέλανα ἐκάλεν· Ὅμηρος,

" Ἀνοφερὸν χέει ὕδωρ, καὶ ὁ Ποσειδᾶν, κυα-
" νοχαίτης."

599. Δυσάνεμον] τὴν ὑπὸ ἀνέμων ταραχθεῖσαν.

600. Στόνῳ] λείπει ἡ Σὺν, ἵνα ᾖ, σὺν ςόνῳ.

Ib. Ἀνλιπλῆγες] ἀνλιπλησσόμεναι.

605. Ἀπαλλάσσει] καλαβάλλει, καλαφέρει.

Ib. Γενεὰν] τὸ γένος τὸ ἐπιλιγνόμενον ἐκ ἀπαλλάσσει τὴν γενεὰν, ἀλλ' ἀεὶ ἐν συμφορᾷ ἔςι.

608. Νῦν

Νῦν γὰρ ἐσχάτας ὕπερ
Ῥίζας τέταλο φάος ἐν Οἰδίπυ δόμοις·
Κᾆτ' αὖ νιν φοινία * Θεῶν τῶν
Νερ|έρων ἀμᾷ κόνις,
Λόγυ τ' ἄνοια, κ᾽ φρενῶν Ἐριννύς.

ΣΤΡΟΦΗ Β.

Τὰν † σὰν, Ζεῦ, δύναμιν ‡ τίς ἀνδρῶν
Ὑπερβασία καλάσχοι;
Τὰν ϵθ' ὕπνος αἱ-
ρεῖ πoθ', ὁ πανλογήρως·
Ἀκάμαλοί τε θεῶν
Μῆνες· ἀγήρως § δὲ χρόνῳ δυνάσης

* Ald. φονία. † Ald. τεὰν. ‡ Ald. Turn. in marg. δύνασιν.
§ Ald. ἀγήρῳ.

608. Νῦν γὰρ ἐσχάτας ὕπερ] λείπει ἄρθρον τὸ ὅ. τὸ δὲ λεγόμενον, ἐσὶ τοιῦτο. νῦν γὰρ ὕπερ ἐτέταλο, φησὶ, καὶ σωληία ἦν τοῖς οἴκοις τῦ Οἰδίποδος, ἐσχάτης ὑπὲρ ῥίζης. ἀντὶ τῦ, ὕπερ ἔβλαςεν ἄνω τῆς ῥίζης, Θάνατος καλαλαμβάνει. νῦν γὰρ (φησὶν) ὕπερ ἦν λείψανον γενεᾶς, τῦτο μέλλει καλύπλειν ἡ κόνις. τὸ καλαλειφθὲν φησιν ἀπὸ Οἰδίποδος βλάσημα.

Ib. Νῦν γὰρ ἐσχάτας] ἐσχάτην τὴν ῥίζαν φόει Ἀλιγόνην καὶ Ἰσμήνην· λέγει δὲ φάος ἐν τοῖς δόμοις τῦ Οἰδίποδος ἀναλεῖλαι, διὰ τὸ ἀπαλλαγὴν γεγονέναι τῦ πολέμυ, καὶ τῶν πραγμάτων εἰς καλάςασιν τινα ἐλθόνλων. τὸ δὲ, φοινία Θεῶν τῶν νερλέρων ἀμᾷ κόνις, ἀντὶ τῦ, τὴν ἐσχάτην ῥίζαν θερίζει ὁ ᾅδης. εἰκότως δὲ τὸ κόνις τέθειλαι. διότι γὰρ ἐκάλυψεν Ἀντιγόνη τὸν ἀδελφὸν Πολυνείκην κόνει, διὰ τῦτο τιθνήξεσθαι ἔμελλε. δέον δ' εἰπεῖν, ἀμᾷ δὲ καὶ θερίζει νὶν καὶ αὐτὴν, ὁ δὲ ἀσυνδέτως ἐπήγαγε, συνάπλων καὶ τὸ καὶα πρὸς τὸ ἀμᾷ, ἦγεν, καλαμᾷ καὶ θερίζει καὶ καλαβάλλει νὶν καὶ αὐτὴν ἡ κόνις τῶν νερλέρων Θεῶν. πολαπή; φοινία, ἦγεν, φόνον αὐτῇ πρoξενῆσα.

610. Κᾆτ' αὖ νιν] αὐτὴν τὴν ῥίζαν· ἐὰν δὲ ςίξωμεν κᾆτ' αὖ νιν, ἐδὲν λείπει τῷ λόγῳ.

611. Ἀμᾷ κόνις] θερίζει· καὶ ἐκκόπλει, ἢ καλύπλει.

612. Λόγυ τ' ἄνοια] ἁμαρλία, ὅτι οἰςηθεῖσα ὑπὸ τῶν Ἐριννύων Ἀνλιγόνη τῦτο τέθόλμηκε.

613. Τὰν Ζεὺς δύναμιν] τῦτό φησιν ὅτι πρoαιρέσει τῦ Διὸς πάνλα γίγνεται.

614. Καλάσχοι] εὐκλικῶς, ὡς ποιήσαι τρίτυ πρoσώπυ. ὑπερηφανία κραλῆσαι δύναται.

616. Ὁ πανλογήρως] ὁ ἀσθενείας πραίτιος. τὸ γὰρ γῆρας, ἀσθενές ἐςιν. ἀσθενῆμεν δὲ τῇ γλυκυθυμίᾳ πρoσβολῇ τῦ ὕπνυ καθεχόμενοι. ἢ πανλογήρως, ὁ αἰώνιος, καὶ ἀχρι γήρως τοῖς ἀνθρώποις καὶ πᾶσι τοῖς ζώοις πραμένων.

Ib. Ὁ πανλογήρως] ἤγυν, ὁ πάνλας καλαβάλλων. τὸ γὰρ γῆρας ὥσπερ καλαβολή ἐςιν. ἢ πανλογήρως, ὁ ἀΐδιος. χρὴ δὲ γράφειν, ἀκάμαλοί τε θεῶν, ἵν' ᾖ ὅμοιον τῷ τῆς ἀνλιςροφῆς κώλῳ.

618. Ἀγήρω δὲ χρόνῳ δυνάςης] ἀντὶ τῦ, δυναςεύων καὶ ἄρχων τῦ ἀγηράυ χρόνυ καλέχεις τὸν Ὄλυμπον. ἀγήρων δὲ τὸν τῶν θεῶν χρόνον

Κατέχεις Ὀλύμπου
Μαρμαρόεσσαν αἴγλαν·
Τό,τ' ἔπειτα, καὶ τὸ μέλλον,
Καὶ τὸ πρὶν ἐπαρκέσει.
Νόμος ὅδ' οὐδὲν ἕρπει
Θνατῶν βιότῳ πάμ-
πολις ἐκτὸς ἄτας.

ΑΝΤΙΣΤΡΟΦΗ Β.

" Ἁ γὰρ δὴ πολύπλαγκτος ἐλπὶς
" Πολλοῖς μὲν ὄνησις ἀνδρῶν·
" Πολλοῖς δ' ἀπάτα
" Κουφονόων ἐρώτων."

χρόνον φησὶν, ἐπεὶ μήτε ὑπὸ δυςυχιῶν, μήτε ὑπὸ ὕπνου ἐλαττοῦται.

Ib. Ἀγήρως δὲ] τοῦτο πρὸς τὸ δυνάςας σύναπτε, ἤγουν, δεσπότης οὐχ ὑπὸ χρόνων γηράσκων.

621. Τό,τ' ἔπειτα, καὶ τὸ μέλλον] λάμβανε τὴν ἐπὶ ἀπὸ τοῦ ἐπαρκέσει ἐνταῦθα, ἤγουν, ἐπί τε τὸ ἔπειτα καὶ ἐπὶ τὸ μέλλον· ἰςέον δ' ὅτι πρὸς τὸ μέλλον τέθειται μόνον τὸ ἀρκέσει. τὸ γὰρ ἔπειτα ἔμφασιν ἐνεςῶτος ἔχει· τὸ δὲ νῦν πρὸς τὸ πρώην ἔπειτά ἐςιν. Ἢ ἐπειδὴ νῦν λέγει τὸν λόγον, ἐκ ἐδέησεν αὐτῷ ἐνεςῶτα χρόνον θεῖναι· ὅπερ εἰ εἴποις, τὸ ἔπειτα, ἀντὶ τοῦ, μέλλον νοήσεις, ἵν' ᾖ τὸ μέλλον πρὸς τὸ ἔπειτα. μέλλοντος μέλλον καὶ χρόνου παράτασις· εἰ δὲ μὴ, τὸ πρὶν διπλοῦν νόει, καὶ ἀντὶ τοῦ νῦν καὶ ἀντὶ τοῦ πάλαι. τὸ γὰρ νῦν καὶ πάλαι τοῦ ἔπειτα πρότερόν ἐςι. τὸ δὲ τοῦ ἔπειτά τε, ἀντὶ τοῦ, καὶ ὄν, πρὸς τὸ ἐπαρκέσει σύναπτε.

622. Καὶ τὸ πρὶν ἐπαρκέσει] ὅ ἐςιν, ἀεὶ δυνάμενον βοηθεῖν.

623. Νόμος ὅδ' οὐδὲν ἕρπων] ὃ κατὰ πᾶσαν πόλιν ἕρπων νόμος. ὅ ἐςι, πάντες ἄνθρωποι. Ἄλλως· οὐδεὶς (φησὶν) ἐςὶ νόμος ἐν πάσαις ταῖς πόλεσιν ὥςε φεύγειν τοὺς ἀνθρώπους τὸ συμβησόμενον. Ἢ οὕτως· οὐδείς ἐςι νόμος ὃς δύναται τῶν ἤδη τελειωθέντων κακῶν προσάγειν βοήθειαν. Ἢ οὕτως· ὁ δὲ νόμος ὁ πάντων ἀνθρώπων κοινὸς τοῦτο ἔχει, μηδένα ζῆν ἄνευ λύπης.

Ib. Νόμος ὅδ' οὐδὲν ἕρπει] τοῦθ' οὕτω νόει· ὅδε ὁ νόμος, ὃν ἐπὶ τῆς ἀρχῆς τοῦ Διὸς ἔφαμεν, οὐδὲν καὶ οὐδαμῶς ἕρπει καὶ φέρεται πάμπολις καὶ παγκόσμιος τῷ βίῳ τῶν θνητῶν, ἄτερ καὶ χωρὶς ἄτης. τοῦτ' ἔςιν, ὁ περὶ τῶν θεῶν ἔφαμεν, οὐκ ἔςι περὶ ἀνθρώπων εἰπεῖν, ἀλλ' οἱ μὲν, ἀπαθεῖς καὶ ἄφθαρτοι, οἱ δ' ἄνθρωποι θνητοὶ καὶ παθητικοί.

624, 625. Θνατῶν βιότῳ πάμπολις ἐκτὸς ἄτας] ὁ λόγος· Σὺ μὲν, ὦ Ζεῦ, ἀγήρως τε καὶ δυνάςης εἰς ἅπαντα τὸν χρόνον εἶ· ἡ δὲ τῶν ἀνθρώπων πολιτεία οὐδέποτε χωρὶς κακῶν ἐςιν.

626. Ἁ γὰρ δὴ πολύπλαγκτος] οὐδὲν (φησὶ) περὶ τῶν μελλόντων ἐπίςανται οἱ ἄνθρωποι, ὥςπερ ὁ Ζεύς· ἠπάτησε δὲ πολλοὺς ἡ ἐλπὶς, κουφόνους ἔρωτας ἐμβάλλουσα· τὰ ἀδύνατα γὰρ ἐλπίσαντες, ἐσφάλησαν. ἔρωτας δὲ λέγει καὶ τὰς ἐπιθυμίας.

Ib. Ἁ γὰρ δὴ πολύπλαγκτος] αὕτη ἡ κατασκευὴ πρὸς τὸ, Νόμος ὅδ' οὐδὲν ἕρπει, ἐςὶν, εἰ καὶ ἀσαφὴς ἐκ τοῦ φανεροῦ δοκεῖ· οὕτω γὰρ νοεῖται, ὁ νόμος ὁ εἰς τοὺς θεοὺς οὐκ ἔςιν ἐν ἀνθρώποις, ἀλλὰ δυςυχίαις ὑποπίπτουσιν· ἐλπίσι γὰρ ἀπαλώμενοι, ὡς εἰ τόδε ποιήσαιεν, καλῶς αὐτοῖς ἕξει, ποιοῦντες εἰς δυςυχίας ἐμπίπτουσιν· ὃ δὴ καὶ Ἀντιγόνη πέπονθε.

629. Κουφονόων ἐρώτων] ἀντὶ τοῦ, τῶν κούφων

Εἰδότι δ' ἐδὲν, ἕρπει,
Πρὶν πυρὶ θερμῷ πόδα τὶς προσάρῃ *.
Σοφία γὰρ ἔκ τε
Κλεινὸν ἔπος πέφανται,
" Τὸ κακὸν δοκεῖν ποθ' ἑσθλὸν
" Τῷδ' ἔμμεν' ὅτῳ φρένας
" Θεὸς ἄγει πρὸς ἄταν.
" Πράσσει δ' ὀλιγοχὸν
" Χρόνον ἐκλὸς ἄτας."

ΑΝΑΠΑΙΣΤΟΙ.

Ὅδε μὴν Αἵμων, παίδων τῶν σῶν
Νέατον γέννημ', ἆρ' ἀχνύμενος
Τάλιδος ἥκει μόρον Ἀγιγόνης,
Ἀπάτας λεχέων ὑπεραλγῶν.

ΙΑΜΒΟΙ.

ΚΡΕ. Τάχ' εἰσόμεσθα μάντεων ὑπέρτερον.
Ὦ παῖ, τελείαν ψῆφον ἆρα μὴ κλύων

* Aldus, προσφάυσῃ.

φων ἐπιθυμιῶν, ἐν αἷς πολλοὶ ἠπατήθησαν, ἕτερα προσδοκήσαντες, ἑτέρων ἀποβάντων.

630. Εἰδότι δ' ἐδὲν, ἕρπει] τῷ ἀνθρώπῳ ἐδὲν εἰδότι ἐπέρχεται.

631. Προσάρῃ] προσφέρῃ. περὶ τοῖς δεινοῖς ἐπικύρσῃ, καὶ εἰς αὐτὸν ἐμπέσῃ τὸν κίνδυνον.

632. Σοφία γὰρ ἐκ τε κλεινὸν ἔπος] μελὶ σοφίας γὰρ ὑπό τινος ἀοίδιμον καὶ κλεινὸν ἔπος πέφανται·

" Ὅταν δ' ὁ δαίμων ἀνδρὶ προσύνῃ κακὰ,
" Τὸν νοῦν ἔβλαψε πρῶτον, ᾧ βουλεύεται."

636. Θεὸς ἄγει πρὸς ἄταν] ἤγαν, οἱ Θεοὶ ὃν βούλονται δυσυχεῖν, ἄγουσι πρὸς βλάβην. τοῦτο δὲ λέγει διὰ τὴν Ἀγλιγόνην δοκοῦσαν τὸ θανεῖν ἥδιον.

641. Τάλιδος] τάλις λέγεται παρ' Αἰολεῦσιν ἡ ὀνομασθεῖσα τινὶ νύμφη. Καλλίμαχος·

" Αὐτίκα τὴν τάλιν παιδὶ σὺν ἀμφιθαλεῖ."

Ib. Ἥκει μόρον] λείπει ἡ Διὰ, διὰ τὸν μόρον.

642. Ἀπάτας λεχέων ὑπεραλγῶν] ὑπὲρ τῆς τῶν λεχέων ἀπάτης (ὅ ἐστιν ἀποδυχίας) ἀχθαμένος.

643. Τάχ' εἰσόμεσθα] ὁ λόγος παροιμιακὸς, ὁπότε μὴ σοχασμῷ χρώμεθα, ἀλλ' αὐτόπται τῶν πραιμάτων γιγνόμεθα· προγιγνώσκει μὲν γὰρ καὶ ὁ μάντις, ἀλλὰ σοχασμῷ χρῆται. τάχα ἓν ἀκριβῶς γνώσομαι ταῦτα παρὰ τῇ παιδὸς συνθανούμενος.

644. Τελείαν ψῆφον] τελείαν, τὴν ἅδε τελεσμένην. τοῦτο δέ φησιν ὡς μελαβουλευσάμενος. ἢ τὴν τέλος ἐπάγουσαν τῇ Ἀγλιγόνῃ.

647. Πάτερ,

Τῆς μελλονύμφȣ πατρὶ λυσσαίνων πάρει;
Ἤ σοι μὲν ἡμεῖς πανταχῇ δρῶντες φίλοι;
ΑΙΜ. Πάτερ, σός εἰμι· καὶ σύ μοι γνώμας ἔχων
" Χρηστὰς ἀπορθοῖς, αἷς ἔγωγ' ἐφέψομαι.
" Ἐμοὶ γὰρ ȣ̓δεὶς ἀξίως ἔσται γάμος
" Μείζων φέρεσθαι σȣ̃ καλῶς ἡγȣμένȣ."
ΚΡΕ. " Οὕτω γὰρ, ὦ παῖ, χρὴ διὰ στέρνων ἔχειν,
" Γνώμης πατρῴας πάντ' ὄπισθεν ἑστάναι."
Τȣ́τȣ γὰρ ȣ̔́νεκ' ἄνδρες εὔχονται γονὰς
Κατηκόȣς φύσαντες ἐν δόμοις ἔχειν,
Ὡς καὶ τὸν ἐχθρὸν ἀνταμύνωνται κακοῖς,
Καὶ τὸν φίλον τιμῶσιν ἐξίσȣ πατρί.
" Ὅστις δ' ἀνωφέλητα φυτεύει τέκνα,
" Τί τόνδ' ἂν εἴποις ἄλλο πλὴν αὑτῷ * πόνȣς
" Φῦσαι, πολὺν δὲ τοῖσιν ἐχθροῖσιν γέλων;"
Μὴ νύν ποτ', ὦ παῖ, τὰς φρένας ὑφ' ἡδονῆς
Γυναικὸς ȣ̔́νεκ' ἐκβάλῃς, εἰδὼς ὅτι
" Ψυχρὸν παραγκάλισμα τȣ̃το γίνεται,
" Γυνὴ κακὴ ξύνευνος ἐν δόμοις· τί γὰρ
" Γένοιτ' ἂν ἕλκος μεῖζον, ἢ φίλος κακός;"

* Turn. αὐτῷ.

647. Πάτερ, σός εἰμι] ἤγȣν, τῷ σῷ θελήματι ὑπείκω, καὶ σύ μοι τὰ βέλτιστα λαὶ λύσιτελȣ̃ντα διανοῇ.

Ib. Πάτερ, σός εἰμι] ἀπόκρισις Αἵμονονος.

648. Ἀπορθοῖς] ὀρθῶς καθηγῇ.

649. Ἐμοὶ γὰρ ȣ̓δεὶς ἀξίως] ȣ̓δείς μοι προκριθήσεται γάμος τῆς σῆς ἀρχῆς, καλῶς σȣ ἄρχοντος· πανταχȣ̃ δὲ μετὰ παρατηρήσεως.

650. Μείζων φέρεσθαι] προκρίνεσθαι.

651. Διὰ στέρνων ἔχειν] ἀντὶ τȣ̃, ἐνθυμεῖσθαι.

Ib. Οὕτω γὰρ, ὦ] δημηγορία Κρέοντος καὶ παραίνεσις πρὸς τὸν υἱόν.

652. Γνώμης πατρῴας πάντ' ὄπισθεν] τῆς πατρῴας γνώμης πάντα εἶναι δεύτερα. οἷον, χρὴ τὸν τὴν πατρῴαν πράττοντα γνώμην, περὶ τῶν ἄλλων ȣ̓δένα λόγον ἔχειν. ἀσφαλῶς δὲ προσέθηκε τὸ πάντα, μὴ ἄρα ἐκ τȣ̃ παιδὸς ὑπαντηθῇ, ὅτι πλὴν τῶν χρησίμων.

Ib. Πάντ' ὄπισθεν ἑστάναι] ἤγȣν, κατὰ πάντα τῇ τȣ̃ πατρὸς ἀκολȣθεῖν γνώμῃ· ἐπεὶ δ' ὁ ἀκολȣθῶν ὄπισθεν ἵσταται, ὄπισθεν ἑστάναι τῆς πατρῴας γνώμης εἶπεν.

658. Πλὴν αὑτῷ πόνȣς] γράφεται πέδας· ἵν' ᾖ, ἐμπόδιον, δεσμȣ̀ς, κώλυμα τȣ̃ πράττειν ἃ βȣ́λεται.

662. Ψυχρὸν παραγκάλισμα] ἀηδὲς φίλημα, στέργηθρον, κοινώνημα, παρακοίμημα, περιπλοκή.

665. Πτύσας]

Ἀλλὰ πλύσας ὡσεί τε δυσμενῆ, μέθες
Τὴν παῖδ' ἐν ἅδε τήνδε νυμφεύσειν τινί.
Ἐπεὶ γὰρ αὐτὴν εἷλον ἐμφανῶς ἐγὼ
Πόλεως ἀπισήσασαν ἐκ πάσης μόνην,
Ψευδῆ γ' ἐμαυτὸν ἐ καλαςήσω πόλει,
Ἀλλὰ κλενῶ. Πρὸς ταῦτ' ἐφυμνείτω Δία
Ξύναιμον· εἰ γὰρ δὴ τάδ' ἐγγενῆ φύσει
Ἄκοσμα, θρέψω κἄρλα τές γ' ἔξω γένες.
" Ἐν τοῖς γὰρ οἰκείοισιν ὅςις ἔς' ἀνὴρ
" Χρηςὸς, φανεῖται κἀν πόλει δίκαιος ὤν·
" Ὅςις δ' ὑπερβὰς, ἢ νόμες βιάζεται,
" Ἢ τἐπιτάσσειν τοῖς κρατοῦσιν ἐννοεῖ,
" Οὐκ ἔς' ἐπαίνε τοῦτον ἐξ ἐμοῦ τυχεῖν.
" Ἀλλ' ὃν πόλις ςήσειε, τοῦδε χρὴ κλύειν
" Καὶ σμικρὰ κἠ δίκαια, κἠ τἀναντία."
Καὶ τοῦτον ἂν τὸν ἄνδρα θαρσοίην ἐγὼ
Καλῶς μὲν ἄρχειν, εὖ δ' ἂν ἄρχεσθαι θέλειν·
Δορός τ' ἂν ἐν χειμῶνι προσταλαμένον,
Μένειν δίκαιον κἀγαθὸν παραςάτην.
" Ἀναρχίας γὰρ μεῖζον ἐκ ἔςιν κακόν.
" Αὕτη πόλεις τ' ὄλλυσιν, ἥδ' ἀναςάτες
" Οἴκες τίθησιν· ἥδε σὺν μάχῃ δορὸς
" Τροπὰς καλαῤῥήγνυσι· τῶν δ' ὀρθωμένων

665. Πτύσας] ἐν ὀδενὶ λόγῳ θέμενος, καταφρονήσας.
673. Ἐν τοῖς γὰρ οἰκείοισιν] εἰ ἔν τηροίην τὰ νόμιμα καὶ τὰ δίκαια ἐπὶ τῆς ἐμαυτοῦ πρώτως οἰκίας, τηροίην ἂν αὐτὰ καὶ ἐπὶ τῆς πόλεως.
675. Ὅςις δ' ὑπερβὰς] λείπει τὸ δίκαιον.
678. Ἀλλ' ὃν πόλις ςήσειε] καλαςήσειεν ἄρχοντα.
679. Καὶ τἀναντία] τὰ ἐναντία τῷ δικαίῳ δηλονότι.
680. Καὶ τοῦτον ἂν] τοῦτον τὸν τῷ βασιλεῖ πειθόμενον.
682. Ἐν χειμῶνι] τῆς μάχης δηλονότι.
684. Ἀναρχίας] ἀντὶ τοῦ, ἀπειθίας.
687. Τροπὰς καλαῤῥήγνυσιν] ἐκ γὰρ διαῤῥήξεως γραῖα τροπὴ γίνεται.
Ib. Τῶν δ' ὀρθωμένων] τῶν ἀρχομένων.

688. Σώζει-

"Σώζει τὰ πολλὰ σώμαθ' ἡ πειθαρχία."
Οὕτως ἀμυντέ' ἐςὶ τοῖς κοσμουμένοις,
Κοὔτοις γυναικὸς οὐδαμῶς ἡσσητέα.
Κρεῖσσον γὰρ, εἴπερ δεῖ, πρὸς ἀνδρὸς ἐκπεσεῖν·
Κοὐκ ἂν γυναικῶν ἥσσονες καλοίμεθ' ἄν.
ΧΟΡ. Ἡμῖν μὲν, εἰ μὴ τῷ χρόνῳ κεκλέμμεθα,
Λέγειν φρονούντως ὧν λέγεις δοκεῖς πέρι.
ΑΙΜ. "Πάτερ, θεοὶ φύουσιν ἀνθρώποις φρένας·
"Πάντων ὅσ' ἐςὶ χρημάτων ὑπέρτατον."
Ἐγὼ δ' ὅπως σὺ μὴ λέγεις ὀρθῶς τάδε,
Οὔτ' ἂν δυναίμην, μήτ' ἐπιςαίμην λέγειν.
Γένοιτο μέν τ' ἂν χ' ἁτέρῳ, καλῶς ἔχον·
Σοὶ * δ' οὖν πέφυκα † πάντα προσκοπεῖν, ὅσα
Λέγει τις ἢ πράσσει τις, ἢ ψέγειν ἔχει.
(Τὸ γὰρ σὸν ὄμμα δεινὸν ἀνδρὶ δημότῃ)
Λόγοις τοιούτοις, οἷς σὺ μὴ τέρψῃ κλύων·
Ἐμοὶ δ' ἀκούειν ἔσθ' ὑπὸ σκότου τάδε,
Τὴν παῖδα ταύτην οἷ' ὀδύρεται πόλις,
Πασῶν γυναικῶν ὡς ἀναξιωτάτη
Κάκις' ἀπ' ἔργων εὐκλεεςάτων φθίνει.

* Ald. σοὶ. Turn. in marg. σὺ. † Turn. in marg πέφυκας.

688. Σώζει τὰ πολλὰ σώμαθ'] Ὅμηρος·
"Αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι ἠὲ πέ-
"φανται."

690. Τοῖς κοσμουμένοις] τοῖς ἄρχουσιν. Ὅμηρος.
"Δῦω κοσμήτορε λαῶν."

693. Εἰ μὴ τῷ χρόνῳ κεκλέμμεθα] εἰ μὴ τῆς φρονήσεως ὑπὸ τοῦ γήρως σεσυλήμεθα, λέγειν φρονούντως δοκεῖς περὶ ὧν λέγεις· ὁ δὲ λόγος πάνυ πρεσβυτικῶς καὶ αἰδημόνως εἴρηται.

695. Πάτερ, θεοὶ φύουσιν] τοῦτο λέγει διότι προϊὼν μέλλει εἰπεῖν ὡς ἄνομον ἡγεῖται ἡ πόλις τὸ σὸν κατὰ τῆς παιδὸς θέσπισμα, ὡσανεὶ λέγων ὡς ἐπειδὴ τὸ φρονεῖν θεόθεν ἀνθρώποις, λόγον ἂν ἔχοι καὶ τὴν πόλιν καλῶς λέγειν.

697. Ἐγὼ δ' ὅπως σὺ μὴ λέγεις] ἐγὼ δ' οὐ δύναμαι ταῦτα ἀποδέξασθαι, ἐπειδὴ μὴ καλῶς ταῦτα λέγεις.

699. Γένοιτο μέν τ' ἂν] δυνατόν σε καὶ ἑτέρως μεταβουλεύσασθαι.

700. Σοὶ δ' οὖν πέφυκα] γράφεται, σὺ δ' οὖν πέφυκας.

702. Τὸ γὰρ σὸν ὄμμα] τὸ σὸν ὄμμα (φησὶ) τοιοῦτόν ἐςιν, ὥςε μηδένα τῶν πολιτῶν ἀντικρύ σου λέγειν τοιαῦτα οἷς σὺ μὴ τέρψῃ. ἐμοὶ δὲ πάρεςιν ἀκούειν τῶν λάθρα κατὰ σοῦ λεγομένων.

703. Λόγοις τοιούτοις] λείπει τὸ χρῆσθαι.

708. Ἥτις

Ἥτις τὸν αὑτῆς αὐτάδελφον ἐν φοναῖς
Πεπτῶτ' ἄθαπτον, μήθ' ὑπ' ὠμηστῶν κυνῶν
Εἴασ' ὀλέσθαι, μήθ' ὑπ' οἰωνῶν τινός.
Οὐκ ἥδε χρυσῆς ἀξία τιμῆς λαχεῖν;
Τοιάδ' ἐρεμνὴ σῖγ' ἐπέρχεται φάτις.
Ἐμοὶ δὲ, σοῦ πράσσοντος εὐτυχῶς, πάτερ,
Οὐκ ἔστιν οὐδὲν κτῆμα τιμιώτερον.
"Τί γὰρ πατρὸς θάλλοντος, εὐκλείας τέκνοις
"Ἄγαλμα μεῖζον, ἢ τί πρὸς παίδων πατρί;"
Μὴ νῦν ἓν ἦθος μοῦνον ἐν σαυτῷ φόρει,
Ὡς φῂς σὺ, κοὐδὲν ἄλλο, τοῦτ' ὀρθῶς ἔχειν.
"Ὅστις γὰρ αὐτὸς ἢ φρονεῖν μόνος δοκεῖ,
"Ἢ γλῶσσαν ἢν οὐκ ἄλλος ἢ ψυχὴν ἔχειν.
"Οὗτοι διαπτυχθέντες, ὤφθησαν κενοί.
"Ἀλλ' ἄνδρα κἤν τις ᾖ σοφὸς, τὸ μανθάνειν
"Πόλλ' αἰσχρὸν οὐδὲν, καὶ τὸ μὴ τείνειν ἄγαν."
Ὁρᾷς παραῤῥείθροισι * χειμάῤῥοις ὅσα
Δένδρων ὑπείκει, κλῶνας ὡς ἐκσώζεται,
Τάδ' ἀντιτείνοντ', αὐτόπρεμν' ἀπόλλυται;
Αὕτως δὲ, ναὸς ὅστις ἐγκρατὴς †, πόδα
Τείνας ὑπείκει μηδὲν, ὑπτίοις κάτω
Στρέψας τολοιπὸν σέλμασιν, ναυτίλλεται.

* Turn. in marg. παρὰ ῥείθροισι. † Turn. in marg. ἐγκρατῆ.

708. Ἥτις τὸν αὑτῆς αὐτάδελφον] διὰ τούτων ὑπεραπολογεῖται τῆς κόρης, ὑπερευπρεπῶς τῇ πόλει περιθεὶς τὸν λόγον.

716. Ἢ τί πρὸς παίδων πατρὶ] ἤγουν, οὐδ' ὁ πατὴρ μείζονα ἄλλην χάριν παρὰ τῶν παίδων δέχεται, ἢ εὐτυχοῦντας τούτους ὁρᾷν. σύναπτε δὲ πρὸς τὸ εὐκλείας τὸ ἄγαλμα· ἵν' ᾖ εὐκλείας ἄγαλμα, ἤτοις εὔκλεια.

721. Διαπτυχθέντες] ἀνακαλυφθέντες· μετέβη δὲ ἀπὸ ἑνικοῦ ἀριθμοῦ, τοῦ ὅστις, εἰς πληθυντικὸν, τὸ οὗτοι.

723. Καὶ τὸ μὴ τείνειν ἄγαν] μὴ αὐθάδη εἶναι, ἀντιτείνοντα τοῖς συμβουλεύουσι· τοῦτο δὲ παρὰ Σόλωνος·

"Γηράσκω δ' αἰεὶ πολλὰ διδασκόμενος."

726. Αὐτόπρεμνα] αὐτόῤῥιζα.

728. Ὑπείκει μηδὲν] ἤγουν, ὑποχαλᾷ, ἐνδίδωσι τῇ φορᾷ τοῦ πνεύματος. τὸ δ' ὑπτίοις λέγει, ἐπειδὴ οἱ τὰς κώπας ἐλαύνοντες, πρηνεῖς νεύοντες ἐλαύνουσιν, ἀνατραπείσης οὖν τῆς νεὼς, ἐξαίφνης ὕπτιοι γίνονται.

Ἀλλ' εἶκε, θυμῷ * κ' μεθάσασιν δίδου.
" Γνώμη γὰρ εἴτις κἀπ' ἐμοῦ νεωτέρου
" Πρόσεστι, φήμ' ἔγωγε πρεσβεύειν πολὺ
" Φύναι τὸν ἄνδρα πάντ' ἐπιστήμης πλέω·
" Εἰ δ' ἦν, (φιλεῖ γὰρ τοῦτο μὴ ταύτη ῥέπειν)
" Καὶ τῶν λεγόντων εὖ, καλὸν τὸ μανθάνειν."
ΧΟΡ. Ἄναξ, σέ τ' εἰκὸς, εἴ τι καίριον λέγει,
Μαθεῖν, σέ τ' αὖ τόδ'· εὖ γὰρ εἰρῆσθαι δοκεῖ.
ΚΡΕ. Οἱ τηλικοίδε κ' διδαξόμεσθα δὴ
Φρονεῖν πρὸς ἀνδρὸς τηλικοῦδε τὴν φύσιν;
ΑΙΜ. Μηδὲν τὸ μὴ δίκαιον· εἰ δ' ἐγὼ νέος,
Οὐ τὸν χρόνον χρὴ μᾶλλον ἢ τἄργα σκοπεῖν.
ΚΡΕ. Ἔργον γάρ ἐσι τὸς ἀκοσμοῦντας σέβειν;
ΑΙΜ. Οὐδ' ἂν κελεύσαιμ' εὐσεβεῖν εἰς τὸς κακούς.
ΚΡΕ. Οὐχ ἥδε μὲν γὰρ † τῆδ' ἐπείληπται ‡ νόσῳ;
ΑΙΜ. Οὔ φησι Θήβης τῆσδ' ὁμόπολις λεώς.
ΚΡΕ. Πόλις γὰρ ἡμῖν, ἃ 'ν με χρὴ τάσσειν, ἐρεῖ:
ΑΙΜ. Ὁρᾷς τόδ' ὡς εἴρηκας ὡς ἄγαν νέος;

* Turn. in marg. Θυμῷ. † Ald. Οὐχ ἥδε γὰρ.
‡ Ald. τοιῷδ' ἐπείληπται.

732. Πρεσβεύειν] ὑπερέχειν. ἐγὼ (φησὶ) τοῦτο οἶμαι ὑπερέχειν τὸ τὸν ἄνθρωπον φῦναι πάντα ἐπισάμενον. Ἡσίοδος·

" Οὗτος μὲν πανάριστος ὃς αὐτῷ πάντα
" νοήσει."

Ib. Πρεσβεύειν πολὺ] τοῦτο ἀπὸ τῆ Ἡσιόδε παρῳδῆσαι, λέγοντος·

" Οὗτος μὲν πανάριστος ὃς αὐτῷ πάντα
" νοήσει."

καὶ τὰ ἑξῆς.

734. Εἰ δ' ἦν· (φιλεῖ γὰρ τοῦτο μὴ ταύτη ῥέπειν)] εἰ δέ τις ἀνόητος εὑρεθῇ.

735. Καὶ τῶν λεγόντων εὖ] μὴ λάθῃς εἰς τὸ λεγόντων, ἔξωθεν τὸ ἀπὸ, ἀλλὰ πρὸς τὸ μανθάνειν ἐστὶν ἡ γενικὴ· ὥσπερ γάρ φαμεν, ἥδε τῶν καλῶν μάθησις, ἅτω καὶ τοῦτο· ὁ γὰρ λέγων τι χρησὸν, ὅτος τὸ μανθάνειν οἷον γεννᾷ, καὶ αἴτιος τοῖς ἄλλοις τότε καθίσαται.

740. Μηδὲν τὸ μὴ δίκαιον] μηδὲν διδάσκε ὃ μὴ δίκαιόν ἐσι σοι μανθάνειν. ἢ, μηδὲν ἔσω ὃ μὴ δίκαιον.

742. Τὸς ἀκοσμοῦντας] ἀπειθοῦντας, καὶ ἄκοσμα διαπραττομένους.

745. Οὔ φησι Θήβης τῆσδε] ὐκ ἐγὼ ταῦτα λέγω, ἀλλὰ πάντες οἱ τὴν πόλιν οἰκοῦντες. χαριέντως δὲ τὴν δίαιταν προσάπτει τῇ πόλει, τῶν μὴ δοκεῖν βούλεσθαι ἀναιρεῖν τὰ τῷ παιδὶ βεβουλευμένα.

746. Πόλις γὰρ ἡμῖν ἃ 'ν με χρὴ] ἃ ἄν με χρὴ προσάσσειν τῇ πόλει, ἐκείνη μοι ἔχει κελεύειν;

747. Ὁρᾷς τόδ' ὡς εἴρηκας] τὸ χ, ὅτι αὐξηθῶς προσηνέχθη τῷ παιδί.

749. Ἀνδρὸς

ΚΡΕ. Ἄλλῳ γὰρ ἢ ἐμοι χρή γε τῆσδ' ἄρχειν χθονός;
ΑΙΜ. Πόλις γὰρ οὐκ ἔσθ' ἥτις ἀνδρός ἐσθ' ἑνός.
ΚΡΕ. Οὐ τοῦ κρατοῦντος ἡ πόλις νομίζεται;
ΑΙΜ. Καλῶς· ἐρήμης γ' ἂν σὺ γῆς ἄρχοις μόνος.
ΚΡΕ. Ὅδ', ὡς ἔοικε, τῇ γυναικὶ ξυμμαχεῖ.
ΑΙΜ. Εἴπερ γυνὴ σύ· σοῦ γὰρ οὖν προκήδομαι.
ΚΡΕ. Ὦ παγκάκιστε, διὰ δίκης ἰὼν πατρί.
ΑΙΜ. Οὐ γὰρ δίκαιά σ' ἐκαμαρτάνονθ' ὁρῶ.
ΚΡΕ. Ἁμαρτάνω γὰρ τὰς ἐμὰς ἀρχὰς σέβων;
ΑΙΜ. Οὐ γὰρ σέβεις, τιμάς γε τὰς θεῶν πατῶν.
ΚΡΕ. Ὦ μιαρὸν ἦθος, καὶ γυναικὸς ὕστερον.
ΑΙΜ. Οὐκ ἄν γ' ἕλοις ἥσσω γε τῶν αἰσχρῶν ἐμέ.
ΚΡΕ. Ὁ γοῦν λόγος σοὶ πᾶς ὑπὲρ κείνης ὅδε;
ΑΙΜ. Καὶ σοῦ τε κἀμοῦ, καὶ θεῶν τῶν νερτέρων.
ΚΡΕ. Ταύτην πότ' οὐκ ἔσθ' ὡς ἔτι ζῶσαν γαμεῖς.
ΑΙΜ. Ἥδ' οὖν θανεῖται, καὶ θανοῦσ' ὀλεῖ τινα.
ΚΡΕ. Ἦ κἀπαπειλῶν ὧδ' ἐπεξέρχῃ θρασύς;
ΑΙΜ. Τίς δ' ἔς' ἀπειλὴ πρὸς κενὰς γνώμας λέγειν;
ΚΡΕ. Κλαίων φρενώσεις, ὢν φρενῶν αὐτὸς κενός.
ΑΙΜ. Εἰ μὴ πατὴρ ἦσθ', εἶπον ἄν σ' οὐκ εὖ φρονεῖν.
ΚΡΕ. Γυναικὸς ὢν δούλευμα, μὴ κώτιλλέ με.

749. Ἀνδρὸς ἔσθ' ἑνὸς] δεῖ γὰρ τὴν τῶν πολλῶν γνώμην πράττειν τὸν ἄρχοντα, καὶ τοὺς πολλοὺς τὴν αὐτοῦ.

753. Εἴπερ γυνὴ σὺ] λείπει τυγχάνεις. πάλιν δὲ τὸ χ, διὰ τὸ αὐστηρόν.

754. Διὰ δίκης ἰὼν] δικασάμενος, δικαιολογούμενος, παῤῥησιαζόμενος.

757. Θεῶν πατῶν] ἤγουν, παραβαίνων. δεῖ γὰρ τὴν ἀρχὴν ἔννομον εἶναι, καὶ μὴ κατὰ θεῶν φέρεσθαι.

758. Καὶ γυναικὸς ὕστερον] ἀντὶ τοῦ, ἡττηθὲν ὑπὸ γυναικός.

760. Ὁ γοῦν λόγος σοὶ] ἰστέον ὅτι τὸ γοῦν ἐνταῦθα δύναμιν ἔχει τοῦ γάρ. καὶ εὕροις ἂν πανταχῇ τῶν λογοποιῶν. εὕρηται δὲ καὶ τὸ γὲ μόνον, ἀντὶ τοῦ, γάρ, ὡς ἔχει καὶ τὸ παρὰ Λιβανίῳ·

"Τοῖς μέν γε κάλλος οὐκ ἔπεστιν."

764. Ἐπεξέρχῃ θρασὺς] εἰπόντος τοῦ Αἵμονος δι' ἑαυτὸν, καὶ θανοῦσα ὀλεῖ τινὰ, Κρέων δι' ἑαυτὸν τοῦτ' ἐνόησε. δέον δ' εἰπεῖν θρασέως, θρασὺς εἶπε πρὸς τὸ ἐξέρχῃ.

765. Τίς δ' ἔς' ἀπειλὴ] ποίαν ὠφέλειαν ἔχει ἀπειλὴ πρὸς μωρὸν ἄνθρωπον λεγομένη;

768. Μὴ κώτιλλέ με] ἤγουν, μὴ ἀπάτα με, ὦ ἀνδράποδον, λέγων ὑπὲρ αὐτῆς ἐμοὶ δυσχεραίνειν τὴν πόλιν.

ΑΙΜ. Βȣ́λει λέγειν τι, καὶ λέγων μηδὲν κλύειν;
ΚΡΕ. Ἀληθές· ἀλλ' ȣ̓, τόνδ' Ὄλυμπον, ἴσθ' ὅτι
Χαίρων ἐπὶ ψόγοισι δεννάσεις ἐμέ.
Ἄγετε τὸ μῖσος, ὡς κατ' ὄμματ' αὐτίκα
Παρόντι θνήσκῃ πλησία τῷ νυμφίῳ.
ΑΙΜ. Οὐ δῆτ' ἔμοιγε· τȣ̃το μὴ δόξῃς ποτέ.
Οὔθ' ἥδ' ὀλεῖται πλησία, σύ τ' ȣ̓δαμᾶ
Τȣ̓μὸν προσόψει κρᾶτ' ἐν ὀφθαλμοῖς ὁρῶν.
Ὡς τοῖς θέλȣσι τῶν φίλων μαίνῃ ξυνών.
ΧΟΡ. Ἀνὴρ, ἄναξ, βέβηκεν ἐξ ὀργῆς ταχύς·
Νȣ̃ς δ' ἐςὶ τηλικȣ̃τος ἀλγήσας, βαρύς.
ΚΡΕ. Δράτω· φρονείτω μεῖζον, ἢ κατ' ἄνδρ' ἰών.
Τάδ' ȣ̃ν κόρα ταδ' ȣ̓κ ἀπαλλάξει μόρȣ *.
ΧΟΡ. Ἄμφω γὰρ αὐτὰ καὶ κατακτεῖναι νοεῖς;
ΚΡΕ. Οὐ τήν γε μὴ θιγȣ̃σαν· εὖ γὰρ ȣ̃ν λέγεις.
ΧΟΡ. Μόρῳ δὲ ποίῳ καί σφε βȣλεύῃ κτανεῖν;
ΚΡΕ. Ἄγων ἔρημος ἔνθ' ἂν ᾖ βροτῶν ςίβος,

* Turn. in marg. μόρων.

772. Ὡς κατ' ὄμματ' αὐτίκα] τὸ κατ' ὄμματα καὶ τὸ πλησία ἐκ παραλλήλȣ.

777. Ὡς τοῖς θέλȣσι τῶν φίλων μένῃς ξυνὼν] γράφεται καὶ μαίνῃ. Ὡς μαίνῃ (φησὶ) παρὰ τοῖς φίλοις τοῖς θέλȣσιν ὑπομεῖναι τὴν σὴν μανίαν.

Ib. Μαίνῃ ξυνὼν] ȣ̓́τω τὸ μαίνῃ συντάσσων λέγε, ὡς καὶ ἵνα μαίνῃ καὶ ὀργίζῃ τοῖς θέλȣσι τῶν φίλων. ἐγὼ δὲ ȣ̓χὶ θυμȣμένῳ πείσομαι.

779. Νȣ̃ς δ' ἐςὶ τηλικȣ̃τος] ἤτοι ὁ τῶν νέων, ἢ ὁ φρόνιμος. ὁ δὲ νȣ̃ς ὁ τηλικȣ̃τος, (φησὶ) βαρύτατός ἐςιν ἀλγήσας.

Ib. Ἀλγήσας, βαρὺς] τὸ ἐςὶ πρὸς τὸ βαρῶς συναπτέον, ȣ̓́τως· ὁ τηλικȣ̃τος δὲ καὶ ὁ νέος νȣ̃ς, ὁποῖος τȣ̃ Αἵμονος, ἀλγήσας καὶ λυπηθεὶς βαρύς ἐςιν.

782. Ἄμφω γὰρ αὐτὰ] τὰς κόρας. δυϊκὸν γάρ ἐςι.

784. Μόρῳ δὲ ποίῳ καί σφε] ἀντὶ τȣ̃, αὐτήν.

785. Ἄγων ἔρημος] Ἔθος ἦν παλαιὸν, βȣλομένȣς καθειργνύναι τινὰ, ἀφοσιȣ̃σθαι καὶ βραχὺ τιθέναι τροφῆς. καὶ γὰρ ὑπενόȣν καθάρσιον τὸ τοιȣ̃τον εἶναι. τȣ̃το δ' ἐποίȣν ἵνα μὴ δοκῶσι λιμῷ ἀναιρεῖν. τȣ̃το γὰρ ἀσεβές. σύντασσε δ' ȣ̓́τω, κρύψω αὐτὴν ζῶσαν ἐν καλώρυχι καὶ ὀρύγματι πετρώδει. ἤγȣν, πέτραν ὀρύξας ταύτην κατακρύψω, ἄγων καὶ φέρων ἔνθα ἂν ᾖ καὶ ὑπάρχῃ ὁδὸς ἔρημος βροτῶν, ἤγȣν, ἔνθα ȣ̓ διατρίβȣσιν ἄνθρωποι· προθεὶς καὶ ἔμπροσθεν αὐτῆς θεὶς τοσȣ̃τον μόνον τροφῆς, ὡς καὶ καθὰ ἄγος καὶ μίασμα, ἤγȣν, ὡς μισητῇ ἡμερινὴν αὐτῇ τροφὴν δȣ̀ς, ὅπως καὶ ἵν' ἐκφύγῃ ἡ πόλις πως καὶ κατὰ τινὰ τρόπον τὸ μίασμα καὶ τὴν ἁμαρτίαν καὶ παρὰ πάντων μέμψιν, ὡς λιμοκτονήσασα αὐτὴν ἀπώλεσε.

787. Φορβῆς

Κρύψω πέλοδει ζῶσαν ἐν καλώρυχι,
Φορβῆς τοσοῦτον ὡς ἄγος μόνον προθεὶς,
Ὅπως μίασμα πᾶσ' ὑπεκφύγοι πόλις.
Κἀκεῖ τὸν Ἅιδην, ὃν μόνον σέβει θεῶν,
Αἰτουμένη πᾶ, τεύξεται, τὸ μὴ θανεῖν· 790
Ἢ γνώσεται γῆν ἀλλὰ τηνικαῦθ', ὅτι
Πόνος περισσὸς ἐστι τἀν ἅιδᾳ σέβειν.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ.

ΧΟΡ. Ἔρως, ἀνίκαλε μάχαν,
Ἔρως, ὃς ἐν κλήμασι πίπλεις,
Ὃς ἐν μαλακαῖς παρειαῖς 795
Νεάνιδος ἐννυχεύεις·
Φοιλᾶς δ' ὑπερπόντιος, ἔν
Τ' ἀγρονόμοις αὐλαῖς·
Καί σ' οὔτ' ἀθανάτων
Φύξιμος ἐδείς, 800
Οὔθ' ἁμερίων ἐπ' ἀν-
θρώπων· ὁ δ' ἔχων, μέμηνεν.

787. Φορβῆς τοσοῦτον] ἔθος παλαιὸν, ὥστε τὸν βεβλόμενον καθειρχθῆναί τινὰ, ἀφοσιώσθαι βραχὺ τιθέντα τροφῆς· καὶ ὑπενόουν κάθαρσιν τὸ τοιοῦτο, ἵνα μὴ δοκῶσι λιμῷ ἀναιρεῖν· τοῦτο γὰρ ἀσεβές.

789. Ὃν μόνον σέβει θεῶν] διὰ τὸ προκρίναι τῆς ἰδίας σωτηρίας τὴν περὶ τὸν κατοιχόμενον δίκην.

790. Τὸ μὴ θανεῖν] τοῦτο περὶς τὸ αἰτουμένη συναπτέον, καὶ ἐ περὶς τὸ τεύξεται, ὅτως, κἀκεῖ τὸν ᾅδην ὃν μόνον σέβει θεῶν, αἰτουμένη καὶ ζητοῦσα τὸ μὴ θανεῖν, ἴσως τεύξεται τούτου.

791, 792. Ὅτι πόνος περισσός ἐστι] πλῆρες ὀργῆς καὶ ἀβελίας ὁ λόγος, ὅτι καὶ εἰς θεὸς θρασύνεται.

793. Ἔρως, ἀνίκαλε μάχαν] λείπει ἡ Καλά. διὰ τὸν Αἵμονα τῷ ἔρωτος μέμνηται. πάλαι γὰρ ὠμονόει τῷ παῖδι, νῦν δὲ σχεδὸν πολέμιος γέγονε διὰ τὴν Ἀνιγόνην. Τὸ δὲ ἐρᾶν πλησίον, ἔχει καὶ ἡ παροιμία, Ἐν πλησμονῇ τοι κύπρις, ἐν πεινῶσι δ' ἡ.

794. Ὃς ἐν κλήμασι πίπλεις] ἐπεὶ καὶ κλήματα ἐρῶσι πολλοί.

796. Ἐννυχεύεις] διαληΐζεις.

797. Φοιλᾶς δ' ὑπερπόντιος] διότι καὶ τὰ θαλάσσια ζῶα ἐρᾷ. ἢ ὅτι καὶ τὰ πόρρω θηρεύει ὁ ἔρως, καὶ διὰ θαλάσσης ἄπεισι καὶ πανταχῆ, ὥστε τῇ ἔρωτος ἐπιλυχεῖν. ἢ ὅτι πολλοὶ τῶν ἐν πόντῳ ἐρῶσιν.

798. Ἀγρονόμοις αὐλαῖς] ταῖς ἐπαύλεσιν.

802. Ὁ δ' ἔχων] τὸν ἔρωτα δηλονότι.

Ib. Ὁ δ' ἔχων, μέμηνεν] ἤγουν, τῇ καθεζηκότος ἐξίσταται, καὶ καλέχειν ἑαυτὸν ἐ δύναται.

ΑΝΤΙΣΤΡΟΦΗ.

Σὺ καὶ δικαίων ἀδίκους
Φρένας παρασπᾷς ἐπὶ λώβᾳ·
Σὺ καὶ τόδε νεῖκος ἀνδρῶν
Ξύναιμον ἔχεις ταράξας·
Νικᾷ δ' ἐναργὴς βλεφάρων
Ἵμερος εὐλέκτρου
Νύμφας, τῶν μεγάλων
Πάρεδρος ἐν ἀρχαῖς
Θεσμῶν· ἄμαχος γὰρ ἐμ-
παίζει θεὸς Ἀφροδίτα.

ΑΝΑΠΑΙΣΤΟΙ.

Νῦν δ' ἤδη 'γὼ κἀυτὸς θεσμῶν
Ἔξω φέρομαι τάδ' ὁρῶν, ἴσχειν
Δ' ὐκέτι πηγὰς δύναμαι δακρύων,
Τὸν παγκοίταν ὅθ' ὁρῶ θάλαμον

803. Σὺ καὶ δικαίων ἀδίκους] σὺ καὶ δικαίους διαφθείρις, ὥστε τὰς φρένας αὐτῶν ἀδίκους γίγνεσθαι, ὡς Ἡρακλῆς ἐνεχόμενος τῷ ἔρωτι τῆς Ἰόλης, τὰ ἐν Οἰχαλίᾳ ἔπραξεν, ἀφορμὴν τοῦ πολέμου μὴ ἔχων ἢ τὸν ἔρωτα μόνον.

Ib. Σὺ καὶ δικαίων] οἱ γὰρ σώφρονες καὶ δίκαιοι, οἱ μὲν ὑπὸ κάλλους γυναικῶν, οἱ δὲ ὑπὸ κτημάτων ἐπιθυμίας τὴν ἑαυτῶν φύσιν ἠρνήσαντο.

806. Ξύναιμον ἔχεις] ξυγγενές. ὅτι υἱοῦ πρὸς πατέρα γέγονε μάχη καὶ διαφορά.

807. Νικᾷ δ' ἐναργὴς βλεφάρων] ὅτι ὁρῶν τὴν παῖδα ὁ Αἵμων σπουδάζουσαν καὶ πάντα πράττουσαν ὑπὲρ τοῦ ἀδελφοῦ, ἥττων αὐτῆς γέγονε. νικᾷ οὖν, φησὶν, ὁ ἔρως τῆς νύμφης, ὅς ἐστι πάρεδρος τῶν μεγάλων θεσμῶν ἐν ἀρχαῖς. τοῦτο δὲ εἶπεν ὅτι θαυμαστή τις ἐστὶν ἡ τοῦ ἱμέρου ἀρχὴ, καὶ ὥσπερ νομισθεῖσα ἄνωθεν. διὸ καὶ πάρεδρον αὐτὴν φησι τῶν θεσμῶν.

810. Πάρεδρος ἐν ἀρχαῖς] τινὲς πάρεδρος Δωρικῶς ἀναγινώσκουσι κατ' ἔλλειψιν τοῦ υ, ἵν' ᾖ, παρέδρους. λέγει δὲ τὸν Κρέοντα· νικᾷ δὲ ὁ φανερὸς ἵμερος τῶν βλεφάρων τῆς εὐλέκτρου νύμφης τὸν Κρέοντα, τὸν ἐν ταῖς ἀρχαῖς τῶν μεγάλων θεσμῶν.

Ib. Πάρεδρος] πάρεδρον λέγει τὸν ἔρωτα τῶν μεγάλων ἐν ἀρχαῖς νόμων, ὡς κατακρατοῦντα ἀνθρώπων, καθάπερ καὶ τὰ μεγάλα παρὰ τῶν θεῶν νόμιμα.

811. Ἄμαχος] πρὸς τὸ νικᾷ ἐστὶν ἡ κατασκευὴ, οὕτως· ἡ ἄμαχος γὰρ θεὸς Ἀφροδίτη ἐμπαίζει. Τοῦτ' ἔστιν, ἡ τοῦ γάμου τῆς Ἀντιγόνης ἐγγύησις οὕτω διακεῖσθαι παρασκευάζει τὸν Αἵμονα.

813, 814. Νῦν δ' ἤδη 'γὼ κἀυτὸς θεσμῶν ἔξω φέρομαι] οἷον, δυνάμει παρακούομεν τοῦ ἄρχοντος, δακρύοντες τὴν Ἀντιγόνην ἣν αὐτὸς κατεδίκασε.

816. Παγκοίταν] εἰ μὲν τὸ παγκοίταν τὸν ᾅδην νοήσεις, ἀντὶ τοῦ, πάγκοινον εἴποις· εἰ δὲ τὸν τάφον τῆς Ἀντιγόνης, ἀντὶ τοῦ, εἰς ὃν ἀεὶ κοιτασθήσεται.

817. Τήνδ'

Τήνδ' Ἀντιγόνην ἀνύτεσαν.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΑΝΤ. Ὁρᾶτέ μ', ὦ γᾶς πατρίας πολῖται,
Τὰν νεάταν ὁδὸν
Στείχουσαν, νέαλον δὲ φέγγος
Λεύσσουσαν ἀελίῳ,
Κἄπ' αὖθις· ἀλλά μ' ὁ παγκοίτας
Ἀΐδας ζῶσαν ἄγει
Τὰν Ἀχέροντος
Ἀκλάν, ἄθ' ὑμεναίων
Ἔγκληρον, ἔτ' ἐπινυμφίδιός
Πω μέ τις ὕμνος ὕμνησεν,
Ἀλλ' Ἀχέροντι νυμφεύσω.

ΑΝΑΠΑΙΣΤΟΙ.

ΧΟΡ. Οὐκῦν κλεινὴ καὶ ἔπαινον ἔχε-
σ' ἐς τόδ' ἀπέρχῃ κεῦθος νεκύων.
Οὔτε φθινάσι πληγεῖσα νόσοις,
Οὔτε ξιφέων ἐπίχειρα λαχοῦ-
σ'· ἀλλ' αὐτόνομος ζῶσα μόνη δὴ
Θναλῶν αἴδαν καλαβήσῃ.

817. Τήνδ' Ἀντιγόνην ἀνύτεσαν] ἀνοίγεσαν. ἢ τρέχουσαν. καὶ πορευομένην.

818. Γᾶς πατρίας] πατρίας γράφε, μὴ πατρῴας, ὦ γὰρ ἁρμόζει τῷ μέλει ὕτως.

820. Ἔγκληρον] μέτοχον.

Ib. Ἐπινυμφίδιός] ὁ περίπων εἰς τὰς νυμφίους ἄδεσθαι.

829. Κλεινὴ] ἐπεὶ ἀδίκως καὶ παρὰ καιρὸν θνήσκεις.

830. Κεῦθος] ὄρυγμα, ἔνθα κρυβεῖσα εἰς ᾅδην ἀφίξῃ. ξένην λέγει τὴν Νιόβην, ἢ ἀντὶ τοῦ φίλην, ὡς δυσλύτου τῷ Ταντάλῳ. ἢ διὰ τὸ μὴ Ἑλληνίδα εἶναι. βάρβαροι γὰρ οἱ Φρύγες. ἢ διὰ τὸ δυσιχῆ εἶναι καθάπερ αὐτή, φίλην ἑαυτῆς λέγει.

832. Οὔτε ξιφέων ἐπίχειρα] ὁ διὰ ξιφῶν τὸν μισθὸν τοῦ πλημμελήματος λαχοῦσα καὶ τὴν τιμωρίαν, ἀλλὰ μεῖ' ἐλευθερίας τεθνήξῃ, ἰδίῳ καὶ καινῷ νόμῳ περὶ τὸ τέλος χρησαμένη. οἷον, ὅτε νοσήσασα, ὅτε ἀναιρεθεῖσα ἐξελεύσει τοῦ βίου.

834. Θναλῶν αἴδαν] ἤτοι πρὸς τὸν τόπον τοῦ θανάτου· ἢ πρὸς τὴν προαίρεσιν τοῦ ἐπιχειρήματος· ἢ ἀντὶ τοῦ, ἰδίοις αὐτῆς νόμοις χρησαμένη.

835. Ἤκουσε

ΑΝΤΙΣΤΡΟΦΗ Α.

ΑΝΤ. Ἤκουσα δὴ λυγρόλατον ὀλέσθαι
Τὰν Φρυγίαν ξέναν
Ταντάλᾳ, Σιπύλῳ πρὸς ἄκρῳ·
Τὰν, κισσὸς ὡς ἀτενὴς,
Πέτραία βλάσα δάμασεν· καί νιν
Ὄμβρῳ τακομέναν,
Ὡς φάτις ἀνδρῶν,
Χιών τ' ἐδαμᾶ λείπει.
Τέγγει θ' ὑπ' ὀφρύσι πανκλαύτοις *
Δειράδας· ᾧ με δαίμων ὁ-
μοιόλατον καλευνάζει.

ΑΝΑΠΑΙΣΤΟΙ.

ΧΟΡ. Ἀλλὰ θεός τοι καὶ θεογενής·
Ἡμεῖς δὲ, βροτοὶ καὶ θνητογενεῖς.
Καίτοι γε φθιμένην, μέγ' ἀκοῦσαι

* Aldus, πανκλαύτοις.

835. Ἤκουσα δὴ λυγρόλατον] ἀντὶ τοῦ, λυγρόλατης. ἢ τὴν λυγρὰν ὑπομείναασαν. ἢ λυγρὴν, καθὸ τὴν λήθην ὑβρίσαι τετόλμηκε. τοῦτο δὲ ἔλαβε πρὸς τὸ ὅμοιον τῷ θανάτῳ, ὅτι ἀδὲ ἡ Νιόβη ὑπό τινος ἀνηρέθη.

836. Τὰν φρυγίαν ξέναν] τὴν Νιόβην.

837. Σιπύλῳ πρὸς] Σίπυλον ὄρος ἐν Ἀσίᾳ, ὅπερ οἱ μὲν περὶ τὴν Σμύρναν εἶναί φασιν· οἱ δὲ ἀναβέρω, ὃ νῦν Κυζηνὸς ὑγρομάζειαι, ἔνθα φασὶ τὴν Νιόβην κλαύσαν τὰς παῖδας, ὑπὸ Διὸς λελιθῶσθαι καὶοικείρανλος αὐτήν.

838. Τὰν κισσὸς ὡς ἀτενὴς] ὁ μὴ εὐθὺς πεπερασμένος, ἀλλ' εἰλίπενης. πολὺς καὶ ἐπιμήκης. ἢ ὁ μὴ ἀναπείνων εἰς ὕψος, ἀλλ' αὐτῷ περιειλίμενος, καὶ ὀχεῖ ὑψηλός. ὁ δὲ νῦν ὢν ἐδάμασεν. ἡ πέτρας βλάσησις, ὡς κισσὸς περιβαλοῦσα αὐτήν. περιέφυσεν αὐτῷ (φησὶ) τῇ πέτρᾳ ὡς κισσὸς δένδρῳ.

839. Πέτραία βλάσα δάμασεν] ὅτι περιεκεκάλυπτο πανπαχῇ τῇ πέτρᾳ.

840. Ὄμβρῳ τακομέναν] ἤγουν, αὐτὴν τὴν Νιόβην τηκομένην καὶ δαμαζομένην ἐν ὄμβρῳ, ὥσπερ ὑπάρχει ἡ τῶν ἀνθρώπων φήμη, ἐδαμῶς λείπει ὄμβρος καὶ χιών. τοῦτ' ἔστι, λιθωθεῖσα, ὄμβρῳ, καὶ χιόνι χειμάζεται.

846. Ἀλλὰ θεός τοι καὶ θεογενής] παραμυθούμενος αὐτὴν, θεὸν φησι τὸν Νιόβην. ἦγεν, καθιερεῖν σέ χρὴ ὡς καὶ ἡ Νιόβη ἐκαρτέρησε, καίτοι θειοτέρου γένους τυγχάνουσα. Ταντάλου γὰρ ἦν τοῦ Διός.

1b. Θεογενὴς] Τάνταλος γὰρ ὁ ταύτης πατὴρ, ἐκ Διός.

848. Καίτοι φθιμένα] καὶ γὰρ φθιμένῳ παντὶ μακαριστὸν ἂν εἴη τῆς αὐτῆς μοίρας τυχεῖν τοῖς ἰσοθέοις. οἷον, μακάριος ἂν εἴη ὅστις τοῖς ἰσοθέοις ὁμοίως ἐτελεύτησεν.

851. Οἶμοι

Τοῖς ἰσοθέοις ἔγκληρα λαχεῖν
Ζῶσαν καὶ ἔπειτα θανεῖσαν. 850

ΣΤΡΟΦΗ Β.

ΑΝΤ. Οἴμοι, γελῶμαι· τί με πρὸς
Θεῶν παλῳὸν
Οὐκ ἐλομέναν ὑβρίζεις,
Ἀλλ' ἐπίφαυλον;
Ὦ πόλις, ὦ πόλεως 855
Πολυκλήμονες ἄνδρες·
Ἰὼ Διρκαῖαι κρῆναι,
Θήβας τ' εὐαρμάτε ἄλσος· ἔμπας
Ξυμμάρτυρας ὔμμ' ἐπικλῶμαι,
Οἵα φίλων ἄκλαυτος, οἷος * νόμοις 860
Πρὸς ἕρμα τυμβόχωσον ἔρ-
χομαι τάφε πολαινίε.
Ἰὼ δύσανος,
Οὔτ' ἐν βροτοῖς † ὕτ' ἐν νεκροῖσι
Μέτοικος, ἐ ζῶσιν, ἐ θανεῖσι. 865

ΙΑΜΒΟΙ.

ΧΟΡ. Προβᾶσ' ἐπ' ἔσχαλον θράσος,

* Ald. οἵσισιν. † Ald. βρόλοῖσιν.

851. Οἴμοι, γελῶμαι] ὑφ' ὑμῶν γελῶμαι ὅτι θεοῖς ἴσον με λέγεῖε.

859. Ὦ πόλις, ἐπικλῶμαι] γράφεῖαι ἐπιῳδῶμαι.

860. Οἵα φίλων ἄκλαυτος] οἷον μὴ οἰκλειομένη παρὰ τῶν φίλων ἀπόλλυμαι.

Ib. Οἵα φίλων] ὁποία ἄκλαυτος τῶν φίλων, ἤγουν, μὴ θρήνε ὑπὸ τῶν φίλων ἀξιωθεῖσα, ἐν οἵοις καὶ ὁποίοις νόμοις (ἐ γὰρ νενομοθέτηται ὅτωσὶ καλορύτλειν) ἔρχομαι πρὸς ἕρμα τυμβόχωσον τάφε πολαινίε καὶ προσφάτε, ἤγουν, πρὸς τὸν ὑπὸ γῆν καλωρυγμένον τάφον, μέτοικος, ὅτ' ἐν βροτοῖς ζῶσιν, ὅτ' ἐν νεκροῖς θανεῖσι. τὸτ' ἐσιν, ὅτε πρὸς ζῶντας μεῖοικιζομένη, διὰ τὸ ὥσπερ νεκρὸς καλορύτλεσθαι, καὶ αὐτίκα τεθνήξεσθαι, ὅτε πρὸς νεκρὸς, διὰ τὸ ζῶσα καὶ θανεῖσα καλορύτλεσθαι. τὸ δὲ Ἰὼ δύσηνος, διὰ μέσε.

862. Τάφε πολαινίε] ἔςι μὲν προσφάτε. Θέλει δὲ εἰπεῖν καινῦ καὶ παρεξηλλαγμένε.

864. Οὔτ' ἐν βροτοῖσιν] ὅτε ἐν ζῶσι, διὰ τὸ εἶναι ἐν εἰρκτῇ· ὅτε ἐν θανεῖσι, διὰ τὸ ἔτι ἀναπνεῖν.

865. Οὐ ζῶσιν, ἐ θανεῖσιν] λείπει σύνοικος.

866. Προβᾶσ' ἐπ' ἔσχαλον θράσος] προβᾶσα ἐπὶ τὸ τῆς δικαιοσύνης ἔσχαλον βάθρον μέτα

Ὑψηλὸν ἐς δίκας βάθρον
Προσέπαισας, ὦ τέκνον, πολύ·
Πατρῷον ἐκτίνεις τίν' ἆθλον.

ΑΝΤΙΣΤΡΟΦΗ Β.

ΑΝΤ. Ἔψαυσας ἀλγεινοτάτας
Ἐμοὶ μερίμνας,
Πατρὸς τριπόλιστον οἶκτον *,
Τοῦ τε πρόπαντος
Ἁμετέρου πότμου
Κλεινοῖς Λαβδακίδαισιν.
Ἰὼ ματρῷαι λέκτρων
Ἄται, κοιμήματ' αὐτογένητα †
Ἁμῷ πατρὶ δυσμόρου ματρὸς,
Οἵων ἐγώ ποθ' ἁ ταλαίφρων ἔφυν.
Πρὸς οὓς ἀραῖος ἄγαμος ἁ-
δ' ἐγὼ μέτοικος ἔρχομαι.

* Turn. in marg. οἶκον. † Turn. αὐτογέννετα.

τὰ θράσους. βουλομένη τε ὅσιόν τι δρᾶν περὶ τὸν ἀδελφὸν, τὰ ἐναντία πέπονθας. ἔπεσες γὰρ εἰς τὸ κενοτάφιον. τὸ δὲ ἑξῆς, προβᾶσα ὑψηλὸν εἰς δίκας βάθρον, ἔπεσες ἐπ' ἔσχατον θράσους ἐν τῷ παρακοῦσαι τῶν τοῦ ἄρχοντος προσταγμάτων.

869. Πατρῷον δ' ἐκτίνεις] ἢ τὰ ἡμαρτημένα τῷ Οἰδίποδι, ἢ ὑπὲρ τῆς κατάρας τοῦ Οἰδίποδος ταῦτα πάσχεις. αὐτὴ γὰρ τὰ δίκαια προέθου ποιεῖν.

872. Τριπόλιστον οἶκτον] γράφεται οἶκον. πολλάκις ἀναπεπολημένον. ἢ διάσημον, καὶ πανταχοῦ ἀκουόμενον, καὶ πολούμενον. ἢ τὸν πολλάκις ἐπελθόντα τῷ ἐμῷ οἴκῳ καὶ γένει. λείπει δὲ τὸ εἰποῦσα.

873, 874. Τοῦ τε πρόπαντος ἁμετέρου πότμου] καὶ τῆς προτέρας ἡμῶν δυστυχίας.

874. Ἁμετέρου πότμου] δέον εἰπεῖν, ἡμῖν τοῖς κλεινοῖς Λαβδακίδαις, ἡμετέρου εἶπε πρὸς τὸ πότμου. ἢ οὕτως, ἔψαυσας τοῦ πρόπαντος καὶ ὅλου πότμου, τοῖς κλεινοῖς Λαβδακίδαις τοῖς ἡμετέροις, ἤγουν, τοῦ συγγενικοῦ.

875. Λαβδακίδαισιν] ἀντὶ τοῦ, Λαβδακιδῶν.

877. Κοιμήματ' αὐτογένητα] καὶ συνουσίαι τοῦ πατρὸς αὐτογενεῖς. ἢ συγγενικαὶ, ἢ ὅτι ταύτῃ συνεκοιμήθη ἐξ ἧς γέγονε. τὸ δὲ ἑξῆς, κοιμήματα αὐτογένητα, κοιμήματα δυσμόρου μητρὸς, ἐμῷ πατρὶ αὐτογένητα. ὅτι ὁ αὐτὸς, πατὴρ ἅμα καὶ παῖς ἦν.

879. Οἵων ἐγώ ποθ'] λείπει γονέων.

880. Ἀραῖος] ἐπικατάρατος διὰ τὰ ἐκείνων ἁμαρτήματα.

881. Ἐγὼ μέτοικος ἔρχομαι] πρὸς τοὺς γονεῖς δηλονότι.

882. Δυσπότμων

Ἰὼ δυσπότμων
Κασίγνητε γάμων κυρήσας,
Θανὼν ἔτ' ἔσαν καληναρές με.

ΙΑΜΒΟΙ.

ΧΟΡ. Σέβειν μὲν, εὐσέβειά τις· 885
Κράτος δ', ὅτῳ κράτος μέλει,
Παραβαλὸν ἐδαμῆ πέλει.
Σὲ δ' αὐτόγνωτος ὤλεσ' ὀργά.

ΣΥΣΤΗΜΑ.

ΑΝΤ. Ἀκλαυτος, ἄφιλος, ἀνυμέναιος,
Ταλαίφρων ἄγομαι 890
Τάνδ' ἑτοίμαν ὁδόν· ἐκέτι
Μοι τόδε λαμπάδος ἱερὸν ὄμμα
Θέμις ὁρᾶν ταλαίνᾳ.
Τὸν δ' ἐμὸν πότμον ἀδάκρυτον
Οὐδεὶς φίλων σενάζει. 895

ΙΑΜΒΟΙ.

ΚΡΕ Ἦρ' ἴσ', ἀοιδὰς καὶ γόους πρὸ τῦ θανεῖν
Ὡς ἐδ' ἂν εἷς παύσαι' ἄν, εἰ χρεῖ' ἦ, λέγειν;

882, 883. Δυσπότμων κασίγνητε γάμων κυρήσας] διὰ τὴν πρὸς Ἄδραστον ἐπιγαμίαν, ἥτις αἰτία τῦ πολέμυ καλεῖται.

885. Σέβειν μὲν, εὐσέβειά τις] οἱ τῦ Χορῦ τὸ μὲν ἕρδον τῆς παιδὸς ἐπαινῦσιν, ἐ μὴν δὲ θαῤῥῦσιν ὡς καὶ τὴν γνώμην τῦ βασιλέως διελέγχειν ὡς μοχθηράν. φησὶν ἓν ὅτι πέπραχται μὲν δι' εὐσέβειαν τὸ ὑπὸ ταύτης· ᾧ δὲ ἡ βασιλεία μέλει, τότῳ ἐκ ἔστι παραβαλὼν ἡ ἀρχὴ, ὅ ἐστι, τὰ προσάγματα. παραβαίνυσι δὲ ὅσοι ἀρχόντων καταφρονῦσιν.

894. Πότμον ἀδάκρυτον] τὸ ἀδάκρυτον σαφηνισμός ἐστι τῦ, ἐδεὶς σενάζει. τὸ γὰρ παῤ ἐδενὸς σεναζόμενον, ἀδάκρυτόν ἐστιν.

896. Ἦρ' ἴσ' ἀοιδὰς καὶ γόους] πρὸς τὰς ὑπηκόυς τῦτο φησὶν ὁ Κρέων, ὀρθιζόμενος ὅτι μὴ θάπτον αὐτὴν ἀπήγαγον πρὸς εἰρκτήν. ὁ δὲ λόγος· ἆρα ἴσε, εἰ χρεῖ' ἦ λεγειν ἀοιδὰς καὶ γόους πρὸ τῦ θανεῖν, ἐδέποτέ τις παύσαιτο; δεῖ ἂν ἐκ βίας ἕλκειν αὐτὴν

Ib. Ἦρ' ἴσ' ἀοιδὰς] ἆρα ἴσε καὶ γινώσκεσε ὡς καὶ ὅτι ἀδεὶς ἂν παύσαιτο, εἰ χρεῖα εἴη, ἤγυν, χρήσιμα αὐτῷ λέγειν πρὸ τῦ θανεῖν ἀοιδὰς καὶ γόυς; τῦτο δὲ λέγει ὀρθιζόμενος τοῖς ἄγυσιν Ἀνιγόνην, ὅτι εἴασαν αὐτὴν τοιαῦτα περὶ αὐτῆς διεξέρχεσθαι, καὶ ἃ ταχέως ἤγαγον πρὸς ὅπερ καλεδικάσθη ὄρυμα.

Οὐκ ἄξεθ' ὡς τάχιστα, καὶ κατηρεφεῖ
Τύμβῳ περιπτύξαντες, ὡς εἴρηκ' ἐγὼ,
Μόνην ἀφῆτ' * ἔρημον, εἴτε χρὴ θανεῖν,
Εἴτ' ἐν τοιαύτῃ ζῶσα τυμβεύει † στέγῃ;
Ἡμεῖς γὰρ ἁγνοὶ τοὐπὶ τήνδε τὴν κόρην·
Μετοικίας δ' οὖν τῆς ἄνω στερήσεται.

ΑΝΤ. Ὦ τύμβος, ὦ νυμφεῖον, ὦ κατασκαφὴς
Οἴκησις ἀιείφρουρος ‡, οἷ πορεύομαι
Πρὸς τοὺς ἐμαυτῆς, ὧν ἀριθμὸν ἐν νεκροῖς
Πλεῖστον δέδεκται Περσέφασσ' ὀλωλότων,
Ὧν λοισθία 'γὼ καὶ κάκιστα δὴ μακρῷ
Κάτειμι, πρίν μοι μοῖραν ἐξήκειν βίου.
Ἐλθοῦσα μέντοι, κάρτ' ἐν ἐλπίσι τρέφω
Φίλη μὲν ἥξειν πατρὶ, προσφιλὴς δέ σοι,
Μῆτερ, φίλη δέ σοι, κασίγνητον κάρα.
Ἐπεὶ θανόντας αὐτόχειρ ὑμᾶς ἐγὼ
Ἔλουσα κἀκόσμησα, κἀπιτυμβίους
Χοὰς ἔδωκα· νῦν δὲ, Πολύνεικες, τὸ σὸν

TURN. in marg. ALD. ἀφῆτ'. † ALD. τυμβεύει.
‡ ALD. TURN. ἀιείφρουρος.

900. Εἴτε χρὴ θανεῖν] εἰ χρῄζει καὶ θέλει θανεῖν. μετριάζειν δὲ προσποιεῖται τῇ κολάσει, ὡς δηλοῖ καὶ τὸ, Ἡμεῖς γὰρ ἁγνοὶ τοὐπὶ τήνδε τὴν κόρην.

902. Ἡμεῖς γὰρ ἁγνοὶ] (τουτέστιν ἀκοινώνητοι) τοῦ φόνου τούτου, φησὶ διὰ τὸ μὴ χερσὶν αὐτὴν ἀνῃρηκέναι. Ἄλλως· τὸ κατὰ ταύτην τὴν κόρην ἁγνοὶ ἡμεῖς ἐσμὲν, καὶ οὐδὲν ἐναγὲς ἐπράξαμεν.

903. Τῆς ἄνω στερήσεται] ἤγουν, τοῦτο αὐτῇ ἔσται στέρησις καὶ ζημία, τὸ μετοικισθῆναι ἀπὸ τῶν ζώντων εἰς τοὺς θανόντας· δέον δὲ οὕτως εἰπεῖν, τῆς ἄνω διαίτης στερήσεται, ἐπειδὴ ἐκ τοῦ κόσμου στέρησις μετοικία ἐστὶ, μετοικίας εἶπεν. εἰ καὶ ἀγνοοῦντές τινες, τὸ μετοικίας, ἀντὶ τοῦ, τῆς μεθ' ἡμῶν διατριβῆς λέγουσιν.

905. Οἴκησις ἀείφρουρος] τῷ μὴ πρὸς καιρὸν εἶναι τὴν φρουρὰν, ἀλλὰ διόλου.

907. Περσέφασσ' ὀλωλότων] Περσέφασσα ἡ Περσεφόνη, ἡ φερουσ' ἄτας καὶ βλάβας, ὥς φησι Πλάτων ἐν Κρατύλῳ. Διπλασιάζεται δὲ ἐνταῦθα τὸ σ, διὰ τὴν τοῦ μέτρου ἀνάγκην.

908. Κάκιστα δὴ μακρῷ] ἀντὶ τοῦ, πολύ.

910. Ἐν ἐλπίσι τρέφω] εὐεπίφορος Σοφοκλῆς εἰς τὸ τρέφω, ἀντὶ τοῦ, ἔχω λέγειν. ὁ δὲ νοῦς· Ἐλπίζω ἀποθανοῦσα πάντας ἕξειν φίλους.

912. Κασίγνητον κάρα] ὦ Ἐτεόκλεις. ἐξῆς γὰρ τοῦ Πολυνείκους μετὰ οἴκτου μνημονεύει.

917. Καίτοι

Δέμας περιςέλλουσα, τοιάδ' ἄρνυμαι.
Καίτοι σ' ἐγὼ 'τίμησα τοῖς φρονοῦσιν εὖ.
Οὐ γάρ ποτ' οὔτ' ἂν εἰ τέκνων μήτηρ ἔφυν,
Οὔτ' εἰ πόσις μοι κατθανὼν ἐτήκετο,
Βίᾳ πολιτῶν τόνδ' ἀνῃρόμην πόνον.
Τίνος νόμου δὴ ταῦτα πρὸς χάριν λέγω;
Πόσις μὲν ἄν μοι κατθανόντος, ἄλλος ἦν,
Καὶ παῖς ἀπ' ἄλλου φωτὸς, εἰ τοῦδ' ἤμπλακον·
Μητρὸς δ' ἐν ᾅδου καὶ πατρὸς κεκευθότοιν,
Οὐκ ἔς' ἀδελφὸς ὅςις ἂν βλαςοῖ ποτέ.
Τοιῷδε μέντοι σ' ἐκπροτιμήσασ' ἐγὼ
Νόμῳ, Κρέοντι ταῦτ' ἔδοξ' ἁμαρτάνειν,
Καὶ δεινὰ τολμᾷν, ὦ κασίγνητον κάρα.
Καὶ νῦν ἄγει με διὰ χερῶν οὕτω λαβὼν,
Ἄλεκτρον, ἀνυμέναιον, οὔτε τοῦ γάμου
Μέρος λαχοῦσαν, οὔτε παιδείου τροφῆς·
Αλλ' ὧδ' ἔρημος πρὸς φίλων ἡ δύσμορος,
Ζῶσ' εἰς θανόντων ἔχομαι κατασκαφάς.
Ποίαν παρεξελθοῦσα δαιμόνων δίκην;
Τί χρή με τὴν δύςηνον εἰς θεοὺς ἔτι

917. Καίτοι σ' ἐγὼ 'τίμησα τοῖς φρονοῦσιν εὖ] παρὰ τοῖς καλῶς φρονοῦσι δοκῶ σε τετιμηκέναι, ὥςε τοὺς συνετοὺς ἀποδέξασθαι τὰ ὑπ' ἐμοῦ εἰς σὲ γενόμενα.

Ib. Τοῖς φρονοῦσιν εὖ] πάντες γὰρ οἱ νουνεχεῖς καὶ τὰ πράγματα, ὡς δεῖ, διακρίνοντες, ἠγάσαντό με τῆς περί σε σπουδῆς. σύναπτε δὲ τὸ εὖ πρὸς τὸ ἐτίμησα.

920. Ανῃρόμην πόνον] ἀντὶ τοῦ, ὑπέςην.

921. Τίνος νόμου δὴ ταῦτα] ἀντὶ τοῦ, τίνος νομίσματος καὶ λοτισμοῦ.

Ib. Τίνος νόμου] ἤγουν, τίνι νόμῳ χαριζομένη καὶ ςέργουσα καὶ ἀποδεχομένη τοῦτον, λέγω ταῦτα;

926. Τοιῷδε μέντοι] τῷ τοιούτῳ νόμῳ ὃς ἀποδείκνυσι τὸ κατὰ τοὺς ἀδελφοὺς δίκαιον ὑπερέχειν ἁπάντων, τιμήσασά σε, ἔδοξα τῷ Κρέοντι ἁμαρτάνειν, διὰ τὴν ἔνδειξιν τῆς βίας αὐτοῦ.

929. Καὶ νῦν ἄγει με] ἐμφαντικώτερον τὸ ἄγει· οὐ γὰρ εἶπεν ὅτι ἐκέλευσέ με ἀχθῆναι, ἀλλ' αὐτὸς ἄγει.

934. Ποίαν παρεξελθοῦσα δαιμόνων] ἐπεὶ τὰ τοῦ Κρέοντος θνητοῦ ὄντος παρέβη.

Βλέπειν; τίν' αὐδᾶν * ξυμμάχων; ἐπεί γε δὴ
Τὴν δυσσέβειαν εὐσεβοῦσ' ἐκτησάμην.
Ἀλλ' εἰ μὲν οὖν τάδ' ἐστὶν ἐν θεοῖς καλὰ,
Παθόντες ἂν ξυγγνοῖμεν ἡμαρτηκότες·
Εἰ δ' οἵδ' ἁμαρτάνουσι, μὴ πλείω κακὰ
Πάθοιεν ἢ καὶ δρῶσιν ἐκδίκως ἐμέ.

ΑΝΑΠΑΙΣΤΟΙ.

ΧΟΡ. Ἔτι τῶν αὐτῶν ἀνέμων αὐταὶ
Ψυχῆς ῥιπαὶ τήνδέ γ' ἔχουσι.
ΚΡΕ. Τοιγὰρ τούτων τοῖσιν ἄγουσι
Κλαύμαθ' ὑπάρξει βραδυτῆτος ὕπερ.
ΑΝΤ. Οἴμοι, θανάτου τοῦτ' ἐγγυτάτω
Τοῦπος ἀφῖκται.
ΚΡΕ. Θαρσεῖν οὐδὲν παραμυθοῦμαι
Μὴ οὐ τάδε ταύτῃ κατακυροῦσθαι.
ΑΝΤ. Ὦ γῆς Θήβης ἄστυ πατρῷον,
Καὶ θεοί πατρογενεῖς,
Ἄγομαι δὴ κοὐκέτι μέλλω †.

* Turn. in marg. αὐδὰν. † Ald. Ἄγομαι δὴ κοὐκέτι μέλλω.

936. Τίν' αὐδὰν συμμάχων] λείπει καλεῖν.

938. Τάδ' ἐστὶν ἐν θεοῖς καλὰ] εἰ ταῦτα τοῖς θεοῖς ἀρέσκει, παθόντες τὴν τιμωρίαν, γνοίημεν τὴν ἁμαρτίαν.

940. Εἰ δ' οἵδ' ἁμαρτάνουσιν] ἐπὶ τὸν Κρέοντα ἡ ἀναφορά.

941. Ἢ καὶ δρῶσιν ἐνδίκως] ἢ ἐκδίκως, ἤγουν, ἔξω τοῦ δικαίου.

942. Ἔτι τῶν αὐτῶν] ἔτι ἐν τῷ αὐτῷ κινήματι ἔοικεν ἡ παῖς εἶναι· οἷον, οὐκ ἐνδεδωκεν ὀδυρομένη.

Ib. Ἔτι τῶν αὐτῶν] τὸ ἀνέμων πρὸς τὸ ψυχῆς σύναπτε, ἵν' ᾖ, ἔτι αὐτῇ αἱ αὐταὶ κινήσεις τῶν ἀνέμων καὶ τῆς ὑπεροψίας τῆς ψυχῆς εἰσίν.

945. Κλαύμαθ' ὑπάρξει] ἀντὶ τοῦ, κλαύσονται οἱ ἄγοντες αὐτὴν ἐὰν ἔτι βραδύνωσι.

Ib. Βραδυτῆτος ὕπερ] διὰ τὸ ἐν αὐτῇ ἐμβραδύνειν.

946. Οἴμοι, θανάτου] ἀπειληθέντες ὑπὸ τοῦ Κρέοντος οἱ ὑπήκοοι ἄξουσέ με λοιπὸν ἐπὶ θάνατον.

948. Θαῤῥεῖν οὐδὲν παραμυθοῦμαι] οὐ παραμυθοῦμαί σε θαῤῥεῖν, ὡς μὴ κεκυρωμένου σοι τοῦ ἀποθανεῖν. τοῦτο δέ φησιν ὡς οὐκ ἐνδιδοὺς, ἵνα μὴ ὑπονοήσῃ ἐκείνη μεταπεπεικέναι αὐτὸν δακρύουσα. ἢ ὁ Χορὸς λέγει, ὡς τοῦ Κρέοντος μὴ μεταπεισθέντος.

950. Ὦ γῆς Θήβης] λοιπὸν πρὸς βίαν αὐτὴν ἄγουσιν οἱ ὑπήκοοι, τὰ πρῶτα αὐτὴν ἐλεοῦντες καὶ αἰδούμενοι.

953. Οἱ

Λεύσσε[ι]ε Θήβης οἱ κοιρανίδαι,
Τὴν βασιλίδα * μένην λοιπὴν,
Οἵα πρὸς οἵων ἀνδρῶν πάσχω,
Τὴν εὐσεβίαν σεβίσασα.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Ἔτλα καὶ Δανάας ἐράνιον φῶς
Ἀλλάξαι δέμας ἐν χαλκοδέτοις
Αὐλαῖς· κρυπ[τ]ομένα δ' ἐν
Τυμβήρει θαλάμῳ κα[τ]εζεύχθη.
Καίτοι γενεᾷ τίμιος, ὦ παῖ, παῖ,
Καὶ Ζηνὸς ταμιεύε-
σκε γονὰς χρυσορρύτας·
Ἀλλ' ἃ μοιριδία τις δύναστις, δεινά·
Οὔτ' ἄν νιν ὄμβρος, ἔτ' Ἄρης,
Οὐ πύργος, ἐχ ἁλίκ[τ]υποι
Κελαιναὶ νᾶες ἐκφύγοιεν.

* Aldus, βασιλίδα.

953. Οἱ κοιρανίδαι] κοίρανοι· τὲς ἀπὸ τῦ Κορῦ φησίν· εἰώθασι γὰρ ὁ μόνον τὲς βασιλεῖς, ἀλλὰ καὶ τὲς ἐνδόξως τῶν πολιτῶν ἔτω καλεῖν· ἡ πρὸς τὸν Κρέοντα, ἠθικῶς ἂν αὐτὸν εἰς συμμαχίαν προκαλυμένη. ἢ πρὸς τὲς πάλαι βασιλέας τὲς προγόνες αὐτῆς.

Ib. Οἱ κοιρανίδαι] ἦγεν, οἱ περὶχονλες τῶν Θηβαίων. ἢ κοιρανίδας λέγει τὲς προγόνες αὐτῆς.

954. Τὴν βασιλίδα] τὴν βασίλειαν.

956. Σεβίσασα] τιμήσασα.

957. Ἔτλα καὶ Δανάας] οἷον, ἡ Δανάη ἔτλη μὴ εἶναι ἐν φωτὶ, ἀλλ' ἐν σκότῳ. ἐπεὶ καὶ αὐτὴ ἐν χαλκῷ οἴκῳ ἐκέκρυπτο.

Ib. Ἔτλα καὶ Δανάας] παραμυθέμενος ὁ Χορὸς τὴν Ἀνιγόνην, εἰς παράδειγμα τὴν Δανάην εἰσάγει, ὅτι καὶ ἐκείνην ὁ παῖ[ρ] Ἀκρίσιος, διότι ἐν πύργῳ ἔσα ἔγκυος γέγονεν ὑπὸ Διὸς, χρυσῆ γενομένε καὶ πα[τ]αρρυέν[τ]ος ἐπὶ ταύτην ἀπὸ τῆ τέγες, ὀργισθεὶς ἐν χαλκῷ κιβωλίῳ μετὰ τῆ παιδὸς ἐνέκλεισεν. ἔχι δὲ τὸ χαλκοδέτοις αὐλαῖς καὶ τὸ τυμβήρει θαλάμῳ, ταὐτόν.

959. Κρυπ[τ]ομένα δ' ἐν τυμβήρει] κα[τ]εκλείσθη ὑπὸ τὴν κιβωλόν. ἢ, ὑπὸ τὸν ζυγὸν τῆς ἀνάγκης ἦλθε καὶ τῆς εἱμαρμένης. ἢ, κα[τ]εζεύχθη συνελθῦσα τῷ Διΐ.

962. Ταμιεύεσκε] ἀντὶ τῦ, ἐν αὐτῇ εἶχε τὰς γονὰς τῦ Διός. ὅ ἐστιν, ἔγκυος ἦν.

964. Μοιριδία] εἱμαρμένη.

965. Οὔτ' ἄν νιν] αὐτὴν τὴν μοῖραν.

Ib. Ὄμβρος, ἔτ' Ἄρης] Ἄρης νῦν ὁ πόλεμος· καὶ γὰρ ὕπος καὶ μοῖραν ἐγείρεται. βυλεῖαι δὲ εἰπεῖν ὅτι ἄτε τὰ ἐν ἀρανῷ, ἄτε τὰ ἐν τῇ γῇ, ἄτε τὰ ἐν τῇ θαλάττῃ πρατιόμενα, παρὰ μοῖραν γίγνεται.

968. Ζεύχθη

ΑΝΤΙΣΤΡΟΦΗ Α.

Ζεύχθη δ' ὀξυχόλως * παῖς ὁ Δρύαντος,
Ἠδωνῶν βασιλεὺς, κερτομίοις
Ὀργαῖς ἐκ Διονύσου,
Πετρώδει κατάφρακτος ἐν δεσμῷ.
Οὕτω μανίας δεινὸν ἀποστάζει
Ἄνθηρόν τε μένος· κεῖ-
νος ἐπέγνω μανίας
Ψαύων τὸν θεὸν ἐν κερτομίαις γλώσσαις·
Παύεσκε μὲν γὰρ ἐνθέους
Γυναῖκας, Εὔιόν τε πῦρ,
Φιλαύλους τ' ἠρέθιζε Μούσας.

ΣΤΡΟΦΗ Β.

Παρὰ δὲ Κυανέων πετρῶν †,
Διδύμας ἁλός τ', ἀκταὶ Βοσπόριαι,

* Ald. Turn. in textu, ὀξυχόλως. Turn. in marg. ὀξυχόλῳ
† Ald. πελαγέων πετρῶν.

968. Ζεύχθη δ' ὀξυχόλῳ] τὸ ἑξῆς, ζεύχθη πετρώδει κατάφρακτος ἐν δεσμῷ· μὴ οὕτω δὲ αὐτὸ λάβωμεν, ὅτι καὶ ἡ Ἀντιγόνη ἀσεβὴς οὖσα πέπονθεν ὅπερ ὁ ἀσεβὴς Λυκοῦργος. ἀλλ' ἁπλῶς τῇ παραθέσει τῶν ὁμοίων δυστυχιῶν παραμυθεῖται τὴν κόρην· τὸν δεσμὸν δὲ τῆς ἀμπέλου πετρώδη εἶπεν, ἀντὶ τοῦ, τὸν ἰσχυρόν.

969. Κερτομίοις ὀργαῖς] διὰ τὰς κερτομίους ὀργάς.

971. Πετρώδει] τῷ στερεῷ δεσμῷ τῆς ἀμπέλου.

972. Οὕτω τὰς μανίας δεινὸν] οὕτω καὶ τοῦ Λυκούργου ἀπὸ τῆς μανίας ὀργὴ ἀποβαίνει. μένος γὰρ ἡ ὀργή. ἀνθηρὸν δὲ, τὸ ἀκμαῖον καὶ ἀνθοῦν ἐν κακοῖς.

Ib. Δεινὸν ἀποστάζει] ἀντὶ τοῦ, πολύ.

973. Κεῖνος ἐπέγνω] τὸ ἑξῆς, κεῖνος ἐπέγνω τὸν θεὸν κερτομίοις γλῶσσαν μανίαις ψαύων.

974. Ἐπέγνω μανίας] ἐπέγνω τὰς οἰκείας μανίας, ὡς εἰς κακὸν αὐτῷ ἐτελεύτησαν. λέγει ὅτι ταῦτα ἀποκερδαίνουσιν οἱ κακοὶ καὶ ἀσεβεῖς.

976. Ἐνθέους] τὰς θεολήπτους βάκχας.

977. Εὔιόν τε πῦρ] τὸ ὑπὸ τῶν βακχῶν αἰρόμενον ἐν ταῖς Διονυσιακαῖς δαδουχίαις.

978. Φιλαύλους ἐρεθίζε Μούσας] κακολογῶν αὐτὰς ἠρεθίζε καθ' αὑτοῦ. λέγει οὖν, ἐτάρασσε καὶ ἐσκόρπιζε τὰς τῶν αὐλῶν ᾠδάς. ἢ οὕτως, τὰς Μούσας τὰς περὶ τὸν Διόνυσον ἐχλεύαζε. τουτέστι, τοὺς ὕμνους, ἢ τοὺς λόγους. τινὲς δέ φασιν ὅτι καὶ τὰς Μούσας ὕβρισε.

979. Παρὰ δὲ Κυανέων πελαγέων] ἀντὶ τοῦ, παρὰ δὲ τοῖς Κυανέοις πελάγεσι τῆς διδύμης θαλάττης, γέγονεν ἐμφύλια κακὰ περὶ τοὺς Φινείδας. Κυανέοις δε πελάγεσιν εἶπε, τοῖς ὑπὸ τῶν Κυανέων πετρῶν περιεχομένοις.

980. Διδύμης ἁλός] ἢ διὰ τὸ διαχωρίζεσθαι ὑπ' αὐτῶν τὴν θάλασσαν, ἢ διὰ τὸ συνιέναι αὐτὰς καὶ ἑνοῦσθαι, διδύμους φησίν.

Ib. Ἀκταὶ Βοσπόριαι] αἱ ὑπὸ τοῦ Βοσπόρου τοῦ πελάγους περιεχόμεναι.

981. Ἠδ'

Ἰὼ ὁ Θρηκῶν Σαλμυδησσὸς,
Ἵν' ἀγχίπολις * Ἄρης,
Δισσοῖσι Φινείδαις
Εἶδεν ἀραὸν ἕλκος
Τυφλωθὲν ἐξ ἀγρίας δάμαρτος, 985
Ἀλαὸν ἀλάξορος † ὀμμάτων
Κύκλοις ἀραχθὲν ‡ ἐγχέων,
Ἀλλ' ὑφ' αἱμαληραῖς χερσί ‖
Τε καὶ κερκίδων ἀκμαῖς.

ΑΝΤΙΣΤΡΟΦΗ Ε.

Καλὰ δὲ τακόμενοι μέλεοι 990
Μελέαν πάθαν κλαῖον μαλρὸς, ἔχοντες ἀνύμφευτον γονάν· ὦ

* Ald. ἀγκίπολις. † Ald. ἀλαζόροισιν. ‡ Ald. ἐκ.
‖ Ald. χείρεσσι.

981. Ἠδ' ὁ Θρηκῶν Σαλμυδησσὸς] ὁ Θρᾳκικὸς Σαλμυδησσός. πέλαγος δὲ ἐςι δυσχείμερον περὶ Θρᾴκην. Αἰσχύλος.

"Σαλμυδησσία γνάθος, ἐχθρόξενος ναύτῃσι, πόντου μητρυιὰ νεῶν."

982. Ἵν' ἀγχίπολις Ἄρης] παρὰ γὰρ Θρᾳξὶ τιμᾶται ὁ Ἄρης. ὡς καὶ ὁ ποιητὴς, Τὼ μὲν ἄρ' ἐκ Θρήκης Ἐφύρην μέτα Φηρήσσεσκον· τὸ δὲ ἵνα τοῖς ἄνω συνάπτεται, ἵνα ἀκλαὶ Βοσπόριαι· καὶ ὠδὲν λείπει· ὅσοι δὲ γράφουσιν οὗ Ἄρης, περιττὸν λαμβάνουσι τὸ ὄνομα.

983. Δισσοῖσι Φινείδαις] τῶν δισσῶν Φινειδῶν, Πλῆξίππου καὶ Πανδίονος. ἢ Γηρύμβα καὶ Ἀσπόνδου.

985. Τυφλωθὲν] τὸ ἐξῆς, τυφλωθὲν ὀμμάτων κύκλος.

986. Ἀλαζόροισι] τοῖς ἄλαζα πεποιηθόσιν, ἢ τοῖς δυσχερέσι κύκλοις τῶν ὀμμάτων.

987. Ἀραχθὲν ἐγχέων] ἀντὶ τοῦ τυφλωθέν. ἀραχθὲν αἱμαληραῖς χείρεσσιν ὑπ' ἐγχέων καὶ κερκίδων ἀκμαῖς, τυθεῖσι, γυναικείαις.

990, 991. Μέλεοι μελέαν πάθαν] ὅτι τελευτήσασα ἀφῆκεν αὐτὸς ὑπὸ μητρυιᾶν· ἢ, ἅπ αὐτὴ ἐξεδύφλωσεν.

992. Ἀνύμφευτον γονὰν] κακόνυμφον γονήν. ὅτι ἐπὶ κακῷ νυμφευθεῖσα, δυσχεῖς αὐτὴς ἔτεκεν. ἢ, τὴν ἀνύμφευτον ἑαυτῷ κοινωνίαν οἷον, τῆς πρὸς γυναῖκας συνουσίας ἄπειροι ὄντες.

Ib. 993. Ἃ δὲ σπέρμα μὲν ἀρχαιογόνων] Βορέας κῆδος συνῆψε τοῖς Ἀθηναίοις, ἁρπάσας Ὠρείθυιαν τὴν Ἐρεχθέως· ἐξ ἧς ἔσχε Ζήτην καὶ Κάλαϊν καὶ Κλεοπάτραν. ταύτην ὁ Φινεὺς ἔγημεν. ἐξ ἧς αὐτῷ δύο παῖδες ἐγένοντο, Πλήξιππος καὶ Πανδίων· καλὰ δέ τινες Γηρύμβας καὶ Ἄσπονδος· μᾶλλα δὲ τὸν Κλεοπάτρας Θάναλον, ἐπέγημεν Ἰδαίαν τὴν Δαρδάνου. καλὰ δέ τινες, Εἰδοθέαν τὴν Κάδμου ἀδελφήν· (ἧς καὶ αὐτὸς Σοφοκλῆς μνημονεύει ἐν Τυμπανισταῖς) ἥτις ἐξ ἐπιβουλῆς τυφλώσασα τὰς τῆς Κλεοπάτρας παῖδας, ἐν τάφῳ καθεῖρξεν. ὡς δέ τινες φασὶν, ὅτι καλεψεύσαλο αὐτῶν, ἅτε δὴ πειρασάμενον αὐτὴν. ἐφ' οἷς ἀπαληθεὶς ὁ Φινεὺς ἀμφοῖν τυφλοῖ. ταῦτα δὲ ἱςορεῖ Ἀπολλόδωρος ἐν τῇ βιβλιοθήκῃ. τινὲς δὲ ἱςοροῦσιν ὅτι περιῶσαν τὴν Κλεοπάτραν

Δὲ, σπέρμα μὲν * ἀρχαιογόνων
Ἄντασ' Ἐρεχθειδᾶν,
Τηλεπόροις δ' ἐν ἄντροις
Τράφη θυέλλῃσιν ἐν πατρῴαις
Βορέας ἅμιππος, ὀρθόποδος
Ὑπὲρ πάγυ θέων ἡ παῖς.
Ἀλλὰ κἀπ' ἐκείνᾳ μοῖραι
Μακραίωνες ἔσχον παῖ †.

ΕΠΩΔΟΣ.

ΤΕΙ. Θήβης ἄνακτες, ἥκομεν κοινὴν ὁδὸν
Δύ' ἐξ ἑνὸς βλέποντε· τοῖς τυφλοῖσι γὰρ
Αὕτη κέλευθος ἐκ προηγητῦ πέλει.
ΚΡΕ. Τί δ' ἔςιν, ὦ γεραιὲ Τειρεσία, νέον;
ΤΕΙ. Ἐγὼ διδάξω· καὶ σὺ τῷ μάντει πιθῦ.
ΚΡΕ. Οὔκυν πάρος γε σῆς ἀπεςάτυν φρενός;
ΤΕΙ. Τοιγὰρ δι' ὀρθῆς τήνδε ναυκληρεῖς πόλιν.
ΚΡΕ. Ἔχω πεπονθὼς μαρτυρεῖν ὀνήσιμα.
ΤΕΙ. Φρόνει βεβὼς αὖ νῦν ἐπὶ ξυρῦ τύχης.

* Turn. Δὲ, σπέρμ' ἀρχαιογόνων. † Ald. ὦ παῖ.

Κλεοπάτραν ὁ Φινεὺς ἐκβέβληκε, καὶ τὴν Ἰδαίαν ἐπέγημεν· ἡ δὲ, ὀργισθεῖσα τὺς ἑαυτῆς ἐτύφλωσε παῖδας.

Ib. Ἀνύμφευτον] ἤγυν, κακονύμφευτον μητρὸς γέννημα ὑπάρξαντες. δέον δ' εἰπεῖν ἀνυμφεύτυ μητρὸς, ἀνύμφευτον πρὸς τὸ γονὰν εἶπεν.

997. Ἅμιππος] ταχεῖα, ἴσον ἵππῳ δυναμένη τρέχειν. εἰ δὲ γράφεται ἁμίπποις, πρὸς τὸ θυέλλαις, τράφη θυέλλησιν ἁμίπποις, ταῖς ἐξισυμέναις ἵπποις· ὡς καὶ Ὅμηρος·

——"Θείειν δ' ἀνέμοισιν ὁμοῖοι."

999. Ἀλλὰ κἀπ' ἐκείνᾳ] ἀλλὰ καὶ κατ' ἐκείνης, τῆς θυγατρὸς Βορέυ τῆς ἐξ Ἐρεχθειδῶν γεγονυίας, ἐνέσκηψαν αἱ πολυχρόνιοι μοῖραι, καὶ μεγάλα δυςυχῆσαι αὐτὴν πεποιήκασιν. ἢ, μεγάλαι δυςυχίαι καὶ ἐπ' ἐκείνῃ τῇ Κλεοπάτρᾳ ἦλθον.

1000. Μακραίωνες] ἀθάνατοι καὶ πολυχρόνιοι.

Ib. Ἔσχον] ἐπέσχον, ἐπετέθησαν, ἐπεβάρησαν.

1001. Θήβης ἄνακτες] καὶ νῦν ἄνακτάς φησι τὺς ἀπὸ τῦ Χορῦ ἐντίμυς.

Ib. Θήβης ἄνακτες] ἄφιξις Τειρεσίυ μέλλοντος εἰπεῖν τὰ συμβησόμενα.

1003. Ἐκ προηγητῦ πέλει] ἡ ὁδὸς τῦ τυφλῦ μετ' ἄλλυ ἐςίν.

1006. Οὔκυν πάρος γε] οἷον, ὐδὲ τὴν ἀρχὴν τῆς σῆς κατωλιγώρυν μαντείας.

ΚΡΕ. Τί δ' ἔςιν; ὡς ἐγὼ τὸ σὸν φρίττω ςόμα.
ΤΕΙ. Γνώσῃ, τέχνης σημεῖα τῆς ἐμῆς κλύων.
Εἰς γὰρ παλαιὸν θῶκον ὀρνιθοσκόπον
Ἵζων, ἵν' ἦν μοι παντὸς οἰωνῦ λιμὴν,
Ἀγνῶτ' ἀκούω φθόγγον ὀρνίθων κακῷ
Κλάζοντας οἴςρῳ καὶ βεβαρβαρωμένῳ,
Καὶ σπῶντας ἐν χηλαῖσιν ἀλλήλους φοναῖς.
Ἔγνων· πτερῶν γὰρ ῥοῖβδος οὐκ ἄσημος ἦν.
Εὐθὺς δὲ δείσας, ἐμπύρων ἐγευόμην,
Βωμοῖσι παμφλέκτοισιν· ἐκ δὲ θυμάτων
Ἥφαιςος οὐκ ἔλαμπεν, ἀλλ' ἐπὶ σποδῷ
Μυδῶσα κηκὶς μηρίων ἐτήκετο,
Κᾄτυφε, κἀνέπτυε· καὶ μετάρσιοι
Χολαὶ διεσπείροντο, καὶ καταῤῥυεῖς
Μηροὶ καλυπτῆς ἐξέκειντο πιμελῆς.
Τοιαῦτα παιδὸς τοῦδ' ἐμάνθανον πάρα,

1010. Τὸ σὸν φρίσσω ςόμα] ἀντὶ τοῦ, τὸν σὸν λόγον.

1012. Εἰς γὰρ παλαιὸν θῶκον] θῶκος, τόπος οὕτω καλούμενος.

Ib. Εἰς γὰρ παλαιὸν] διήγησις τίνα ἦν ἃ εἶδε μαντευόμενος.

1013. Οἰωνῦ λιμὴν] λιμὴν, ὅρμος καὶ ἕδρα, ὅπου πάντα τὰ ὄρνεα προσέρχονται.

Ib. Οἰωνῦ λιμὴν] ἤγουν, συναγωγή. ἐκεῖ γὰρ συνάγων τοὺς ὄρνιθας, ὅταν τι βούλωμαι μαντεύσασθαι, σκοπῶ τὴν αὐτῶν πτῆσιν καὶ τὰς φωνάς.

1014. Κακῷ κλάζοντας] λείπει ἐπὶ, ἵνα ᾖ ἐπὶ κακῷ.

1015. Βεβαρβαρωμένῳ] ἑρμηνευθῆναι μὴ δυναμένῳ, ἀλλὰ ἀσαφεῖ.

Ib. Κλάζοντας οἴςρῳ] δέον εἰπεῖν κλαζόντων πρὸς τὸ ὀρνίθων, κλάζοντας εἶπε πρὸς τὸ σημαινόμενον. τὸ γὰρ ἀκούω φθόγγον ὀρνίθων, ἀντὶ τοῦ, ὄρνιθας· οἱ δὲ λέγοντες τὸ κλάζοντας πρὸς τὸ ἔγνων, ψυχροί τινές εἰσιν.

1016. Ἐν χηλαῖσιν] ἀντὶ τοῦ, τοῖς ὄνυξι.

Ib. Φοναῖς] ταῖς αἱματικαῖς.

1018. Ἐμπύρων ἐγευόμην] ἀντὶ τοῦ, ἀπεπειρώμην τῆς διὰ πυρὸς μαντείας.

1021. Μυδῶσα] δίυγρος οὖσα ἡ καῦσις. κηκὶς δὲ, ἡ ἀνάδοσις ἐνταῦθα· κυρίως δὴ, ἡ λιγνὺς τοῦ καπνοῦ ἡ ἀπὸ τῶν καιομένων γιγνομένη.

1022. Κᾄτυφε] καὶ ἔτυφε. τύφειν ἐςὶ τὸ ἠρέμα ὑποσμύχειν. Ἀνέπτυε δὲ ἀνέβαλε τὰ μηρία ἐκ τοῦ λίπους.

Ib. Μηρίων] ὅτι μετὰ τῶν μηρῶν καὶ τὴν χολὴν τοῦ ζώου καὶ τὴν κύςιν παρετίθουν, ἀκριβῶς ἐν Αἰσχύλῳ εἴπομεν εἰς τοὺς Ἑπτὰ ἐπὶ Θήβαις. δεον δ' εἰπεῖν μεταρσίως καὶ καταῤῥυείσης τῆς πιμελῆς, μετάρσιοι εἶπε πρὸς τὸ χολαὶ, καὶ καταῤῥυεῖς πρὸς τὸ μηροί.

1023, 1024. Καταῤῥυεῖς μηροὶ καλυπτῆς ἐξέκειντο πιμελῆς] καταῤῥεόμενοι, καθυγραινόμενοι, ἐκ τοῦ λίπους τῆς καλυπτούσης πιμελῆς ἐξεπιπτον.

1025. Τοιαῦτα παιδὸς] τοῦ ὁδηγοῦντος δηλονότι.

Φθίνοντ' ἀσήμων ὀργίων μαντεύματα.
Ἐμοὶ γὰρ ὅτος ἡγεμὼν, ἄλλοις δ' ἐγώ.
Καὶ ταῦτα, τῆς σῆς ἐκ φρενὸς νοσεῖ πόλις.
Βωμοὶ γὰρ ἡμῖν, ἐσχάραι τε παντελεῖς,
Πλήρεις ὑπ' οἰωνῶν τε καὶ κυνῶν βορᾶς,
Τοῦ δυσμόρου πεπτῶτος Οἰδίπου γόνου.
Κᾆτ' οὐ δέχονται θυςάδας λιτὰς ἔτι
Θεοὶ παρ' ἡμῶν, οὐδὲ μηρίων φλόγα,
Οὐδ' ὄρνις εὐσήμους ἀποῤῥοιβδεῖ βοὰς,
Ἀνδροφθόρου βεβρῶτες αἵματος λίπος.
Ταῦτ' οὖν, τέκνον, φρόνησον· "ἀνθρώποισι γὰρ
"Τοῖς πᾶσι κοινόν ἐςι τοὐξαμαρτάνειν·
"Ἐπεὶ δ' ἁμάρτῃ κεῖνος οὐκέτ' ἔς' ἀνὴρ
"Ἄβουλος οὐδ' ἄνολβος, ὅςις ἐς κακὸν
"Πεσὼν ἀκεῖται, μηδ' ἀκίνητος πέλει.
"Αὐθαδία τοι σκαιότητ' ὀφλισκάνει."
Ἀλλ' εἶκε τῷ θανόντι, μηδ' ὀλωλότα
Κέντει· τίς ἀλκὴ τὸν θανόντ' ἐπικτανεῖν;

1026. Φθίνοντ'] ἢ φθοροποιὰ, ἢ διὰ τοῦ πυρὸς ἀσήμως φθειρόμενα.

Ib. Ὀργίων] εἰκότως εἶπε τὸ ὀργίων. ὥσπερ γὰρ τὰ μυςήρια οὐδεὶς εἶδεν εἰ μὴ οἱ πεπειραμένοι, οὕτω καὶ τὰ μαντεύματα οἱ μάντεις μόνοι γινώσκοντες τοῖς ἄλλοις διασαφοῦσιν.

1029. Ἐσχάραι] αἱ ἐςίαι.

Ib. Παντελεῖς] αἱ τὰ τελεια τῶν ἱερείων δεχόμεναι, ἢ ὅλαι, ἢ δι' ὧν πάντα τελειοῦται.

Ib. Ἐσχάραι τε] ἢ πρὸς τὸ παντελεῖς ὑποςικτέον, οὕτω, καὶ αἱ ἐσχάραι αἱ παντελεῖς, ἔγουν, ἐν αἷς πᾶσαι αἱ θυσίαι τελοῦνται· ἢ πρὸς τὸ πλήρεις, οὕτως, οἱ γὰρ βωμοὶ ἡμῖν καὶ αἱ ἐσχάραι πλήρεις καὶ πεπληρωμέναι εἰσὶ, παντελεῖς καὶ τέλειαι, τοῦ γόνου καὶ τοῦ υἱοῦ τοῦ Οἰδίποδος τοῦ πεπτωκότος καὶ πεσόντος δυσμόρου καὶ ἀθλίου. τὸ δ' ὑπ' οἰωνῶν τε καὶ κυνῶν βορᾶς, ἑρμηνεία ἐςὶ τοῦ πῶς εἰσὶ πλήρεις.

1030. Πλήρης ὑπ' οἰωνῶν τε καὶ κυνῶν βορᾶς] ἀντὶ τοῦ, οἱ κύνες καὶ οἱ ὄρνιθες διασπάσαντες τὸ τοῦ Πολυνείκους σῶμα, ἐπὶ τοὺς βωμοὺς ἐκόμισαν, καὶ οὕτως ἐμόλυναν ἅπαντας.

1032. Θυςάδας λιτὰς] τὰς διὰ θυσιῶν γιγνομένας λιτάς.

1034. Ἀποῤῥοιβδεῖ] ἀπηγεῖ. ἀφίησιν.

1035. Ἀνδροφθόρου βεβρῶτες] ἀπὸ τοῦ ἑνικοῦ ἐπὶ τὸ πληθυντικὸν μετέβη.

1038. Ἐπεὶ δ' ἁμάρτῃ] γνωμικόν.

1040. Ἀκεῖται] ἰᾶται. θεραπεύει.

Ib. Ἀκίνητος] ἀμετάθετος.

1041. Αὐθαδία τοι] διὰ τὴν αὐθάδειαν εἰς σκαιότητα πίπτουσιν οἱ ἄνθρωποι.

1043. Τίς ἀλκὴ τὸν θανόντ'] καὶ Ὅμηρος· "Κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων."

1044. Τὸ

Εὖ σοὶ φρονήσας, εὖ λέγω· " τὸ μανθάνειν
" Δ' ἥδιστον εὖ λέγοντος, εἰ κέρδος λέγει *. 1045
ΚΡΕ. Ὦ πρέσβυ, πάντες, ὥστε τοξόται σκοπῦ,
Τοξεύεῖ' ἀνδρὸς τῆδε, κἀδὲ μαντικῆς
Ἄπρακτος ὑμῖν εἰμι, τῶνδ' ὑπαὶ γένυς·
Ἐξημπόλημαι κἀκπεφόρβισμαι πάλαι.
Κερδαίνεῖ', ἐμπολᾶτε τὸν πρὸ Σάρδεων 1050
Ἤλεκτρον, εἰ βέλεσθε, καὶ τὸν Ἰνδικὸν
Χρυσόν· τάφῳ δ' ἐκεῖνον οὐχὶ κρύψετε.
Οὔδ' εἰ θέλεσ' οἱ Ζηνὸς αἰετοὶ βορὰν
Φέρειν νιν ἁρπάζοντες ἐς Διὸς θρόνους,
Οὐδ' ὡς μίασμα τῆτο μὴ τρέσας ἐγὼ, 1055
Θάπτειν παρήσω κεῖνον· " εὖ γὰρ οἶδ' ὅτι
" Θεὸς μιαίνειν ἔτις ἀνθρώπων σθένει.
" Πίπτουσι δ', ὦ γεραιὲ Τειρεσία, βροτῶν
" Χ' οἱ πολλὰ δεινοὶ, πῶμα' αἴσχρ', ὅταν λόγος

* Turn. in marg. φέρει.

1044. Τὸ μανθάνειν] γνωμικόν.

1046. Ὦ πρέσβυ] ὅτι βαρέως Κρέων τῶ μαντεύεσθαι δεχόμενος λόγον, δεινῶς καὶ αὐτὸ φέρει.

1047. Τυξεύεῖ' ἀνδρὸς τῆδε] ἤγουν, ἀποπειρᾶσθέ μου ὡς τοξόται σκοπῦ.

Ib. Ἀνδρὸς τῆδε] ἀντὶ τῦ, ἐμοῦ.

Ib. Ἄπρακτος ὑμῖν εἰμι] ὑφ' ὑμῶν τῶν μάντεων καὶ τῶν συγγενῶν.

Ib. Τοξεύεῖ' ἀνδρὸς τῆδε] μὴ λάβῃς εἰς τὸ τῦδε ἔξωθεν ἐπὶ τὴ καλὰ, ἀλλ' ἐςὶν ἡ γενικὴ πρὸς τὸ σκοπῦ, τὸ δὲ σκοπῦ πρὸς τὸ τοξόται· οἱ γὰρ τοξόται, σκοπῦ τοξόται εἰσίν. Ὦ πρέσβυ, πάντες ὡς τοξόται σκοπῦ τῆδε τῦ ἀνδρὸς, τῦτ' ἔςιν, ὥσπερ σκοπὸν ποιησάμενοί με, τοξεύετε.

1049. Ἐξημπόλημαι] ἀνεμπόλητος, μὴ πεπραγματευμένος. καὶ Ὅμηρος·

" οὔτε πωλητὸς ἐὼν οὔτε ἀνητός. "

Ib. Κἀκπεφόρβισμαι] προδέδομαι. φόρβις γεγένημαι. ἐποιήσανλό με φόρβιον. ὑποπέπραμαι. πεπραμάτευμαι.

1050. Τὸν πρὸ Σάρδεων Ἤλεκτρον] Σάρδις πόλις Λυδίας, παρακειμένη τῷ χρυσοφόρῳ Πακτωλῷ. ἀντὶ τῦ, εἴτι βέλεσθε εἰς χρήματα νεῦον, δέχεσθε. τὸν γὰρ Πολυνείκη ὁ Θάψελε.

Ib. Πρὸ Σάρδεων] ἐν γὰρ τῇ Λυδίᾳ πλησίον τῶν Σάρδεων ὁ Πακτωλὸς ἐςὶ πολλαὶς ψήγμαῖα χρυσῦ τοῖς ἐκεῖ χορηγῶν. καλεῖ γῦν τὸν χρυσὸν Ἤλεκτρον, διὰ τὸ καθαρόν. τοιῦτος γὰρ ὁ Ἤλεκτρος. ἔςι δὲ καὶ ἐν τῇ Ἰνδίᾳ τόπος χρυσῦ ψήγμαῖα ἔχων, ὃν ἀνορύτλουσι θηρία τινὰ, μύρμηκες καλέμενα, πλεροῖς χρώμενα, ἀφ' ὧν οἱ Ἰνδοὶ μηχαναῖς τισι λαμβάνουσι τὸν χρυσόν.

1057. Θεὸς μιαίνειν ἔτις ἀνθρώπων σθένει.] ἀμάρτυρον γὰρ τὸ θεῖον.

1058. Πίπτουσι δ'] γνωμικόν.

"Αἰσχρὺς καλῶς λέγωσι τοῦ κέρδους χάριν."
ΤΕΙ. Φεῦ.
Ἆρ' οἶδεν ἀνθρώπων τις; ἆρα φράζεται;
ΚΡΕ. Τί χρῆμα; ποῖον τοῦτο πάγκοινον λέγεις;
ΤΕΙ. "Ὅσῳ κράτιστον κτημάτων εὐβουλία;"
ΚΡΕ. Ὅσῳ περ, οἶμαι, μὴ φρονεῖν, πλείστη βλάβη.
ΤΕΙ. Ταύτης σὺ μέντοι τῆς νόσου πλήρης ἔφυς.
ΚΡΕ. Οὐ βούλομαι τὸν μάντιν ἀντειπεῖν κακῶς.
ΤΕΙ. Καὶ μὴν λέγεις, ψευδῆ με θεσπίζειν λέγων.
ΚΡΕ. Τὸ μαντικὸν γὰρ πᾶν φιλάργυρον γένος.
ΤΕΙ. Τὸ δ' ἐκ τυράννων, αἰσχροκέρδειαν φιλεῖ.
ΚΡΕ. Ἆρ' οἶσθα ταγοὺς ὄντας, ἃ ἂν λέγῃς, λέγων;
ΤΕΙ. Οἶδ'· ἐξ ἐμοῦ γὰρ τήν δ' ἔχεις σώσας πόλιν.
ΚΡΕ. Σοφὸς σὺ μάντις· ἀλλὰ τἀδικεῖν φιλῶν.
ΤΕΙ. Ὄρσεις με τἀκίνητα διὰ φρενῶν φράσαι.
ΚΡΕ. Κίνει· μόνον δὲ μὴ 'πὶ κέρδεσιν λέγων.
ΤΕΙ. Οὕτω γὰρ ἤδη καὶ δοκῶ, τὸ σὸν μέρος,
ΚΡΕ. Ὡς μὴ 'μπολήσων ἴσθι τὴν ἐμὴν φρένα.
ΤΕΙ. Ἀλλ' εὖ γέ τοι κάτισθι, μὴ πολλοὺς ἔτι
Τροχοὺς ἁμιλλητῆρας ἡλίου τελῶν,
Ἐν οἷσι τῶν σῶν αὐτὸς ἐκ σπλάγχνων ἕνα

1061. Φεῦ] τὸ σχῆμα δικανικόν.

1066. Τῆς νόσου πλήρης ἔφυς] ἀντὶ τοῦ, τῆς ἀβουλίας.

1067. Ἀντειπεῖν] ὥσπερ τὸ λέγω, μόνον πρὸς δοτικὴν συντάσσεται, μετὰ δὲ τοῦ κακῶς συντεθὲν, αἰτιατικῇ, οὕτως ἔχει καὶ τὸ ἀντεῖπε, καὶ τὸ κακῶς ἀντεῖπε. τὸ μὲν δοτικῇ, τὸ δὲ κακῶς ἀντεῖπεν, αἰτιατικῇ.

1071. Ἆρ' οἶσθα ταγοὺς ὄντας] οἶσθα (φησὶ) βασιλέας ὑβρίζων;

Ib. Ἆρ' οἶσθα] ἆρα γινώσκεις λέγων ἡμᾶς ὄντας ταγοὺς, ἐκεῖνα ἃ λέγεις; τοῦτ' ἔστιν, ἆρα γινώσκεις οὐ τοὺς τυχόντας ὑβρίζων, ἀλλὰ βασιλεῖς;

1074. Ὄρσεις με τἀκίνητα] τὰ ἄῤῥητά με δημοσιεύειν ἀνακινεῖς.

Ib. Τἀκίνητα] τἀκίνητα χρὴ γράφειν, ἵνα εἴη μακρὸν τὸ α ὡς ἐκ κράσεως ὄν· εἰ δ' ἄλλως γράψεις, οὐκ ὀρθὸν ἔσται.

1076. Οὕτω γὰρ ἤδη] οὕτω νομίζεις, ὅτι ἐπὶ κέρδεσι λέγω.

1077. Ὡς μὴ 'μπολήσων] μὴ ἐξαπατήσων.

1078. Ἀλλ' εὖ γέ τοι] προαγόρευσις ὧν μέλλει παθεῖν Κρέων.

1079. Τροχοὺς ἁμιλλητῆρας] ὥσπερ ἐξ ἁμίλλης περιϊόντας· λέγει δὲ τὰς ἡμέρας καὶ νύκτας. Περιστρέφοντος γὰρ τοῦ οὐρανοῦ τὸν ἥλιον, ἀεὶ ἡμέρα καὶ νὺξ γίνεται.

1082. Ἔχει

Νέκυν νεκρῶν ἀμοιβὸν ἀνίδρις ἔσῃ.
Ἀνθ' ὧν ἔχεις μὲν τῶν ἄνω βαλὼν κάτω,
Ψυχὴν τ' ἀτίμως ἐν τάφῳ καθώκισας·
Ἔχεις δὲ τῶν κάτωθεν ἐνθάδ' οὖ θεῶν
Ἄμοιρον, ἀκλέριστον, ἀνόσιον νέκυν.
Ὧν οὔτε σοὶ μέτεστιν, οὔτε τοῖς ἄνω
Θεοῖσιν, ἀλλ' ἐκ σοῦ βιάζονται τάδε.
Τούτων σε λωβῆτῆρες ὑστεροφθόροι
Λοχῶσιν ἄδε, καὶ θεῶν Ἐρινύες,
Ἐν τοισίν αὐτοῖς τοῖσδε λῃφθῆναι κακοῖς.
Καὶ ταῦθ' ὁρήσον εἰ καθηρπασμένος
Λέγω· φανεῖ χὰρ ὀ μακρᾷ χρόνῳ τριβή,
Ἀνδρῶν, γυναικῶν σοῖς δόμοις κωκύματα·
Ἐχθραὶ δὲ πᾶσαι συλαράσσονται πόλεις,
Ὅσων σπαράγματ' ἡ κύνες καθήγνισαν,
Ἢ θῆρες, ἤ τις πτηνὸς οἰωνὸς; φέρων
Ἀνόσιον ὀσμὴν ἑστίοῦχον ἐς πόλιν.
Τοιαῦτά σε (λυπεῖς γὰρ) ὥσε τοξότης

1082. Ἔχεις βαλὼν] ἀντὶ τοῦ, ἔβαλες.
1083. Ψυχὴν τ' ἀτίμως] τὴν τῆς Ἀντιγόνης.
Ib. Ψυχὴν τ' ἀτίμως] τὸ ψυχὴν, καὶ πρὸς τὸ βαλὼν, καὶ πρὸς τὸ καθώκισας, λάμβανε κατὰ συνεκδοχήν.
1086. Ἀνόσιος] νῦν τὴν μὴ τυχοῦσαν τῶν ὁσίων λέγει.
Ib. Ὧν οὔτε σοὶ μέτεστιν] ἐξουσία δέδοται· λέγει δὲ τῶν νεκρῶν. ἐκ σοῦ δὲ βιάζονται καὶ οἱ ἄνω θεοὶ ἔχειν αὐτὸν ἄνω ἀταφον.
1088. Ὑστεροφθόροι] αἱ ὕστερον μέλλουσαι φλάψαι. Καὶ τὸ λοχῶσι γὰρ, τὴν ἀ παραχρῆμα, ἀλλὰ τὴν ἐς ὕστερον ἀποβησομένην τιμωρίαν δηλοῖ. Τὸ ἀρσενικὸν δὲ ἀντὶ τοῦ θηλυκοῦ ἔταξεν, ὡς καὶ τὸ σωτῆρι ψυχῇ.
1091. Καθηρπασμένος] ἀρπάζω πεῖσθαι.
1092. Φανεῖ] δείξει.
Ib. Χρόνῳ τριβὴ] ἀντὶ τοῦ, ἀναβολή.
1093. Ἀνδρῶν, γυναικῶν] λείπει ὁ καὶ, ἀνδρῶν καὶ γυναικῶν.
1094. Ἐχθραὶ δὲ πᾶσαι] ἡ Θηβαίοις ἐχθραὶ, ἢ τοῖς Θεοῖς· αἱ πόλεις δὲ (φησὶν) ὧν ἄρχεις ἐπαναστήσονταί σοι.
1095. Καθήγνισαν] μετὰ ἀγνείας ἐνήρισαν.
1097. Ἑστιοῦχον ἐς πόλιν] ἀντὶ τοῦ, ἐπὶ τὴν ἑστίαν τῆς πόλεως. ἑστιοῦχον δὲ τὴν ἔχουσαν ἑστίαν καὶ βώμους.
1098. Τοιαῦτά σε (λυπεῖς γὰρ)] τοιαῦτα καλὰ τῆς καρδίας σὺ τοξευμάτα ἀφῆκα μετὰ θυμοῦ. ἢ, τῷ θυμῷ τῆς καρδίας σου, λείπει δὲ ἡ καλα.
Ib. Τοξότης] τοῦτο λέγει διὰ τὸν λόγον αὐτοῦ ὃν ἄνωθεν ἔφη, πάντες ὥσπερ τοξόται σκοπῷ τοξεύει· ἀνδρὸς τοῦδε· διὸ προσέθηκε καὶ τὸ βέβαια, δεικνὺς ἐνθεῦθεν, ὅτι ἃ σὺ ὑπολαμβάνεις ἐξ ἡμῶν ἐπὶ σοὶ φέρεσθαι κενὰς χάριν, ψευδᾶς λογίζῃ.

1100. Τῶν

Ἀφῆκα θυμῷ καρδίας τοξεύματα
Βέβαια, τῶν σὺ θάλπος οὐχ ὑπεκδραμῇ.
Ὦ παῖ, σὺ δ' ἡμᾶς ἄπαγε πρὸς δόμους, ἵνα
Τὸν θυμὸν οὗτος ἐς νεωτέρους ἀφῇ,
Καὶ γνῷ τρέφειν τὴν γλῶσσαν ἡσυχωτέραν,
Τὸν νοῦν τ' ἀμείνω τῶν φρενῶν, ἢ νῦν φέρει.
ΧΟΡ. Ἀνὴρ, ἄναξ, βέβηκε δεινὰ θεσπίσας·
Ἐπιςάμεσθα δ', ἐξότου λευκὴν ἐγὼ
Τήνδ' ἐκ μελαίνης ἀμφιβάλλομαι τρίχα,
Μὴ πώποτ' αὐτὸν ψεῦδος ἐς πόλιν λακεῖν *.
ΚΡΕ. Ἔγνωκα καὐτὸς, καὶ ταράσσομαι φρένας·
Τό, τ' εἰκάθειν γὰρ δεινόν· ἀντιςάντα δὲ
Ἄτῃ πατάξαι θυμὸν, ἐν δεινῷ πάρα.
ΧΟΡ. Εὐβουλίας δεῖ, παῖ Μενοικέως, Κρέον.
ΚΡΕ. Τί δῆτα χρὴ δρᾷν, φράζε· πείσομαι δ' ἐγώ.
ΧΟΡ. Ἐλθὼν, κόρην μὲν ἐκ κατώρυχος ςέγης
Ἄνες· κτίσον δὲ τῷ προκειμένῳ τάφον.
ΚΡΕ. Καὶ ταῦτ' ἐπαινεῖς, καὶ δοκεῖς παρεικάθειν;
ΧΟΡ. Ὅσον γ', ἄναξ, τάχιςα· "συντέμνουσι γὰρ
"Θεῶν ποδώκεις τοὺς κακόφρονας βλάβαι."

* Aldus, λαβεῖν.

1100. Τῶν σὺ θάλπος] τὴν δριμύτητα, τὸν ἐμπρησμὸν, τὸν ἰὸν· θάλπος γὰρ τὸ καῦμα. ἐκ μεταφορᾶς δὲ τῶν ἑρπετῶν. ἐκεῖνα γὰρ θερμαινόμενα, τὸν ἰὸν ἀφίησι. διὸ καὶ ἐν θέρει μᾶλλον ἰσχύουσιν.

1106. Ἐξ ὅτου λευκὴν ἐγὼ τήνδ' ἐκ μελαίνης] ἀντὶ τοῦ, ἀπὸ νεότητος ἄχρι γηρως.

1108. Λακεῖν] φθέγξασθαι.

1110. Τὸ, τ' εἰκάθειν] τὸ μὲν ὑποχωρεῖν, δεινόν· τὸ δὲ ἀντιςάντα βλαβῆναι, πάρεςι.

Ib. Τό, τ' εἰκάθειν] καὶ γὰρ τὸ εἰκάθειν καὶ ὑποτάσσεσθαι τῷ μάντει, καὶ θάπτειν ἐᾶν Πολυνείκην, καὶ Ἀντιγόνην ἐξελαύνειν τοῦ τάφου, δεινόν. πολλοὺς γὰρ εἰσαῦθις ὁμοίους εἶναι προτρέψεται, εἰδότως ὡς οὗτοι κακοὶ ὄντες οὐκ ἐκολάσθησαν. τὸ δ' ἀντιςάντα με αὐτῷ πατάξαι τὸν θυμὸν αὐτοῦ ἐν ἄτῃ καὶ ἐν βλάβῃ, τοῦτ' ἔςι τὸ διὰ μάχης ἐλθεῖν με αὐτῷ, καὶ τὴν ἀναίδειαν καὶ θρασύτητα αὐτοῦ ἢν πρὸς ἐμὲ ἐνεδείξατο, τιμωρήσασθαι, ἐν δεινῷ πάρεςι. θεῖον γὰρ τῶν μάντεων γένος, καὶ οὐχ οὕτω δεῖ πρὸς αὐτοὺς ἀπαντᾶν, ἀλλὰ γεραίρειν τιμαῖς.

1117. Συντέμνουσι γὰρ] συντόμως κατακόπτουσι, καὶ βλάπτουσι.

1119. Οἴμοι,

ΚΡΕ. Οἴμοι, μόλις μὲν, καρδίας δ' ἐξίσαμαι
Τὸ δρᾶν· "ἀνάγκη δ' ἐχὶ δυσμαχήλεον." 1120
ΧΟΡ. Δρᾶ νῦν τάδ' ἐλθὼν, μηδ' ἐπ' ἄλλοισι τρέπε
ΚΡΕ. Ὧδ' ὡς ἔχω σείχοιμ' ἄν· οἵ τ' ὀπάονες,
Οἵ τ' ὄνλες, οἵ τ' ἀπόνλες ἀξίνας χεροῖν
Ὀρμᾶσθ' ἑλόνλες εἰς ἐπόψιον τόπον.
Ἐγώ δ', ἐπειδὰν δόξα τῇδ' ἐπεσράφη, 1125
Αὐτός τ' ἔδησα, καὶ παρὼν ἐκλύσομαι.
Δέδοικα γὰρ μὴ τὰς καθεζώτας νόμως
Ἄριζον ἢ σώζονλα, τὸν βίον τελεῖν.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Πολυώνυμε, Καδμείας
Νύμφας ἄγαλμα, καὶ Διὸς 1130
Βαρυβρεμέτα γένος,
Κλυβὰν ὃς ἀμφέπεις
Ἰταλίαν, μέδεις δὲ παγ-
κοίνε Ἐλευσινίας
Δηοῦς ἐν κόλποις, 1135
Βακχεῦ Βακχᾶν

1119. Οἴμοι, μόλις μὲν] μόγις μεθίσαμαι τῆς προτέρας γνώμης.
1120. Δυσμαχήλεον] περιττεύει τὸ Δυς.
1121. Δρᾶ νῦν] ἀντὶ τοῦ, δρᾶσον.
1124. Εἰς ἐποψιον τόπον] φανερὸν διὰ τὸ ὕψος. φησὶ δὲ τὸν τάφον.
1125. Δόξα τῇδ' ἐπεσράφη] δοκήσει μετετράπη.
1126 Αὐτός τ' ἔδησα] ἦγον, ἐδέσμευσα καὶ εἰσήγαγον εἰς τὸ ὄρυγμα αὐτήν. ἢ δεσμὸν λίγει ὅπερ εἴς τε αὐτὴν καὶ τὸν Πολυνείκην ἐκύρωσεν.
1127. Δέδοικα γὰρ μὴ] δέδοικα γὰρ (φησὶ) μὴ ὃν ἔχει καλὸν τὸ νομοθετεῖν καινὰ, ἀλλ' ἄριζόν ἐζι τὸ πείθεσθαι τοῖς ἀρχαίοις νόμοις.
1129. Πολυώνυμε] ὦ Διόνυσε· οἱ μὲν γὰρ Βάκχον, οἱ δὲ Ἴακχον, οἱ δὲ Λύαιον, οἱ δὲ Εὔϊον, οἱ δὲ Διθύραμβον αὐτὸν καλοῦσιν.
1132. Ἀμφέπεις Ἰταλίαν] διὰ τὸ πολυανθρώπευτον εἶναι τὴν χώραν.
1133. Παγκοίνους Ἐλευσινίας] ἐν οἷς πάντες συνάγονται διὰ τὰς πανηγύρεις. ἢ διὰ τὸ τὴν Θεὸν πάντας τρέφειν· ἢ ὅτι κοινὰ τὰ μυζήρια Δήμητρος καὶ Διονύσου.
1135. Δηοῦς ἐν κόλποις] ἀντὶ τοῦ, ἐν τοῖς πεδίοις.
1136. Ὦ Βακχεῦ Βακχᾶν] τῶν Βακχῶν Βακχεῦ.
Ib. Βακχᾶν μητρόπολιν] ἐπειδὴ ἐν Θήβαις ὁ Διόνυσος μὲν γέγονεν, ὅτος δὲ τὰς Βάκχας ποιοῖνται, διὰ τοῦτο μητρόπολιν αὐτὴν τῶν Βακχῶν λέγει.
1137. Μητρόπολιν]

Μητρόπολιν Θήβαν ναίων,
Παρ' ὑγρῶν Ἰσμηνοῦ
Ῥεέθρον, ἀγρίου
Τ' ἐπὶ σπορᾷ δράκοντος.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

Σὲ δ' ὑπὲρ διλόφου πέτρας
Στέροψ ὄπωπε λιγνὺς, ἔν-
θα Κωρύκιαι νύμφαι
Στείχουσι Βακχίδες,
Κασταλίας τε νᾶμα, καί
Σε Νυσσαίων οὐρέων *
Κισσήρεις ὄχθαι,
Χλωρά τ' ἀκτὰ
Καὶ πολυσάφυλος πέμπει,
Ἀβρότων † ἐπέων εὐ-
αζόντων, Θηβαίας
Ἐπισκοποῦντ' ἀγυιάς.

* Aldus, ὀρέων. † Aldus, Ἀμβρότων.

1137. Μητρόπολιν] τὴν πόλιν τῆς μητρός σου.

1139, 1140. Ἀγρίου τ' ἐπὶ σπορᾷ δράκοντος] παρὰ τὸν τόπον ἐν ᾧ ἐσπάρησαν οἱ ὀδόντες τοῦ δράκοντος.

1141. Σὲ δ' ὑπὲρ διλόφου πέτρας] τοῦ Παρνασσοῦ δηλονότι. τοιοῦτο γάρ ἐστι τὸ ὄρος.

1142. Στέροψ] ἡ λαμπρά.

Ib. Ὄπωπε λιγνὺς] σὲ ὁρᾷ ὁ λαμπρὸς καπνός. ἀντὶ τοῦ, σοὶ θυσίαι κατὰ Παρνασσὸν γίγνονται. ἢ παρόσον αὐτόμαλον πῦρ ἐκεῖσε ἀναδίδοται.

1143. Κωρύκιαι νύμφαι] Κωρύκιον ἐν Παρνασσῷ ἄντρον. ἄλλοι δέ φασι πόλιν παρακειμένην αὐτῷ οὕτω καλουμένην.

Ib. Κωρύκιαι] αἱ Παρνασσίδες. Κωρύκιον γὰρ ἄντρον ἐν Παρνασσῷ.

1145. Κασταλίας τε νᾶμα] Κασταλία, πηγὴ ἐν Παρνασσῷ.

1146. Νυσσαίων ὀρέων] Νύσσα Φωκίδος ὄρος. εἰσὶ δὲ καὶ ἄλλαι πολλαὶ Νύσσαι.

1147. Κισσήρεις] κισσοφόροι.

1148. Χλωρά τ' ἀκτὰ] ἢ τὸ ἐν Εὐβοίᾳ φησιν ἄλσος, ἢ τὸ ἐν Παρνασσῷ, ἐν ἀμφοτέροις γὰρ τοῖς τόποις ἡ ἄμπελος, ἣ καθ' ἑκάστην ἡμέραν περὶ μὲν τὴν ἕω βότρυας φέρει, περὶ δὲ τὴν μησημβρίαν, ὄμφακας· ἐτρυγᾶτο δὲ πεπανθεῖσα περὶ τὴν ἑσπέραν.

1150. Εὐαζόντων] ὑμνούντων. μετὰ εὐφημίας Εὐοῖ λεγόντων, ὅς ἐστιν ὕμνος Διονύσου.

Ib. Νυσσαίων οὐρέων] Νύσσα πόλις ὑπὲρ Αἰθιοπίαν παρακείμενον ἔχουσα ὄρος, ἐφ' οὗ ἐτιμᾶτο ὁ Διόνυσος.

1155. Κεραυνίᾳ]

ΣΤΡΟΦΗ Β.

Τάν ἐξ ἁπασᾶν τιμᾶς
Ὑπερλάταν πόλεων,
Μαλρὶ σὺν κεραυνίᾳ.
Καὶ νυν, ὡς βιαίας
Ἔχελαι πάνδημος πόλις
Νῦν ἐπὶ νόσῳ, μολεῖν
Καθαρσίῳ ποδὶ Παρ-
νησίαν ὑπὲρ κλιτὺν,
Ἢ ϛονόεντα πορθμόν.

ΑΝΤΙΣΤΡΟΦΗ Β.

Ὦ πῦρ πνεόντων ἄστρων
Χοραγὲ, καὶ νυχίων
Φθεγμάτων ἐπίσκοπε,
Παῖ Διὸς γένεθλον,

1155. Κεραυνίᾳ] κεραυνοβλήτῳ.

1158. Ἐπὶ νόσῳ μολεῖν] λείπει θέλησον· ἢ, ἀπαρέμφατον ἀντὶ προσακλικῆ.

1159, 1160. Παρνησίαν ὑπὲρ κλιτὺν] ἀντὶ τῆ, Παρνησίας ὑπὸ κλίνους. οἷον διὰ γῆς, ἢ δι' ὑγρᾶς.

1161. Ἢ ϛονόεντα πορθμὸν] ἢ ϛονόεντος διὰ πωθμοῦ· καὶ ὁ ποιητὴς, Ὀδ' ἔϛενεν οἰδμαῖι θύων. ϛονόεντα δὲ, τὸν ἠχώδη διὰ τὰ κύμαλα. πορθμὸν δὲ, ἔνιοι, τὸν ἀπ' Εὐβοίας εἰς Βοιωΐαν· οἱ δὲ, τὴν Σικελικὴν θάλασσαν.

1162. Ὦ πῦρ] ἕπω χρὴ γράφειν, πῦρ πνεόντων ἄστρων χοραγὲ, ἵν' ᾖ τὰ κῶλα ὅμοια τοῖς τῆς ϛροφῆς· ἀμαθεῖς γάρ τινες τὰν μέτρων τοῦτ' ἐνήλλαξαν, χορηγὲ ἄστρων γράψαντες. καλεῖ δὲ πῦρ πνεόντα ἄστρα, τὰς λαμπάδας, ἃς ἐν νυκτὶ οἱ Βάκχαι καλέχουσι.

1162, 1163. Ἰὼ πῦρ πνεόντων ἄστρων χοραγὲ] τῶν πυρπνόων ἄστρων ἐπίσκοπε. καὶ γὰρ αἰθέριοις τιμᾶται, ὡς καὶ Εὐριπίδης ἐν Βάκχαις, φησὶν αὐτὸν ἐν αἰθέρι καλοικεῖν. Ἄλλως· χοραγὲ, τὸν χορὸν ἄγων· ἢ τῶν ἄστρων χορηγέ. καλὰ γάρ τινα μυϛικὸν λόγον, τῶν ἀϛέρων ἐϛὶ χορηγός.

1163. Καὶ τυχίων φθεγμάτων] τῶν ἐν νυκτὶ εὐφημιῶν καὶ ὕμνων. ἐν νυκτὶ γὰρ αἱ Διονυσιακαὶ χορεῖαι γίγνονται, ὅθεν καὶ Νυκτέλιος. καὶ Εὐριπίδης·

"Νύκτωρ τὰ πολλὰ, σεμνότητ' ἔχει σκό-
"τος."

1164. Φθεγμάτων ἐπίσκοπε] ἤγουν, ὕμνων τῶν Βακχικῶν, ἐπειδὲ καὶ τὴν νύκτα ἐγίνοντο τὰ τῆ Διονύσῳ μυϛήρια.

1166. Προφάπθη

Προφάνηθι ξὺν Ναξίαις
Σαῖς Θυάσι περισπόλοις,
Αἳ δή σε μαινόμεναι
Πάννυχοι χορεύουσι
Τὸν ταμίαν Ἴακχον.

ΙΑΜΒΟΙ.

ΑΓΓ. Κάδμου πάροικοι καὶ δόμων Ἀμφίονος,
Οὐκ ἔστ' ὁποῖον φάρ' ἂν ἀνθρώπου βίον
Οὔτ' αἰνέσαιμ' ἂν, ἔστε μεμψαίμην πρόσω.
" Τύχη γὰρ ὀρθοῖ, καὶ τύχη καταρρέπει
" Τὸν εὐτυχοῦνθ' τόν τε δυσυχοῦνθ' ἀεί."
Καὶ μάντις οὐδεὶς τῶν καθεστώτων βροτοῖς.
Κρέων γὰρ ἦν ζηλωτὸς, ὡς ἐμοί πρόσθε,
Σώσας μὲν ἐχθρῶν τήνδε Καδμείαν χθόνα,
Λαβών τε χώρας παντελῆ μοναρχίαν,
Εὔθυνε, θάλλων εὐγενεῖ τέκνων σπορᾷ·
Καὶ νῦν ἀφεῖται πάντα· " τὰς γὰρ ἡδονὰς
" Ὅταν προδῶσιν ἄνδρες, οὐ τίθημ' ἐγὼ
" Ζῆν τοῦτον, ἀλλ' ἔμψυχον ἡγοῦμαι νεκρόν.
" Πλούτει τε γὰρ κατ' οἶκον, εἰ βούλει, μέγα,

1166. Προφάνηθι ξὺν Ναξίαις] ἦγεν, ταῖς ἐκ Νάξου· κἀκεῖ γὰρ ἐτιμᾶτο ὁ Διόνυσος συμμιγεὶς Ἀριάδνῃ. ξὺν Ναξίαις δὲ γράφε, (ἵνα γὰρ ἁρμόζει τῷ μέτρῳ) καὶ, σαῖς Θυάσι περισπόλοις. εἰ δ' ἄλλως γράψεις, οὐκ ὀρθῶς γράψεις.

1167. Περιπόλοις] ταῖς ἱερείαις, ταῖς σαῖς ἀκολούθοις. καὶ ἐν Νάξῳ γὰρ τιμᾶται, ὅτι ἐκεῖ τῇ Ἀριάδνῃ συνεγένετο.

1168. Αἳ σε μαινόμεναι] λείπει ἡ περὶ, ἣν ἦ, αἴτινες περὶ σέ.

1171. Κάδμου] ἄφιξις ἀγγέλου, μηνύοντος τὸν θάνατον Αἵμονος.

1172. Οὐκ ἔστ' ὁποῖον φάρ' ἂν] οὐκοῦν δήποτε βεβιωκότα, εἴτε καλῶς, εἴτε ἐναντίως.

1174. Καὶ τύχη καταρρέπει] πίπτει, καταβάλλει, γράφεται δὲ καταρρέπειν, ὃ ἐστι πίπτειν ποιεῖ.

1175. Δυσυχοῦνθ' ἀεί] τὸ ἀεὶ πρὸς τὸ ὀρθοῖ καὶ πρὸς τὸ καταρρέπει συναπτέον.

1176. Καθεστώτων βροτοῖς] τῶν συμβαινόντων, τῶν γινομένων, ὁποῖα ἔσται, εἰ ἀεὶ ὡσαύτως ἔξουσι.

1177. Ὡς ἐμοί πρόσθε] λείπει ἐδόκει.

1181. Καὶ νῦν ἀφεῖται πάντα] ἀπολέλυται, ἀπόλλυται. Ἄλλως· ἀφεῖται πάντα, ἡ μεταφορὰ ἀπὸ τῶν παιζόντων τοῖς κύβοις· ἢ ἀπὸ τῶν ἁλιέων. βόλος γὰρ ἡ τοῦ δικτύου ἄφεσις.

1185. Καὶ

" Καὶ ζῇ τύραννον σχῆμ' ἔχων· ἐὰν δ' ἀπῇ 1185
" Τέτων τὸ χαίρειν, τἄλλ' ἐγὼ καπνὸς σκιᾶς
" Οὐκ ἂν πριαίμην ἀνδρὶ πρὸς τὴν ἡδονήν."

ΧΟΡ. Τί δ' αὖ τόδ' ἄχθος βασιλέων ἥκεις φέρων;

ΑΓΓ. Τεθνᾶσιν· οἱ δὲ ζῶντες, αἴτιοι θανεῖν.

ΧΟΡ. Καὶ τίς φονεύει; τίς δ' ὁ κείμενος; λέγε. 1190

ΑΓΓ. Αἵμων ὄλωλεν, αὐτόχειρ δ' αἱμάσσεται.

ΧΟΡ. Πότερα πατρῴας ἢ πρὸς οἰκείας χερός;

ΑΓΓ. Αὐτὸς πρὸς αὐτόν, πατρὶ μηνίσας φόνε.

ΧΟΡ. Ὦ μάντι, τέλπος ὡς ἄρ' ὀρθὸν ἤνυσας!

ΑΓΓ. Ὡς ὧδ' ἐχόντων, τἄλλα βουλεύειν πάρα. 1195

ΧΟΡ. Καὶ μὴν ὁρῶ τάλαιναν Εὐρυδίκην ὁμοῦ
Δάμαρτα τὴν Κρέοντος· ἐκ δὲ δωμάτων
Ἥτοι κλύουσα παιδὸς, ἢ τύχῃ πάρα.

ΕΥΡ. Ὦ πάντες ἀστοὶ, τὸ λόγω γ' ἐπησθόμην
Πρὸς ἔξοδον στείχουσα Παλλάδος θεᾶς, 1200
Ὅπως ἰκοίμην εὐγμάτων προσήγορος.

1185. Καὶ ζῇ] ἀντὶ τοῦ, ζῆθι, πρασακλικῶς.

1186. Τἄλλ' ἐγὼ καπνὸς σκιᾶς] τὰ ὑπόλοιπα ἐδ' ἂν ἀχρήστου τινὸς πριαίμην.

1189. Οἱ δὲ ζῶντες, αἴτιοι] τέτοις δὲ τοῦ θανεῖν αἴτιοι ἐγένοντο οἱ ζῶντες.

1192. Πότερα πατρῴας] τὸ χ, ὅτι ἐρωτᾷ πότερα πατρῴας ἢ πρὸς οἰκείας χερὸς, ἀκέσας ἤδη ὅτι αὐτόχειρ ἀπέθανεν.

1196. Τάλαιναν Εὐρυδίκην] Ἡσίοδος Ἡνιόχην αὐτὴν καλεῖ, Ἰκέλο δ' ἐς Κρέοντα καὶ Ἡνιόχην.

Ib. Ὁμοῦ] ἑνός.

Ib. Ἥτοι κλύουσα παιδὸς] μὴ λάβῃς εἰς τὸ παιδὸς ἔξωθεν τὸ περὶ, ἀλλὰ πρὸς τὸ κλύουσα ἐστὶν ἡ γενικὴ. τὸ γὰρ κλύειν τοῦ παιδὸς ἦν. τοῦτ' ἔστιν, ἐκεῖνος παρέσχε τοῦτο καὶ αἴτιος γέγονεν.

1198. Κλύουσα παιδὸς] λείπει ἡ περὶ, ἵν' ᾖ, περὶ τῆς παιδός.

Ib. Ἢ τύχη πάρα] ὃ ἐστιν ἐκ τύχης.

1200. Παλλάδος θεᾶς] ἡ τοιαύτη γενικὴ τὸ Παλλάδος πρὸς τὸ ἔξοδον ἐστιν. αὕτη γὰρ ἦν ἡ τῆς ἐξόδου αἰτία. ἡ πρὸς τὸ στείχουσα ὑποστιλέον, ἵν' εἴη τὸ προσήγορος πρὸς τὸ Παλλάδος· (ἐ γὰρ μόνον τὸ προσήγορος πρὸς τὸ δεῖνα, ἀλλὰ καὶ τοῦ δεῖνος φαμὲν) ἔτω, στείχουσα καὶ πορευομένη πρὸς ἔξοδον, ὅπως καὶ ἵνα ἰκοίμην καὶ ἔλθοιμι προσήγορος καὶ συνόμιλος τῆς Παλλάδος θεᾶς εὐγμάτων καὶ εὐχῶν. τοῦτ' ἔστιν, ἵν' εὐχὰς αὐτῇ προσφέρω. μὴ ξενισθῇς δὲ πρὸς τὰς δύο γενικὰς, τὸ Παλλάδος καὶ τὸ εὐγμάτων. ὥσπερ γάρ φαμεν, διδάσκαλος τῶν παίδων εἰμὶ μαθημάτων, ἔτως καὶ τοῦτο.

1201. Εὐγμάτων προσήγορος] δι' εὐχῶν προσαλοιεύουσα.

Καὶ τυγχάνω γε κλεῖθρ' ἀνασπασᾶ πύλης
Χαλῶσα, καί με φθόγγος οἰκείᾳ κακῇ
Βάλλει δι' ὤτων· ὑπλία δὲ κλίνομαι
Δείσασα πρὸς δμωαῖσι, κἀποπλήσσομαι.
Ἀλλ' ὅσις ἦν ὁ μῦθος, αὖθις εἰπάτε.
Κακῶν γὰρ ἐν ἄπειρος ἕσ' ἀκούσομαι.

ΑΓΓ. Ἐγώ, φίλη δέσποινα, καὶ πάρων, ἐρῶ,
Κοὐδὲν παρήσω τῆς ἀληθείας ἔπος.
Τί γάρ σε μαλθασσοιμ' ἂν ὧν ἐς ὕστερον
Ψεύσαι φανέμεθ'; "ὀρθὸν ἡ ἀλήθει' ἀεί."
Ἐγὼ δὲ σῷ πόδαγὸς ἑσπόμην πόσει
Πεδίον ἐπ' ἄκρον, ἔνθ' ἔκειτο νηλεὲς
Κυνοσπάρακτον σῶμα Πολυνείκους ἔτι·
Καὶ τὸν μέν, αἰτήσαντες ἐνοδίαν θεὸν
Πλούτωνά τ' ὀργὰς εὐμενεῖς καθασχέθειν,
Λόσαντες ἀγνὸν λεβρὸν, ἐν νεοσπάσι
Θαλλοῖς, ὃ δὴ λέλειπτο, συγκαλῄθομεν.
Καὶ τύμβον ὀρθόκρανον οἰκείας χθονὸς
Χώσαντες, αὖθις πρὸς λιθόστρωτον κόρης

1202. Ἀνασπασᾶ] δυσχερῶς ἀνασπωμένης, καὶ ἀνοιγομένης.

Ib. Ἀναστάσα πύλης] ἤγειρε, βεβαίως τὰ κλεῖθρα τῶν πυλῶν ἀνέστων· ἐ γὰρ δύναμαι φέρειν τὴν ἀκοήν. δέον δ' εἰπεῖν ἀναστάσα, ἀναστάσα πρὸς τὸ πύλης εἶπεν.

1204. Ἀποπλήσσομαι] ἐκπλήττομαι.

1208. Ἐγὼ, φίλη δέσποινα] τοῦτο ὅτω συντάξεις, ὦ φίλη δέσποινα, ἐγὼ παρὼν ἐνταῦθα ἐρῶ καὶ εἶπα ὅσα δηλονότι προεῖπον, καὶ οὐδὲν ἔπος τῆς ἀληθείας παρήσω καὶ καλαλείψω.

Ib. Ἐγὼ, φίλη] προκαλάσασις καὶ δίηγησις ὅπως εὗρον τεθνηκότα τὸν Αἵμονα.

1209. Παρήσω] παραλιμπάνω.

1210. Μαλθάσσοιμ' ἂν] ἀπαλήσαιμι.

1212. Ἑσπόμην πόσει] ἀποῤῥήσειεν ἄν τις πῶς τῷ ἕπεσθαι καὶ ὁδηγεῖν ἐναντίων ὄντων, ὅτος φησὶν, ἐγὼ δὲ σῷ πόδαγὸς ἑσπόμην πόσει· καὶ φαμὲν ὅτι διὰ τοῦτο λέγει τὸ ἑσπόμην, διότι δῆλος ἦν· οἱ δὲ δῆλοι τῇ τῶν δεσπόλων ἀγωγῇ γνώμῃ. τὸ πόδαγὸς δὲ, διότι ὅτος τότε τὸν αὐτῶν δεσπότην προέπεμπεν.

1213. Ἐνθ' ἔκειτο νηλεὲς] ἀντὶ τοῦ, ἐλέους μὴ τυχόν.

1215. Καὶ τὸν μὲν] πρὸς τὸ ἑξῆς, καὶ τὸν μὲν λύσαντες.

Ib. Ἐνοδίαν θεὸν] τὴν Ἑκάτην, ἢ τὴν Περσεφόνην.

1218. Θαλλοῖς] ξύλοις.

Ib. Συγκαλῄθομεν] συγκαλεκαίομεν.

1219. Ὀρθόκρανον] ὑψηλόν.

1221. Νυμφεῖον]

Νυμφεῖον ἅδε κοῖλον εἰσεβαίνομεν.
Φωνῆς δ' ἄπωθεν ὀρθίων κωκυμάτων
Κλύει τις ἀκλέριτον ἀμφὶ ϖασάδα,
Καὶ δεσπότῃ Κρέοντι σημαίνει μολών.
Τῷ δ' ἀθλίας ἄσημα ϖεριβαίνει βοῆς 1225
Ἕρποντι μᾶλλον ἆσσον· οἰμώξας δ' ἔπος
Ἴησι δυσθρήνητον· ὦ τάλας ἐγώ·
Ἆρ' εἰμὶ μάντις; ἆρα δυσχερεστάτην
Κέλευθον ἕρπω τῶν ϖαρελθουσῶν ὁδῶν;
Παιδός με φαίνει φθόγγος· ἀλλὰ ϖρόσπολοι 1230
Ἴτ' ἆσσον ὠκεῖς· καὶ ϖαραστάντες τάφῳ,
Ἀθρήσαθ' ἁρμὸν χώματος λιθοσπαδῆ,
Δύντες ϖρὸς αὐτὸ στόμιον, εἰ τὸν Αἵμονος
Φθόγγον συνίημ', ἢ θεοῖσι κλέπτομαι.
Τάδ' ἐξ ἀθύμου δεσπότου κελεύσμασιν 1235
Ἠθρῆμεν· ἐν δὲ λοισθίῳ τυμβεύματι
Τὴν μὲν, κρεμαστὴν αὐχένος καλείδομεν,
Βρόχῳ μιλρώδει σινδόνος καθημμένην·
Τὸν δ', ἀμφὶ μέσσῃ ϖεριπεπλῆ ϖροσκείμενον,
Εὐνῆς ἀποιμώζοντα τῆς κάτω φθορᾶν, 1240

1221. Νυμφεῖον] τὸν νυμφῶνα.

Ib. Νυμφεῖον ἅδε] τὸ νυμφεῖον ϖρὸς τὸ κόρης. τὸ δὲ κάρης ϖρὸς τὸ ἅδε. τὸ γὰρ ζεῦγμα εἰς ὅπερ εἰσβέβληται, ὥσπερ θάλαμος ἦν αὐτῇ. αὕτη δὲ τῷ ἅδῃ. θάναλος γὰρ αὐτὴν ἐπλαῦθα καλείληφε, καὶ οἱονεὶ ἅδης αὐτὴν ἐνυμφεύσαλο.

1223. Ἀκλέριτον] τὸν κακοκλέριτον τῆς Ἀντιγόνης τόπον, ἢ τὸν μὴ δεξάμενον ἐλάφια.

1225. Ἄσημα ϖεριβαίνει βοῆς] τὰ κακὰ σύμβολα τῆς βοῆς ϖεριστοιχίζεται.

1231. Ἴτ' ἆσσον] ϖροσέλθετε δηλονότι.

1232. Ἁρμὸν χώματος] τὴν ἐκ λίθων ἁρμονίαν τῆ τάφῳ. ἢ τὸ ὑψηλὸν μέρος τῆ χώματος τὸ ἡρμοσμένον λίθοις.

Ib. Λιθοσπαδῆ] ὡς λίθος ἀποσπασθέντος ὅπως εἰσέλθῃ ὁ Αἵμων. ἢ, ὑμεῖς ἀποσπάσαντες ἀθρήσατε.

1234. Ἢ θεοῖσι κλέπτομαι] ἢ ἀπαλῶμαι ὑπὸ τῶν θεῶν.

1236. Ἠθρῆμεν] ἐθεωρῆμεν.

1238. Βρόχῳ μιλρώδει] μιλρώδη βρόχον λέγει, ὅσις ἦν αὐτῇ ζώνη ἀπὸ σινδόνος.

Ib. Καθημμένην] τὸν τράχηλον δεδεμένην.

1240. Εὐνῆς ἀποιμώζοντα] ἤγεν, ἀποκλαιόμενον ὡς θανόσης αὐτῆς τῇ ταύτης λέχους ἐςέρηται. ἢ φθορὰν εὐνῆς λέγει τὴν ἐν ἅδῃ αὐτῆς οἴκησιν.

1242. Στυγνὴν

Καὶ παλρὸς ἔργα, καὶ τὸ δύσηνον λέχος.
Ὁ δ' ὡς ὁρᾷ σφε, συγνὸν οἰμώξας, ἔσω
Χωρεῖ πρὸς αὐτὸν, κἀνακωκύσας, καλεῖ·
Ὦ τλῆμον, οἷον ἔργον εἰργάσαι; τίνα
Νῷν ἔσχες; ἐν τῷ ξυμφορᾶς διεφθάρης; 1245
Ἔξελθε, τέκνον· ἱκέσιός σε λίσσομαι.
Τὸν δ' ἀγρίοις ὄσσοισι παπῆνας ὁ παῖς,
Πτύσας προσώπῳ, κἀδὲν ἀνῆκεν, ξίφος
Ἕλκει διπλοῦς κνώδοντας, ἐκ δ' ὁρμωμένου
Παλρὸς φυγαῖσιν, ἤμπλακ'· εἶθ' ὁ δύσμορος 1250
Αὑτῷ χολωθεὶς, ὥσπερ εἶχ' ἐπενθαθεὶς,
Ἤρεισε πλευραῖς μέσσον ἔγχος, ἐς * δ' ὑγρὸν
Ἀγκῶν' ἔτ' ἔμφρων παρθένῳ προσπλύσσεται·
Καὶ φυσιῶν ὀζαῖαν ἐκβάλλει πνοὴν
Λευκῇ παρειᾷ φοινίᾳ σαλάγμαλος. 1253
Κεῖται δὲ νεκρὸς περὶ νεκρῷ, τὰ νυμφικὰ
Τέλη λαχὼν δείλαιος εἰν ᾅδου δόμοις,
" Δείξας ἐν ἀνθρώποισι τὴν ἀβελίαν,
" Ὅσῳ μέγιστον ἀνδρὶ πρόσκειται κακόν."
ΧΟΡ. Τί τῦτ' ἂν εἰκάσειας; ἡ γυνὴ πάλιν 1260
Φρένδη, πρὶν εἰπεῖν ἐσθλὸν ἢ κακὸν λόγον.
ΑΓΓ. Καὐτὸς τεθάμβηκ'· ἐλπίσιν δὲ βόσκομαι,
Ἄχη τέκνε κλύσαν, ἐς πόλιν γόες

* Turn. ἐν.

1242. Στυγνὸν οἰμώξας] τὸ στυγνὸν, ἀρσενικόν. ἢ νοητέον πρὸς τὸ σφὲ, ἢ ὕδετερον πρὸς τὸ οἰμώξας.

1249. Διπλοῦς κνώδοντας] ἀντὶ τῦ, διπλᾶς ἀκμάς· ἀμφηκεῖς γὰρ τὸ ξίφος. κνώδων δὲ, τὸ ὀξὺ τῦ ξίφους, παρὰ τὸ καίνειν τοῖς ὀδοῦσι.

1252. Μέσσον ἔγχος] τὸ ἔγχος οἱ Τραγικοὶ καὶ ἐπὶ ξίφους λαμβάνουσι.

1255. Φοινίᾳ σαλάγμαλος] τὴν πνοὴν τῇ φοινίᾳ σαλάγμαλος ἐκβάλλει τῇ λευκῇ αὐτῆς παρειᾷ. ὅ ἐστι, αἷμα ἐξέπνευσε.

1257. Τέλη λαχὼν] τὰς γὰρ γαμηλίας τελείας ἐκάλεν.

1262. Ἐλπίσι δὲ βόσκομαι] νομίζω αὐτὴν μὴ βέλεσθαι δημοσίᾳ θρηνεῖν, ἀλλ' ἐν τῷ οἰκήματι μέλα τῶν θεραπαινίδων·

Οὐκ ἀξιώσειν, ἀλλ' ὑπὸ ζέγης ἔσω
Δμωαῖς προθήσειν πένθος οἰκεῖον ζένειν.
Γνώμης γὰρ ἐκ ἄπειρος, ὥσθ' ἁμαρ|άνειν.
ΧΟΡ. Οὐκ οἶδ'· ἐμοὶ δ' ἔν ἥ τ' ἄγαν σιγὴ, βαρὺ
Δοκεῖ προσεῖναι, χ' ἡ μάτην πολλὴ βοή.
ΑΓΓ. Ἀλλ' εἰσόμεσθα μή τι καὶ καλάσχελον
Κρυφῇ καλύπ|ῃ καρδία θυμεμένη,
Δόμως παραζείχουλες· εὖ γὰρ ἔν λέγεις.
"Καὶ τῆς ἄγαν γάρ ἐζί πω σιγῆς βάρος."

ΑΝΑΠΑΙΣΤΟΙ.

ΧΟΡ. Καὶ μὴν ὅδ' ἄναξ αὐτὸς ἐφήκει
Μνῆμ' ἐπίσημον διὰ χειρὸς ἔχων.
Εἰ θέμις εἰπεῖν, ἐκ ἀλλο|ρίαν
Ἄτην, ἀλλ' αὐτὸς ἁμαρ|ών.

ΣΤΡΟΦΗ Α.

ΚΡΕ. Ἰὼ φρενῶν δυσφρόνων ἁμαρ|ήμαλα
Στερεὰ, θαναλόεν|· ὦ κλανόλας τε καὶ
Θανόλας βλέπουλες ἐμφυλίους.
Ὦ μοι * ἐμῶν ἄνολβα † βελευμάτων
Ἰὼ ταῖ, ταῖ, νέος νέῳ ξὺν μόρῳ ‡

* Ald. Ἰώ μοι. † Ald. ἄνολβαι. ‡ Ald. ξυμμόρῳ.

1265. Δμωαῖς προθήσειν πένθος] ἤγουν, προ|αλεῖσθαι. τὸ δὲ προθήσειν καὶ προὸς τὸ ἐς πο|λιν ἐκληπέον.

1266. Γνώμης γὰρ ἐκ ἄπειρος] ἐκ ἀνοήτος (φησὶν ὑπάρχει, ὥζε δημοσίᾳ ὀδύρεσθαι. Ἁ|μαρ|άνειν δὲ λέγει νῦν τὸ ἐμφανῶς θρηνεῖν.

1b. Ὥσθ' ἁμαρ|άνειν] ἤγουν, ἀνοικεια ἑαυ|ῇ ἔρ|α ποιεῖν, λέγω δὴ τὸ δρᾶσαί τι περὶ αὐτὴν δυσχερὲς ἐπὶ τῷ παραδοξῳ τῆς τῦ παιδὸς συμφορᾶς ἀκούσμα|ι.

1269. Ἀλλ' εἰσόμεσθα] ἀλλ' ἴσως ἀπελθόν|τες μαθησόμεθα μή τι καὶ μανιῶδες κρύφε βε|βελεύεται, ἀνελεῖν ἑαυτὴν πειρω|μένη.

1273. Ἔφικει] ἀντὶ τῦ, ἥκει.

1274. Μνῆμα] τὸν νεκρόν.

1275. Οὐκ ἀλλοξίαν ἄτην] ἐ δι' ἄλλον ἀποθανόν|α. ἐκ ἐξ ἄλλ|ς νεκρωθέν|α.

1278. Θαναλόεν|α] θανάτ|ι ἄξια ἢ θανάτ|ι αἴτια.

1280. Ἄνολβα] ἀνωφέλη|α.

1281 Νέος νέῳ ξυμμόρῳ] νέᾳ ἡλικίᾳ καὶ καινοπρεπεῖ θανάτῳ τελευτήκας.

1284. Δίκην

(Αἶ, αἶ, αἶ) ἔθανες, ἀπελύθης
Ἐμαῖς, οὐδὲ σαῖσι, δυσβουλίαις.

ΣΥΣΤΗΜΑ Α.

ΧΟΡ. Οἴμ', ὡς ἔοικας ὀψὲ τὴν δίκην ἰδεῖν!

ΣΤΡΟΦΗ Β.

ΚΡΕ. Οἴμοι,
Ἔχω μαθὼν δείλαιος· ἐν δ' ἐμῷ κάρᾳ
Θεὸς τότ' ἄρα τότε μέγα βάρος ἔχων
Ἔπαισεν, ἐν δ' ἔσεισεν ἀγρίαις ὁδοῖς.
Οἴμοι λακπάτητον * ἀντρέπων χαράν.
Φεῦ, φεῦ, ὦ πόνοι βροτῶν δύσπονοι!

ΣΥΣΤΗΜΑ Β.

ΕΞΑ. Ὦ δέσποθ', ὡς ἔχων γε καὶ κεκτημένος
Τὰ μὲν πρὸ χειρῶν, τὰ δὲ φέρων, τὰ δ' ἐν δόμοις,
Ἔοικας ἥκειν, καὶ τάδ' ὄψεσθαι κακά.
ΚΡΕ. Τί δ' ἔστιν αὖ κάκιον ἢ κακῶν ἔτι;
ΕΞΑ. Γυνὴ τέθνηκε, τοῦδε παμμήτωρ νεκροῦ,
Δύστηνος ἄρτι νεοτόμοισι πλήγμασιν.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

ΚΡΕ. Ἰὼ ἰὼ δυσκάθαρτος ᾅδου λιμὴν,

* Ald. λεοπάτητον.

1284. Δίκην ἰδεῖν] γράφεται ἔχειν.

1288. Ἀγρίαις ὁδοῖς] ἀγρίαις ὁρμαῖς.

Ib. Ἔπαισεν] τοῦτο πρὸς τὸ, ἐν δ' ἐμῷ κάρᾳ, λέγει, ἀντὶ τοῦ, ἐξέστησε τὰς ἐμᾶς φρένας, καὶ τοῦ λελοτισμένου παραλροπὴν εἰργάσατο. οὐ γὰρ ἐγίνωσκον καθ' ἐμαυτοῦ κινῶν τὸν ἀνάγυρον, τοιαῦτα καθ' Ἀντιγόνης ἐψηφισμένος· χαρὰν δέ φησιν, ἣν εἶχε διὰ τὸ τῆς ἀρχῆς ἐγκρατὴς γεγενῆσθαι.

1289. Λακπάτητον] τὴν μεθ' ὕβρεως ἀπωθουμένην. ἢ τὴν μεγάλως καταπατουμένην.

Ib. Λακπάτητον ἀντρέπων χαρὰν] τὴν χαρὰν λάξ πατήσας.

1292. Τὰ μὲν πρὸ χειρῶν] ὡς τοῦ Κρέοντος τὸν παῖδα βαστάζοντος.

1295. Παμμήτωρ] ἡ κατὰ πάντα μήτηρ. ἐμφαντικῶς δὲ εἶπεν, ὅτι καὶ μέχρι θανάτου μήτηρ ἐδείχθη, μὴ ἑλομένη ζῆν μετὰ τὸν τοῦ παιδὸς θάνατον.

1297. Ἰὼ ἰὼ δυσκάθαρτος] ὁ γόων καὶ συμφορῶν ἀδυνάτως ἔχων καθαίρεσθαι ᾅδης, εἰς

Τί μ' ἆρα, τί μ' ὀλέκεις; ὦ κακάγγελά μοι
Προπέμψας ἄχη, τίν' αὐδᾷς λόγον *;
ΧΟΡ. Αἰ, αἰ, ὀλωλότ' ἄνδρ' ἐπεξειργάσω. 1300
ΚΡΕ. Τί φῄς, ὦ παῖ; λέγεις νέον μοι λόγον †.
Αἰ, αἰ, αἰ, σφάγιον ἐπ' ὀλέθρῳ
Γυναικεῖον ἀμφικεῖσθαι μόρον.

ΑΝΤΙΣΤΣΤΗΜΑ Α.

ΕΞΑ. Ὁρᾶν πάρεσιν· ἃ γὰρ ἐν μυχοῖς ἔτι.

ΑΝΤΙΣΤΡΟΦΗ Β.

ΚΡΕ. Οἴμοι. 1305
Κακὸν τόδ' ἄλλο δεύτερον βλέπω τάλας.
Τίς ἆρα, τίς με πότμος ἔτι περιμένει;
Ἔχω μὲν ἐν χείρεσσιν ἀρλίως τέκνον
Τάλας, τὸν δ' ἔναυλι ‡ προσβλέπω νεκρόν.
Φεῦ φεῦ μᾶτερ ἀθλία, φεῦ τέκνον! 1310

ΑΝΤΙΣΤΣΤΗΜΑ Β.

ΕΞΑ. Ἡ δ' ὀξύθηκλος ἥδε βωμία πέριξ
Λύει κελαινὰ βλέφαρα, κωκύσασα μὲν
Τὸ πρὶν θανόντος Μεγαρέως κλεινὸν λέχος,

* Ald. τίνα θροεῖς λόγον. † Ald. τίνα λέγεις μοι νέον.
‡ Ald. τόνδ' ἑναύλια.

εἰς ὃν πάλιες μέλα τὴν ἐνθένδε ἀπαλλαγὴν συνάγονται ὥσπερ εἰς λιμένα.

1298. Κακάγγελα] κακὴν ἀπαγγελίαν ἔχοντα.

1300. Ἐπεξειργάσω] ἐπέσφαξας.

1302. Σφάγιον γυναικεῖον] τὸν ἀπὸ σφαγῆς τῆς γυναικὸς μόρον.

Ib. Ἐπ' ὀλέθρῳ] τῷ Αἵμονος.

1304. Οὐ γὰρ ἐν μυχοῖς ἔτι] ἐγκέκλεισαι ἡ γυνή.

1309. Τὰ δ' ἑναύλια] γράφεται, τὸν δ' ἔναυλα.

1311. Ὀξύθηκλος] ὀξεῖαν λαβοῦσα πληγήν.

Ib. Ἡ δὲ βωμία πέριξ] ὡς ἱερεῖον περὶ τὸν βωμὸν ἐσφαγμένη προπέπτης.

1312. Λύει κελαινὰ] ἀπόλλυσι.

1313. Τὸ πρὶν Θανόντος Μεγαρέως] ὡς αὐτῆς προσλαμπθείσης Μεγαρεῖ τινι πρὸ τοῦ Κρέοντος· οἱ δέ φασι τοῦ Μενοικέως τοῦ ἀποσφάξαντος ἑαυτόν· πρότερον γὰρ Μεγαρεὺς ἐπαλεῖτο· ἐν

Αὖθις δὲ τῇδε, λοίσθιον δέ σοι κακὰς
Πράξεις ἐφυμνήσασα τῷ παιδοκλόνῳ. 1315

ΣΤΡΟΦΗ Γ.

ΚΡΕ. Αἰ, αἰ, αἰ, αἰ,
Ἀνέπλαν φόβῳ· τί μ' ἐκ ἀνλαίαν
Ἔπαισέν τις ἀμφιθήκῃ ξίφει;
Δείλαιος * ἐγὼ, φεῦ, φεῦ,
Δειλαίᾳ δὲ συγκέκραμαι δύᾳ. 1320

ΣΥΣΤΗΜΑ Γ.

ΕΞΑ. Ὡς αἰτίαν γε τῶνδε κἀκείνων ἔχων
Πρὸς τῆς θανέσης τῆσδ' † ἐπεσκήπτε μόρων ‡
ΚΡΕ. Ποίῳ δὲ κἀπελύσαθ' ἑν φοναῖς τρόπῳ;
ΕΞΑ. Παίσασ' ὑφ' ἧπαρ αὐτόχειρ αὐτὴν, ὅπως
Παιδὸς τόδ' ἤσθε' ὀξυκώκυτον πάθος. 1325

ΣΤΡΟΦΗ Δ.

ΚΡΕ. Ὤ μοι, μοι· τάδ' ἐκ ἐπ' ἄλλον βροτῶν
Ἐμᾶς ἁρμόσει πότ' ἐξ αἰτίας.

* Turn. Ἄθλιος. † Turn. τᾶσδ'. ‡ Ald. Turn. in marg. μόρῳ.

ἐν δὲ τῷ Τυράννῳ Οἰδίποδι καὶ αὐτὸς Μενοικέα αὐτὸν καλεῖ.

1315. Ἐφυμνήσασα] καλαρασαμένη σοι ὡς παιδοκλόνῳ.

1317. Ἀνέπλαν φόβῳ] ἐτείσθην, ἐταράχθην. Ib. Ἀνλαίαν] γεράφεται καιρίαν.

1318. Ἀμφιθήκῃ ξίφει] ἤγουν, διςόμῳ· ἀγὰρ δύναμαι φέρειν τὸ τῶν συμφορῶν πέλαγος· ὥστε θανὼν ἀναισθησίαν ἔσχον ἂν τότων.

1319. Ἄθλιος ἐγὼ, φεῦ, φεῦ] ἄθλιος χρὴ γράφειν ἐλαῦθα, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς ἀντιστροφῆς· τὸ γὰρ δείλαιος ἐκ ὀρθόν.

1321. Τῶνδε κἀκείνων] τῆ τὴν γυναῖκα καὶ τὸν υἱὸν ἀποθανεῖν.

1322. Ἐπεσκήπτε] κακῶς, ἐλέγε. τελευτώσης αὐτῆς ἐνομίζε, ἐπεγράφε.

Ib. Ἐπεσκήπτε μόρων] σύναπτε τὸ μόρων πρὸς τὸ τῶνδε κἀκείνων, τὰ δὲ λοιπὰ διὰ μέσε λέγε· ἤγουν, τῶν τῆ Αἵμονος καὶ τῆ Μενοικέως, διότι εἶασας αὐτὸς ἀπολέσθαι καὶ ἐκ ἐκώλυσας.

1323. Ποίῳ δὲ] τίνι τρόπῳ (φησὶ) ἐλύθη καὶ ἐφέρετο εἰς φονάς; ἀντὶ τῦ, ποίῳ τρόπῳ εἰς φόνον ἔπεσε;

1325. Ἤσθε' ὀξυκώκυτον πάθος] ἤγουν, ὅτε ὁ ἄγγελος τὸν περὶ τῆ θανάτε αὐτῆ λόγον πρὸς ἡμᾶς διεξήει· τὸ δ' ὀξυκώκυτον, ἀντὶ τῦ, ὀξέος καὶ μεγάλης θρήνε δεόμενον· ἢ τὸ ὀξέως, ταχέως καὶ ἐξαίφνης θρῆνον ἐγεῖραν.

1326. Τάδ'

Ἐγὼ γάρ σ' ἐγὼ 'κανον * μέλεος.
Ἐγώ φαμ' ἔτυμον· ἰὼ πρόσπολοι
Ἄγελέ μ' ὅτι τάχος, ἄγελέ μ' ἐκποδών, 1330
Τὸν ἐκ ὄνλα μᾶλλον ἢ μηδένα.

ΣΤΣΤΗΜΑ Δ.

ΧΟΡ. Κέρδη παραινεῖς, εἴ τι κέρδος ἐν κακοῖς·
" Βράχισα γὰρ κράτισα τἀν πόσιν κακά."

ΑΝΤΙΣΤΡΟΦΗ Γ.

ΚΡΕ. Ἴτω, ἴτω·
Φανήτω, μόρων ὁ κάλλις ἐμῶν, 1335
Ἐμοὶ τερμίαν ἄγων ἡμέραν,
Ὕπαλος· ἴτω, ἴτω,
Ὅπως μηκέτ' ἄμαρ ἄλλ' εἰσίδω.

ΑΝΤΙΣΤΣΤΗΜΑ Γ.

ΕΞΑ. Μέλλονλα ταῦτα· τῶν προκειμένων τί χρὴ
Πράσσειν; μέλει γὰρ τῶνδ' ὅτοισι χρὴ μέλειν.
Ἀλλ' ὧν ἐρῶ μὲν, ταῦτα συγκαληυξάμην. 1341
ΑΓΓ. Μὴ νῦν προσεύχε μηδέν. ὡς πεπρωμένης
" Οὐκ ἔστι θνηλοῖς συμφορᾶς ἀπαλλαγή."

* Alb. ἔκλαιον.

1326. Τάδ' ἐκ ἐπ' ἄλλον] ἐδεῖς ἀνθρώπων ταῦτα ἐπὶ ἄλλον ἀπὸ τῆς ἐμῆς αἰτίας μεθαρμόσει· ὃ ἐςι τὸ σὸ φόνε· ἢ, ὃδεὶς ἂν εἴποι ἕτερον τῶν ἀνθρώπων αἴτιον ἀλλ' ἐμέ.

1331. Τὸν ἐκ ὄλα] τὸν ἐκ ὄλα ὅλως, μᾶλλον δὲ μηδένα.

1332. Κέρδη παραινεῖς] ἤγεν, τὸ ἀπαχθῆναι τῶν ἐνθαῦθα, ἵνα τῆς τότων θέας ἀπὸν ὀλίγην ἐδύνην ἔχῃς· ἔλαπον γὰρ λυπῆσιν εἰ πόῤῥω τὶς τότων γένοιλο.

1335. Φανήτω μόρων] ὁ ἐμὸς θάναλος μείζων τότων τῶν κακῶν.

1336. Τερμίαν] τῆς τελεύλης παρασκευαστικὴν· τέρμα γὰρ τὸ τέλος.

1339. Μέλλονλα ταῦτα] δεύτερα.

1340. "Οτοισι χρὴ] τοῖς θεοῖς.

Ib. Μέλει γὰρ τῶνδε] ἤγεν, φρονλὶς ἐςι τισὶν, ἤγεν, σοί· σὲ γὰρ ἄξιον φρονλίζειν ὅπως Εὐρυδίκη καὶ Αἵμων τεθάψεται.

1341. Ἀλλ' ὧν ἐρῶ] ὧν βόλομαι τυχεῖν, ταῦτα νῦξάμην.

1342. Ὡς πεπρωμένης] μεμοιρασμένης· ὥςε ἐπειδὴ καὶ σοὶ τοιαῦτα παθεῖν πέπρωλο, μὴ δυσχέραινε, μηδὲ καλεύχε θανεῖν.

1345. Οὐκ

ΑΝΤΙΣΤΡΟΦΗ Δ.

ΚΡΕ. Ἀγοῖ' ἂν μάταιον ἄνδρ' ἐκποδών·
Ὅς, ὦ παῖ, σέ τ', οὐχ ἑκών, καλέκλα,
Ὅς σέ τ' αὐτάν. Ὦ μέλεος, οὐδ' ἔχω
Ὅπα πρὸς πότερον ἴδω, πᾶ καὶ θῶ·
Πάντα γὰρ λέχρια,
Τά τ' ἐν χερσὶν γάρ, τ' ἐπὶ κραδίᾳ μοι,
Πότμος δυσκόμιστος εἰσήλατο.

ΑΝΑΠΑΙΣΤΟΙ.

ΧΟΡ. "Πολλῷ τὸ φρονεῖν εὐδαιμονίας
"Πρῶτον ὑπάρχει· χρὴ δὲ τά γ' * εἰς θεούς
"Μηδὲν ἀσεπτεῖν· μεγάλοι δὲ λόγοι
"Μεγάλας πληγὰς τῶν ὑπεραύχων
"Ἀπολίσαντες, γήρᾳ τὸ φρονεῖν ἐδίδαξαν."

* Aldus, τά τ'.

1345. Οὐχ ἑκὼν καλέκλα] ὁ γὰρ ᾄδειν διὰ τὸν Ἀντιγόνης θάνατον καὶ αὐτὸν καὶ αὐτὴν σε τεθνηξέσθαι.

1347. Πᾶ καὶ θῶ] ἦγεν, τί ποιήσω. ὁ γὰρ ἔχω πότερον θρηνήσω πρότερον· πότερον τὸ τῆς γυναικὸς πάθος, ἢ τὸ τῦ παιδός.

1348. Πάντα γὰρ λέχρια] ἦγεν, πλάγια καὶ πεπλωκότα, τὰ μὲν ἐν χερσὶ, τὰ δὲ ἐπὶ τῇ κεφαλῇ.

1350. Δυσκόμιστος] ἀφόρητος.

1351. Πολλῷ τὸ φρονεῖν] τὸ καλῶς φρονεῖν πρῶτόν ἐστιν εὐδαιμονίας, καὶ τοῖς ἀνθρώποις ἐξοχώτατον.

Ib. Πολλῷ τὸ φρονεῖν] ἦγεν, ἡ φρόνησις πολλῷ πρεσβυμωτέρα καὶ κρείττων ἐστὶ τῆς εὐδαιμονίας, ὡς ἔσα αὐτῆς ἀρχή· ἡ γὰρ ἀρχὴ κρείττων τῶν μετ' αὐτὴν, ἐπειδὴ αἰτία ἐστί.

1353. Μηδὲν ἀσεπτεῖν] ἦγεν, ἀσεβεῖν. τοῦτο δὲ λέγει διὰ τὸ παροργίσαι τὸν Κρέοντα Πλάτωνα καὶ Περσεφόνην, διὰ τὸ Πολυνείκην ἄθαπτον ῥῖψαι.

Ib. Μεγάλοι δὲ λόγοι] αἱ μεγαλορρημοσύναι τῶν ὑπερηφάνων, τιμωρίας μεγίστας τοῖς κεκλημένοις ἐπάγουσαι· τελευταῖον διδάσκουσι τὸ φρονεῖν· καὶ ὁ ποιητὴς, Ῥεχθὲν δέ τε νήπιος ἔγνω· ἰστέον δ' ὅτι διαφέρει τῆς Εὐριπίδου Ἀντιγόνης αὕτη, ὅτι φωραθεῖσα ἐκείνη, διὰ τὸν Αἵμονος ἔρωτα ἐξεδόθη πρὸς γάμον. ἐνταῦθα δὲ τεναγίων.

SOPHOCLIS

TRAGŒDIÆ.

PERSONÆ FABULÆ.

OEDIPUS.

SACERDOS.

CREON.

CHORUS THEBANORUM SENUM.

TIRESIAS.

JOCASTE.

NUNCIUS.

EDUCATOR POLYBI.

FAMULUS.

Proloquitur ŒDIPUS,

SOPHOCLIS

OEDIPUS TYRANNUS.

OEDIPUS, SACERDOS, CREON, CHORUS.

IAMBI.

Oed. O Filii, Cadmi veteris nova progenies,
Quasnam sessiones hasce mihi sedetis
Supplicibus ramis coronati?
Urbs autem simul quidem suffitibus plena est,
Simulque cantibus *sacris* et suspiriis.
Quæ ego judicans non ex aliorum, filii,
Nunciis debere cognosci, ipse huc veni,
Ille omnibus celebratus Oedipus.
At *tu*, o senex, fare (quoniam decet
Te priorem hisce eloqui) quo in statu estis,
Veritine an passi *malum:* cupio enim
Vobis opem ferre in omnibus; nam durus essem prorsus
Si non tam lugubrem miserarer sessionem.

Sac. At, o rector Oedipus patriæ meæ,
Vides quidem nos, quales assidemus
Aris tuis: hi quidem nullatenus procul
Volare volentes: illi verò senio graves
Sacerdotes, *interque eos* ego Jovis: hæc quoque juvenum
Lectorum *turba*. Reliquum autem vulgus coronatum
In foro sedet, juxtaque Palladis bina
Delubra, et ad Ismeni fatidicum cinerem.
Civitas enim, quemadmodum et ipse vides, nimis
Nunc fluctuat, et levare caput
Profundis adhuc non valet, sanguineâque undâ,
Consumpta quidem immaturis terræ frugibus,
Consumpta quoque boum armentis, partubusque
Infructuosis mulierum. Ignifer autem Deus
Incumbens affligit, pestis *nimirum* teterrima, urbem,
Per quem evacuatur domus Cadmeorum; niger
Autem Pluto suspiriis et lamentis ditescit.

Diis quidem nunc non æquantes te ego,
Neque hi pueri, tuas consedimus ad aras,
Sed virum eximium inque vitæ *hujus* cladibus
Judicantes *depellendis*, Deisque placandis.
Qui liberasti, urbem Cadmeorum profectus,
Duræ vatis tributum, quod *prius* pendimus,
Idque, à nobis nihil monitus omnino,
Neque edoctus, sed ope consilii divini
Diceris, haberisque nostram erexisse vitam.
Nunc ergo, o optimum Oedipodis caput,
Rogamus omnes *sic* ad *tua* cadentes *genua*
Opem ut aliquam invenias nobis, vel alicujus Deorum
Oraculo audito, vel ab homine edoctus aliquo:
" Expertis enim eventus quoque
" Consiliorum maxime florere video."
Ito igitur, o mortalium optime, erige urbem,
Ito, prospice; nam te nunc quidem hæc terra
Servatorem vocat ob priorem promptitudinem:
At initii neutiquam tui meminerimus,
Locati siquidem in rectum *statum* cadamus denique.
At salubri consilio *tuo* hanc erige civitatem;
Alite enim et priorem dextro fortunam
Dedisti nobis, et jam nunc sis similis *tui*.
Nam, si porro rex eris hujus terræ, ut nunc es,
Plenam viris pulchrius est, quàm inanem regere.
Nihil enim est neque turris, neque navis,
Nuda *si* viris *fuerit*, qui habitent intus,

Oed. O filii miserandi, nota, et nullo modo ignota mihi
Adveniistis petitum; pulchre enim novi quòd
Laboratis omnes, et laborantium, ut ego,
Nullus est vestrûm, qui æque laboret.
Vester enim dolor ad unum pervenit
Solummodo, neminemque alium: mea autem
Anima urbemque et me et te simul gemit.
Quare non sommo dormientem me *alto* excitastis,
Sed nostis multas me jam lachrymas fudisse,
Multasque vias isse curis vagantem anxiis;
Quodque considerando repperi remedium,
Id adhibui: filium enim Menœcei
Creonta, affinem meum, ad Pythia

Misi

Miſi Apollinis delubra, ut ſciſcitaretur quid
Agendo vel dicendo hancce liberem urbem.
Et me diem jam comparantem cum tempore *elapſo*
Moleſtiâ afficit, neſcium quid agat, ultra enim ſpem
Diutius abeſt quam par eſt.
Ubi vero venerit, tum ego malus ſim
Ni fecero omnia, quæcunque monet Deus.
Sac. At recte tuque hoc loquutus es, hique jam
Creonta advenire mihi nunciant.
Oed. O rex Apollo, utinam eventu aliquo
Salutari *reperto* redeat, lætus ut vultu.
Sac. At ut videtur, lætus eſt: neque enim caput
Sic coronatus adveniſſet frugiferis lauri frondibus.
Oed. Statim ſciemus: in eo enim eſt, unde audiatur.
O rex, mî affinis, nate Menœcei,
Quod nobis affers *a* Deo nuncium?
Cre. Bonum: dico enim et gravia, ſi modo
Recte curentur, omnia fore proſpera.
Oed. Quale, *quæſo*, eſt quod dicis? neque enim fiduciam
Neque adeo metum hiſce ex dictis *capio*.
Cre. Si hiſce velis adſtantibus audire,
Paratus *ſum* loquî, vel etiam ire intro.
Oed. Coram omnibus dic; *pro* his enim plus capio
Doloris, quàm pro mea etiam ipſius anima.
Cre. Dicam igitur quæ audivi a Deo.
Juſſit nos Apollo manifeſte rex
Piaculum regionis hujus, utpote nutritum terra
In hac, expellere, neque inſanabile malum alere.
